A. 8.

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΤΟΥ ΧΑΙΡΩΝΕΩΣ
# ΤΑ ΗΘΙΚΑ

## PLVTARCHI CHAERONENSIS
# MORALIA
ID EST
## OPERA, EXCEPTIS VITIS, RELIQVA.

GRAECA EMENDAVIT,
XYLANDRI, H. STEPHANI, REISKII, WYTTENBACHII
ALIORVMQVE ANIMADVERSIONIBVS ILLVSTRAVIT,
LECTIONIS DIVERSITATEM ADIECIT

JOANNES GEORGIVS HVTTEN
PHILOS. MAG. ET SCHOL. ANATOL. TVBING. RECTOR.




*VOLVMEN SECVNDVM*

TVBINGAE
IMPENSIS JOANNIS GEORGII COTTAE
MDCCXCVI.

3997

*Continentur hoc Volumine.*


XIII. ΕΠΤΑ ΣΟΦΩΝ ΣΥΜΠΟΣΙΟΝ,
Septem Sapientum Convivium, pag. 1.

XIV. ΠΕΡΙ ΔΕΙΣΙΔΑΙΜΟΝΙΑΣ,
De Superſtitione, 54.

XV. ΑΠΟΦΘΕΓΜΑΤΑ ΒΑΣΙΛΕΩΝ ΚΑΙ ΣΤΡΑΤΗΓΩΝ,
Regum & Imperatorum Apophthegmata, 82.

XVI. ΑΠΟΦΘΕΓΜΑΤΑ ΛΑΚΩΝΙΚΑ,
Apophthegmata Laconica. 172.

XVII. ΤΑ ΠΑΛΑΙΑ ΤΩΝ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ΕΠΙΤΗΔΕΥΜΑΤΑ,
Inſtituta Laconica, 247.

XVIII. ΛΑΚΑΙΝΩΝ ΑΠΟΦΘΕΓΜΑΤΑ,
Lacaenarum Apophthegmata, 257.

XIX. ΓΥΝΑΙΚΩΝ ΑΡΕΤΑΙ,
De Mulierum Virtutibus. 263.

XX. ΚΕΦΑΛΑΙΩΝ ΚΑΤΑΓΡΑΦΗ. ΡΩΜΑΙΚΑ,
Quaeſtiones Romanae. 310.

XXI. ΚΕΦΑΛΑΙΩΝ ΚΑΤΑΓΡΑΦΗ. ΕΛ-
ΛΗΝΙΚΑ,
Quaeſtiones Graecae. pag. 378.

XXII. ΠΕΡΙ ΠΑΡΑΛΛΗΛΩΝ ΕΛΛΗΝΙΚΩΝ
ΚΑΙ ῬΩΜΑΙΚΩΝ,
Parallela Graeca & Romana. 411.

# CVLTORI LECTORIQVE *PLVTARCHI*

S. P. D.

IOANNES GEORGIVS HVTTEN.

Alterum hoc *Plutarchi Operum*, quae dicunt, *Moralium* & *Philoſophicorum* Volumen Tuae, Benevole Lector! indulgentiae & humanitati commendaturo, non eſt ſane, quod prius, quod antiquius videri poſſit, quam ut iis, qui primum eorundem Volumen benigniſſimis ſuis judiciis decorarunt, meumque animum in omni hoc labore indefeſſe ſuſtinendo mirifice excitarunt, gratiſſimum me demonſtrem. Eo fidentius certè jamjam ea, quam ſemel ſum ingreſſus, via perrexi, omnia eadem ratione, de qua in Praefatione primi Voluminis pluribus mihi fuit diſſerendum, perſequendo: nec dubito, quin diminutae ejus, quae olim ſanioribus conſiliis hic ibi ferè obſtitiſſe videri poſſit, timiditatis veſtigia haud difficulter cuivis videre liceat plura, adeo ut, meo quidem ſenſu, ipſa res Plutarchea haud parum ſit conſecuta, ſive ut cura & negotium textus recenſendi, & ab innumeris mendis, quoad ejus fieri poteſt, purgandi, ejusque lectionem & uſum ea, qua par eſt, fide & induſtria adjuvandi, melius proceſſiſſe dici queat.

De ſingulis, quae hoc in Volumine apparent, partibus, Benevole Lector! ut meum qualemcunque laborem certius poſſis cognoſcere veriusque judicare, haec habeas velim.

Praeter editiones & verſiones univerſa Plutarchi Opera complectentes, alioque tempore commemoratas, rariſſima fuerunt ſubſidia peculiaria, quibus uti licuit. Nec mirum, cum rarius haec Plutarchi Scripta ſeorſim edita, & ſingularibus Eruditorum curis adornata fuiſſe & illuſtrata, rarius translata, ſatis conſtet. Serius quidem mihi contigit, eas verſiones *) noſce-



*) Prodierunt ſub titulo: *Auserleſene moraliſche Schriften von Plutarch. Aus dem Griechiſchen*, Tiguri 1768—1774.

noscere & inspicere, quibus *Nuischelerus*, Professor Tigurinus, de variis Plutarchi opusculis moralibus optime meruit, Germanice redditis. Quod WYTTENBACHIANAE editionis alterum Volumen justo tempore in meas manus venerit, haud parum voluptatis id mihi attulisse fateor, cum, quidquid inde meis curis inservierit, sive ullo modo ad nostri instituti rationem valuerit, non interrupto ordine cum fautoribus nostrae editionis in adnotationibus textui subjunctis communicandi nanciscerer facultatem. Qua in parte (quod cuivis persuasum esse velim) id certe potissimum egi curavique, ut nostri amici prorsus nihil desiderent, quod textum *Wyttenbachianum* notasque ei adspersas commendare posse videatur, neque, quocunque modo res judicetur, si a versione Xylandri latina discesseris, & justam aequamque subsidiorum, quae nos penes sunt, rationem inieris, id curae studiique, quod Plutarcho consecrare suscepimus, nosque ipsi, ut, qua potest fieri, summa fide consecremus, maxime obstrictos tenemus, & quod reipublicae literariae nos debere sentimus, levius aut inferius sit eo, quo WYTTENBACHIUS de Plutarcho meruisse est censendus. Tantum abest, ut haec de me ipso praedicando, modestiae, persona cujusvis editoris dignissimae virtutis, leges transgrediar, aut insolentius loqui videar, ut contra veritatem me acturum fuisse existimem, si aliter sentiam & loquar, ac diligens & accurata rei ipsius cognitio me sentire & loqui jubet Quidquid ex WYTTENBACHII curis & emendationibus ad meos usus accommodavi, sive codicibus, quibus fuit instructus, manuscriptis, aliaque ejus multiplici hujus generis eruditione firmatum, sive ab ejus ingenio profectum, aut ejus solertia & singulari facilitate, bene conjiciendo corruptis locis medendi, probatum, ingenue & fideliter me ubivis locorum aperuisse, nemini non patebit. Consilii autem, quo ductus versionem latinam (hac enim ex parte sunt fortasse, qui putent, nostram editionem deterioris esse conditionis) textui subjungendam

1774, quatuor partibus, quarum tertia continet translationem libelli de *superstitione*, quarta translationem opusculi inscripti: *Septem Sapientum Convivium*.

dam haud censui, hactenus me non poenituit, nec unquam me poenitebit, quo magis id a Viris, legitimis optimisque hujusce rei aestimatoribus, publice comprobatum fuisse cognovi.

Peculiaria, quae mihi obtigerunt, subsidia haec fuere.

In opusculo de *Superstitione* consului editionem, quam Crist. Frider. Matthaei curavit, duorum codicum Mosquensium collatione insignem, hoc titulo: *Plutarchi libellus de Superstitione & Demosthenis oratio funebris in laudem Atheniensium, qui fortiter pro patria pugnando caesi sunt ad Chaeroneam. Graece & latine cum integris notis Reiskii, Sallieri, Taylori, Wolfii & Xylandri. Denuo recensuit, Varias Lectiones trium Codd. MSS. & suas animadversiones adjecit Chr. Fr. Matthaei — Mosquae 1778.*

In tractandis *Apophthegmatibus Regum & Imperatorum* usus sum *Philelphi versione*, quae in *Codice manu scripto Noribergensi* continetur. Nec non in iisdem, & tribus, qui proxime sequuntur, libris (compilatis, W. judice, a posteriore quodam homine ex Plutarchi libris) ad manum fuit editio peculiaris, quam *H. Stephano* debemus, forma duodecima. Ejus inscriptio haec est: *Apophthegmata Graeca Regum & ducum, philosophorum item, aliorumque quorundam: ex Plutarcho & Diogene Laërtio. Cum Latina interpretatione. Loci aliquot in Graeco contextu emendati fuerunt: aliorum autem quorundam emendationem cum nostris editionibus Plutarchi & Laërtii atque Stobaei accipies. Anno MDLXVIII. Excudebat Henricus Stephanus, illustris viri, Huldrichi Fuggeri, typographus.* Digna mihi est visa, cujus accuratiorem habeam rationem, id quod ex eo haud difficile erit intellectu, quod inde & ad colligendam lectionis diversitatem, & ad textum puriorem quibusdam in locis restituendum enotavi. Aliquot hujus rei exempla videre licet pag. 192. not. 1. pag. 220. not. 1. pag. 233. not. 1. Differt enim textus,

quem haec editio exhibet, pluribus in locis ab eo, quem legimus in Stephaniana, operum universorum Plutarchi editione, quae quadriennio post apparuit. Monendum hoc censui, cum ab aliis minus observatum fuisse suspicer. *Latina* insuper versio, quam Stephanus adjunxit, est *Raphaëlis Regii.* Adhibui denique in hisce Plutarchi opusculis editionem MICHAELIS MAITTAIRII, quae forma quarta Londini prodiit 1741. Lubentissime subscribo sententiae, quam WYTTENBACHIUS de ea tulit hisce verbis: „externum habet cultum, internam dotem doctrinae exiguam, emendationis ex scriptis codicibus aut conjectura nullam."

Ad locum, in libello de *Superstitione* obvium pag. 65, haud alienum esse censeo, hic loci observare, quae e *Bryano* adnotanda fuerunt, humanitus a me neglecta. Legi vult idem pro τὸ lin. 4. τῇ, pro παρεῖναι autem lin. 8. reponendum censet πραΰναι. Aptissimum esse hoc verbum sensui, nec non usu Plutarcheo ad vim musicae in sedandis animorum perturbationibus celebrandam satis firmatum, nemo negabit, & demonstrat *Bryanus* pluribus locis in notis ad Tomum primum Vit. parall. pag. 77. Corrigas porro velim, Lector Benevole! quae in notis vitiose leguntur: qualia haec pauca inveni. Pag. 49. not. 1. delenda sunt lin. 2. *Ald. quoque & Bas.* Pag. 71. & 72. not. 5. fin. lege *nimium* pro *nimirum.*

Restat denique, ut de imagine, quam huic Volumini praefigendam curavi, & de meo, quo eam elegi, consilio pauca commemorem. Proxime quidem nullum Plutarchi locum attingit. At quot locis mentio fit *Herculis*, in multiplici varioque laborum genere versantis? — Herois istius, qui *vita parietibus cincta minime delectatus, sub dio & peregre solitus fuit degere* (conf. *Quaest. Roman.* XXVIII. pag. 238.) sive qui non amans otii mollis atque inertis, continuis laboribus, itineribus, aliisque molestiis & periculis fortiter adeundis magnoque animo & invicto sustinendis de sua aetate adeo meruisse perhibetur, ut dignus fuerit, quem immortalis posterorum memoria prosequeretur, Diisque, primis humani generis benefactoribus, annumeraret. Quid mirum, mihi, haec & alia hujus

gene-

generis, cum iſta Plutarchi verba — *ἐν οἰκείῳ τὸν Ἡρακλέα χαίρειν, ἀλλὰ ὑπαίθρῳ βίῳ καὶ θυραυλίαις* — legerem, cogitanti in mentem ſubiiſſe eam graviſſimam veriſſimamque ſententiam, quam Antiquitas Herculis vita rebusque geſtis multis modis & evidenter declaratam, demonſtratam firmatamque cenſuit, artisque documento praeſtantiſſimo animis hominum, ad majora in ſalutem generis humani ſuſcipienda & gerenda natorum factorumque, proponi & imprimi voluit? — At quid opus eſt pluribus ad meam mentem hac in re defendendam? — Liceat potius imaginem ipſam, quam, optime expreſſam, nemini non adſpectu jucundam fore ſpero, verbis quorundam ſcriptorum exponere. Alter eſt, quem jam nunc *Naſtrum* iterum appellare geſtio, *Seybold*, qui (*Einleitung in die Griechiſche und Römiſche Mythologie*, S. 366.) haec habet: *Man wird in dem ſanft herabgeſunkenen Kopf, in ſeiner Miene, in dem Rücken, der gleichſam in hohe Betrachtungen gekrümmt iſt, in der nachläſsigen Stellung der Füſſe etc. den Helden nicht verkennen, der mit Wonnegefühl ſeine Thaten überdenkt, und mit ihm empfinden:* WIE RUH' AUS TUGEND — UND ARBEIT — QUILLT!" Alter eſt *Jacobi*, Profeſſor Friburgenſis, de ſtudio literarum humaniorum meritiſſimus, qui in recentiſſimo opere, quo rem literariam decoravit — *Beſchreibung einiger der vornehmſten geſchnittenen Steine mythologiſchen Inhalts. Aus dem Kabinet des Herzogs von Orleans. Aus dem Franzöſiſchen ausgezogen und mit Anmerkungen begleitet.* Zürich. 1796. — ea, quae Auctor Gallicus copioſius de noſtro Hercule diſſerit, ita interpretatur: „*An dem Charakter, welchen der Künſtler dieſem Herkules gegeben hat, erkennt man leicht, daſs dieſer Held ruhet, nicht um ſeine erſchöpften Kräfte wieder herzuſtellen; noch weniger, um ſich einem weichlichen und müſſigen Leben in Zukunft zu überlaſſen; ſondern um ſich einen Augenblick mit den Dienſten zu beſchäftigen, welche ſein Muth und ſein*

*ſein Arm der Menſchheit geleiſtet haben. Von ſeinen Waffen und den vornehmſten Denkmälern ſeines Ruhms umgeben, ſcheint er auf neue Thaten zu ſinnen; ungeachtet ſeiner ſchon verrichteten Arbeiten, ſieht man an ihm alle Kennzeichen der Stärke. Die Uebung ſeiner Kräfte hat ihn noch ſtärker gemacht, ſeine Ruhe ſogar iſt furchtbar; und wehe dem, der es wagt, ſie zu ſtören! — Auf einem Felſen, wovon ein Theil mit der Löwenhaut bedeckt iſt, ſitzend, ſtützt Herkules ſeinen Kopf auf ſeine rechte Hand, und dieſe auf den Griff eines Schwerdtes, deſſen Scheide unter ſeinem linken Arme durchgeht. — Unter den verſchiedenen Gegenſtänden, welche ſeinen Sitz verzieren, zeichnet ſich vornemlich ſein Bogen aus. — Gegen über iſt die Keule angebracht, als das ſchicklichſte Werkzeug ſeine Stärke zu bezeichnen, und das einzige, das er ſich ſelbſt verſchaft hatte. — Um ſeinen Siz herum erſcheinen die Köpfe der Stuten des Diomedes. Dieſs erinnert an ſeine achte Arbeit. — Zu den Füſſen liegen die goldenen Aepfel, welche er in den Gärten der Heſperiden gepflückt hatte, drey an der Zahl: — die zwölfte von ſeinen Arbeiten. Unten an dem Steine, auf den Herkules den rechten Fuſs ſtützt, bemerkt man den Kopf des Erymantiſchen Ebers, welches auf die dritte ſeiner Arbeiten deutet. Endlich ſieht man auch eine Sphynx, auf welche die Keule geſtützt ſcheint — wahrſcheinlich Theben in Böotien, das Vaterland des Herkules, damit anzuzeigen.“*

Vale, Lector Benevole! Fave Plutarcho noſtro, fave mihi. Dabam Tubingae Calendis Jul. MDCCXCVI.

---

ΠΛΟΥ-

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΕΠΤΑ ΣΟΦΩΝ ΣΥΜΠΟΣΙΟΝ [1].

---

Ἤπου προϊὼν ὁ χρόνος, ὦ Νίκαρχε, πολὺ σκότος ἐπάξει τοῖς πράγμασι καὶ πᾶσαν ἀσάφειαν, εἰ νῦν ἐπὶ προσφάτοις οὕτω καὶ νεαροῖς λόγοι ψευδεῖς συντεθέντες ἔχουσι πίστιν. οὔτε γὰρ μόνων [2], ὡς ὑμεῖς ἀκηκόατε, τῶν ἑπτὰ γέγονε τὸ συμπόσιον, ἀλλὰ πλειόνων, ἢ δὶς τοσούτων· ἐν οἷς καὶ αὐτὸς ἤμην, συνήθης μὲν ὢν Περιάνδρῳ διὰ τὴν τέχνην [3], ξένος δὲ Θάλεω· παρ' ἐμοὶ γὰρ κατέλυεν [4] ὁ ἀνὴρ, Περιάνδρου κελεύσαντος· οὔτε τοὺς λόγους ὀρθῶς ἀπεμνημόνευσεν, ὅστις ἦν ὑμῖν διηγούμενος· ἦν δὲ, ὡς ἔοικεν, οὐδεὶς τῶν παραγεγονότων. ἀλλ' ἐπεὶ σχολή τε [5] πάρεστι πολλὴ, καὶ τὸ γῆρας οὐκ ἀξιόπιστον ἐγγυήσασθαι τὴν ἀναβολὴν τοῦ λόγου,

1 R. notante, Convivium hoc a venustate Xenophontei longe abest, & refert, cum eo comparatum, exercitationem tyronis ad perfectum magistri opus. Personae colloquii primae sunt *Diocles* & *Nicarchus*; secundae, *Niloxenus*, *Thales*, *Anacharsis*, *Eumetis*, *Alexidemus*, *Periander*, *Ardalus*, *Aesopus*, *Solon*, *Chilon*, *Cleodemus*, *Mnesiphilus*, *Chersias*, *Bias*, *Cleobulus*, *Pittacus*, *Gorgias*.

2 Restitui μόνων ex consensu priorum editionum pro μόνον, quod est in Frst. & R.

3 scil. vaticinandi, sicuti ex seqq. apparet.

4 Turn. V. Bong. κατέλυσεν.

5 abest τε ab Ald. & Bas.

λόγȣ, προθυμȣμένοις ὑμῖν ἀπ' ἀρχῆς ἅπαντα διηγήσομαι.

II. Παρεσκευάκει μὲν γὰρ ȣ̓κ ἐν τῇ πόλει [1] τὴν ὑποδοχὴν ὁ Περίανδρος, ἀλλ' ἐν τῷ περὶ τὸν Λέχαιον ἑςιατορίῳ, παρὰ τὸ τῆς Ἀφροδίτης ἱερὸν, ἧς ἦν καὶ θυσία [2]. μετὰ γὰρ τὸν ἔρωτα τῆς μητρὸς αὐτȣ̃, προεμένης τὸν βίον ἑκȣσίως, ȣ̓ τεθυκὼς τῇ Ἀφροδίτῃ, τότε πρῶτον ἔκ τινων ἐνυπνίων τῆς Μελίσσης [3], ὥρμησε τιμᾶν καὶ θεραπεύειν τὴν θεόν. τῶν δὲ κεκλημένων ἑκάςῳ συνωρὶς ἱκανῶς κεκοσμημένη προσήχθη· καὶ γὰρ ὥρα θέρȣς ἦν, καὶ τὴν ὁδὸν ἅπασαν ὑπὸ πλήθȣς ἁμαξῶν καὶ ἀνθρώπων ἄχρι θαλάττης κονιορτὸς καὶ θόρυβος κατεῖχεν. ὁ μέντοι Θάλης τὸ ζεῦγος ἐπὶ ταῖς θύραις ἰδὼν καὶ μειδιάσας ἀφῆκεν. ἐβαδίζομεν ȣ̓̃ν ἐκτραπόμενοι διὰ τῶν χωρίων καθ' ἡσυχίαν, καὶ μεθ' ἡμῶν τρίτος ὁ Ναυκρατίτης Νειλόξενος, ἀνὴρ ἐπιεικὴς, καὶ τοῖς περὶ Σόλωνα καὶ Θάλητα γεγονὼς ἐν Αἰγύπτῳ ξυνήθης. ἐτύγχανε δὲ πρὸς Βίαντα πάλιν [4] ἀπεςαλμένος· ȣ̔̃ δὲ χάριν, ȣ̓δ' αὐτὸς ᾔδει, πλὴν ὑπενόει πρόβλημα δεύτερον αὐτῷ κομίζειν ἐν βιβλίῳ κατασεσημασμένον. εἴρητο γὰρ, εἰ Βίας ἀπαγορεύσειεν, ἐπιδεῖξαι τοῖς σοφωτάτοις Ἑλλήνων τὸ βιβλίον [5]. Ἕρμαιον (ὁ Νειλόξε-

1 Corinthum intellige, duobus inclytam portubus, quorum alter *Lecbaeus* dictus, Jonio imminebat mari.

2 R. mavult ἧς ἦν καὶ ἡ θυσία.

3 Melissa fuit Periandri uxor.

4 deest πάλιν in editione Wytt.

5 Ordinavi voces ex R. mente, vulgo sic confusas: Ἑλλήνων. Ἕρμαιον τὸ βιβλίον. Pro τὸ βιβλ. Turn. V. Bong. τὸ συμπόσιον; item Anon. notante W. qui τὸ βιβλ. loco non satis congruere monet. Mez. delet, eodem teste. R. porro adnotat, historiae non esse congruum, quod hunc ficto nomine Niloxenum dictum Naucratitam faciat, cum Thaletis aetate, qui Cyro & Croeso aequalis vixerit, Naucratis nondum fuerit, condita sub Inaro in Aegypto regnante, & Artaxerxe in Perside, circa

λόξενος ἔφη) μοὶ γέγονεν, ἐνταῦθα λαβεῖν ἅπαντας ὑμᾶς, καὶ κομίζω τὸ βιβλίον, ὡς ὁρᾷς, ἐπὶ τὸ δεῖπνον. ἅμα δὲ ἡμῖν ἐπεδείκνυε. καὶ ὁ Θάλης γελάσας· Εἴ τι κακὸν, (εἶπεν) αὖθις εἰς Πριήνην. διαλύσει γὰρ ὁ Βίας, ὡς διέλυσεν αὐτὸς τὸ πρῶτον. Τί δὲ [1] (ἔφην ἐγὼ) τὸ πρῶτον; Ἱερεῖον (εἶπεν) ἔπεμψεν [2] αὐτῷ, κελεύσας τὸ πονηρότατον ἐξελόντα καὶ χρησότατον ἀποπέμψαι κρέας. ὁ δὲ ἡμέτερος εὖ καὶ καλῶς τὴν γλῶτταν ἐξελὼν ἔπεμψεν· ὅθεν εὐδοκιμῶν δῆλός ἐςι καὶ θαυμαζόμενος. Οὐ διὰ [3] ταῦτα, ἔφη, μόνον, ὁ Νειλόξενος, ἀλλὰ καὶ ὅτι ἐδὲ φεύγει τὸ φίλος εἶναι βασιλέων, καθάπερ ὑμεῖς [4]. ἐπεὶ σἒ γε καὶ τὰ ἄλλα θαυμάζει, καὶ τῆς πυραμίδος τὴν μέτρησιν ὑπερφυῶς ἠγάπησεν, ὅτι πάσης ἄνευ πραγματείας, καὶ μηδενὸς ὀργάνε δεηθεὶς, ἀλλὰ τὴν βακτηρίαν ςήσας ἐπὶ τῷ πέρατι τῆς σκιᾶς, ἣν ἡ πυραμὶς ἐποίει, γενομένων τῇ ἐπαφῇ τῆς ἀκτῖνος δυοῖν τριγώνων, ἔδειξας, ὃν ἡ σκιὰ πρὸς τὴν σκιὰν λόγον εἶχε, τὴν πυραμίδα πρὸς τὴν βακτηρίαν ἔχεσαν. Ἀλλ', ὅπερ ἔφην [5], διεβλήθης μισοβασιλεὺς εἶναι, καί τινες ὑβριςικαὶ σε περὶ τυράννων ἀποφάσεις ἀνεφέροντο πρὸς αὐτόν. ὡς ἐρωτηθεὶς



circa Olymp. 80. teste Strabone; Etiam aetates sapientium haud satis apte congruere, cum Periander Solone fuerit antiquior.

1 Turn. V. Petav. τί δ' ἦν.

2 scil. Amasis, rex Aegypti. Cf. Plut. de auditione c. 2. Vol. VII. p. 130.

3 Pro διὰ Turn. δή.

4 Vulgo sic legitur: ἀλλ' ἐδὲ φεύγει τὸ φίλος εἶναι καὶ βασιλέων, καθάπερ ὑμεῖς; Ald. & Bas. ἡμεῖς. Xyl. non solum ὑμεῖς legendum esse monuit, quod rell. receperunt, sed & ex ejus mente reliqua dare haud dubitavi. In seq. V. sum secutus, σἒ γε recipiens pro vulg. σἒ τε, probante quoque R.

5 Dedi interpunctionem cum W. Vulgo ἀλλ' ὅπερ (ἔφην) διεβλ.

ὑπὸ Μολπαγόρου [1], τοῦ Ἴωνος, τί παραδοξότατον [2] εἴης ἑωρακὼς, ἀποκρίναιο· Τύραννον γέροντα. καὶ πάλιν ἔν τινι πότῳ, περὶ θηρίων λόγου γενομένου, Φαίης κάκιστον εἶναι, τῶν μὲν ἀγρίων θηρίων, τὸν τύραννον· τῶν δὲ ἡμέρων, τὸν κόλακα. ταῦτα γὰρ, εἰ καὶ πάνυ προσποιοῦνται διαφέρειν οἱ βασιλεῖς τῶν τυράννων, οὐκ εὐμενῶς ἀκούουσιν. Ἀλλὰ τοῦτο μὲν (εἶπεν ὁ Θάλης) Πιττακοῦ ἐστιν, εἰρημένον ἐν παιδιᾷ ποτε πρὸς Μυρσίλον. ἐγὼ δὲ θαυμάσαιμ' ἂν, ἔφη [3], οὐ τύραννον, ἀλλὰ κυβερνήτην γέροντα θεασάμενος. πρὸς δὲ τὴν μετάθεσιν τὸ τοῦ νεανίσκου πέπονθα, τοῦ βαλόντος μὲν ἐπὶ τὴν κύνα, πατάξαντος δὲ τὴν μητρυιὰν, καὶ εἰπόντος· Οὐδὲ οὕτω κακῶς. διὸ καὶ Σόλωνα σοφώτατον ἡγησάμην, οὐ δεξάμενον τυραννεῖν. καὶ Πιττακὸς [4] εἰ μοναρχίᾳ μὴ προσῆλθεν, οὐκ ἂν εἶπεν ὡς Χαλεπὸν ἐσθλὸν ἔμμεναι. Περίανδρος δ' ἔοικεν ὡς [5] ἐν νοσήματι πατρῴῳ τῇ τυραννίδι κατειλημμένος, οὐ φαύλως ἐξαναφέρειν, χρώμενος ὁμιλίαις ὑγιειναῖς ἄχρι γε [6] νῦν, καὶ συνουσίας ἀνδρῶν νοῦν ἐχόντων ἐπαγόμενος, ἃς δὲ Θρασύβουλος [7] αὐτῷ κολάσεις τῶν ἄκρων, οὐμὲς πολίτης, ὑφηγεῖται, μὴ προσιέμενος. γεωργοῦ γὰρ, ἀκρίδας καὶ ὄρνιθας ἀντὶ πυρῶν καὶ κριθῶν συγκομίζειν ἐθέλοντος, οὐδὲν διαφέρει τύραννος, ἀνδραπόδων μᾶλλον ἄρχειν, ἢ ἀνδρῶν, βουλόμε-

1 R. notante, hic Molpagoras fuit forſitan avus Molpagorae, patris Ariſtagorae Mileſii, qui ſub Dario primo Joniam turbavit. Herodot. V. 30.

2 Ald. & Baſ. παράδοξον; item mox ἀποκρίναι pro ἀποκρίναιο, & τόπῳ pro πότῳ. Hinc Xyl. vertit *alicubi.*

3 ſcil. Thales. Legi ſic voluit Xyl. & dedi e V. & Turn. pro vulg. ἔφην.

4 Turn. V. & Bong. poſt h. v. inſerunt ἔτος.

5 Turn. V. & Bong. ὥσπερ.

6 Dedi ſic e R. mente *ad hoc quidem temporis* pro vulg. ἄχρι τε νῦν, & comma, vulgo poſt ὑγιειναῖς datum, repoſui pone νῦν. Etiam W. ſuſp. γε pro τε.

7 Tyrannus Mileſius. Herodot. V, 92.

λόμενος. ἓν γὰρ ἀντὶ πολλῶν κακῶν ἀγαθὸν αἱ δυναστεῖαι τὴν τιμὴν ἔχουσι καὶ τὴν δόξαν, ἄνπερ ἀγαθῶν ὡς κρείττονες ἄρχωσι, καὶ μεγάλων μείζονες εἶναι δοκῶσι· τὴν δ᾽ ἀσφάλειαν ἀγαπῶντας ἄνευ τοῦ καλοῦ, προβάτων ἔδει πολλῶν καὶ ἵππων καὶ βοῶν ἄρχειν, μὴ ἀνθρώπων. ἀλλὰ γὰρ εἰς οὐδὲν προσήκοντας ἐμβέβληκεν ἡμᾶς (ἔφη) ὁ ξένος οὑτοσὶ λόγους, ἀμελήσας[1] λέγειν τε καὶ ζητεῖν, ἃ ἁρμόττει ἐπὶ δεῖπνον βαδίζουσιν. ἢ γὰρ οὐκ οἴει, καθάπερ ἑστιάσοντος ἐστί τις παρασκευή, καὶ δειπνήσοντος εἶναι. Συβαρῖται μὲν γὰρ, ὡς ἔοικε, πρὸ ἐνιαυτοῦ τὰς κλήσεις ποιοῦνται τῶν γυναικῶν, ὅπως ἐκγένοιτο κατὰ σχολὴν παρεσκευασμέναις ἐσθῆτι καὶ χρυσῷ φοιτᾷν ἐπὶ τὸ δεῖπνον· ἐγὼ δὲ πλέονος οἶμαι χρόνου δεῖσθαι τὴν ἀληθινὴν τοῦ δειπνήσοντος ὀρθῶς παρασκευήν· ὅτι[2] χαλεπώτερόν ἐστιν, ἤθει τὸν πρέποντα κόσμον, ἢ σώματι τὸν περιττὸν, ἐξευρεῖν καὶ ἄχρηστον. οὐ γὰρ ὡς ἀγγεῖον ἥκει κομίζων ἑαυτὸν ἐμπλῆσαι πρὸς τὸ δεῖπνον ὁ νοῦν ἔχων, ἀλλὰ καὶ σπουδάσαι τι καὶ παῖξαι, καὶ ἀκοῦσαι καὶ εἰπεῖν, ὃ[3] ὁ καιρὸς παρακαλεῖ τοὺς συνόντας, εἰ μέλλουσι μετ᾽ ἀλλήλων ἡδέως ἔσεσθαι. καὶ γὰρ[4] ὄψον πονηρόν ἐστι παρώσασθαι, κἂν οἶνος ᾖ φαῦλος, ἐπὶ τὰς νύμφας καταφυγεῖν. σύνδειπνος δὲ κεφαλαλγὴς καὶ βαρὺς καὶ ἀνάγωγος, παντὸς μὲν οἴνου καὶ ὄψου[5], πᾶσαν δὲ μουσουργοῦ χάριν ἀπόλλυσι καὶ λυμαίνεται, καὶ οὐδ᾽ ἀποπέμψαι[6] τὴν τοιαύτην ἀηδίαν ἕτοιμόν ἐστιν, ἀλλ᾽ ἐνίοις εἰς ἅπαντα τὸν βίον ἐμμένει



1 B. E. Voss. ἀμελήσαντας.

2 Ald. & Bas. ὃ, pro quo Xyl. ᾧ, aut ὅτι, aut ὅσῳ legi voluit. Steph. dedit ὅτι.

3 R. maluit ὧν ὁ καιρὸς, ob sonum ingratum, quem vulgata efficit.

4 Turn. V. & Bong. καὶ γὰρ καὶ ὄψον. Mox Ald. κεφαλγής.

5 R. videtur post h. v. deesse ἀηδέστερος. Mavult idem μουσουργὸν pro μουσουργοῦ.

6 Turn. V. Bong. Anon. ἀπαμῦσαι.

μένει τὸ πρὸς ἀλλήλες δυσάρεσον, ὥσπερ ἑωλοκρασία [1] τις ὕβρεως, ἢ ὀργῆς ἐν οἴνῳ γενομένης. ὅθεν ἄριςα Χίλων, καλέμενος ἐχθὲς, ἐ πρότερον ὡμολόγησεν, ἢ πυθέσθαι τῶν κεκλημένων ἕκαςον. ἔφη γὰρ, ὅτι σύμπλεν ἀγνώμονα δεῖ φέρειν καὶ σύσκηνον, οἷς συμπλεῖν ἀνάγκη καὶ συςρατεύεσθαι. τὸ δὲ [2] συμπόταις ἑαυτὸν, ὡς ἔτυχε, καταμιγνύειν, ἐ νῦν ἔχοντος ἀνδρός ἐςιν. ὁ δ' Αἰγύπτιος σκελετὸς, ὃν ἐπιεικῶς εἰσφέροντες εἰς τὰ συμπόσια προτίθενται, καὶ παρακαλῦσι μεμνῆσθαι τάχα δὴ τοιέτες ἐσομένες, καίπερ ἄχαρις καὶ ἄωρος ἐπίκωμος ἥκων, ὅμως ἔχει τινὰ καιρὸν, εἰ μὴ [3] πρὸς τὸ πίνειν καὶ ἡδυπαθεῖν, ἀλλὰ πρὸς φιλίαν καὶ ἀγάπησιν ἀλλήλων προτρέπεται καὶ παρακαλεῖ τὸν βίον, μὴ, τῷ χρόνῳ βραχὺν ὄντα, πράγμασι κακοῖς μακρὸν ποιεῖν.

III. Ἐν τοιέτοις λόγοις γενόμενοι καθ' ὁδὸν [4], ἀφικόμεθα πρὸς τὴν οἰκίαν, καὶ λέσασθαι μὲν ὁ Θάλης ἐκ ἠθέλησεν· Ἀλήλιμμαι [5] γὰρ, εἶπεν. ἐπιὼν δὲ, τές τε δρόμες ἐθεᾶτο, καὶ τὰς παλαίςρας, καὶ τὸ ἄλσος τὸ παρὰ τὴν θάλασσαν ἱκανῶς διακεκοσμημένον, ὑπ' ἐδενὸς ἐκπληττόμενος τῶν τοιέτων, ἀλλ' ὅπως μὴ καταφρονεῖν δοκοίη τῦ Περιάνδρε, μηδὲ ὑπερορᾷν τῆς φιλο-

1 Sic Xyl. legi voluit, & exhibent Turn. V. Bong. & dedit R. pro vulg. αἰωλοκρασία. Eandem vocem recepit W. consentientibus E. Voff. Jannot.

2 Dedi fic e V. pro vulg. πρὸς δὲ τὸ συμπ. R. aut legi voluit, quod dedi, aut τὸ δὲ πρὸς συμπότας ἑαυτόν. W. in textu nil mutat, confusam esse adnotans scriptionem vitiosam ex duabus melioribus τὸ δὲ πρὸς συμπότας & τὸ δὲ συμπόταις. Posterius firmat quoque Mez.

3 Turn. & V. καιρὸν, καὶ εἰ μή. R. susp. εἰ γὰρ μὴ πρὸς τὸ πίνειν καὶ ἡδυπαθεῖν, ἀλλά γε πρὸς φιλίαν; alias legendum esse postea, monet προτρεπόμενος καὶ παρακαλῶν.

4 Turn. V. Bong. κατὰ τὴν ὁδόν.

5 Turn. V. Bong. ἀληλιμμένοι γὰρ ἦμεν; V. quoque ἀληλιμμένοι.

φιλοτιμίας. τῶν δ' ἄλλων τὸν ἀλειψάμενον, ἢ λουσάμενον, οἱ θεράποντες εἰσῆγον εἰς τὸν ἀνδρῶνα διὰ [1] τῆς στοᾶς. ὁ δ' Ἀνάχαρσις ἐν τῇ στοᾷ καθῆστο, καὶ παιδίσκη προεισήκει τὴν κόμην ταῖς χερσὶ διακρίνουσα. ταύτην Θάλης ἐλευθεριώτατά πως αὐτῷ προσδραμοῦσαν ἐφίλησε, καὶ γελάσας· Οὕτως (ἔφη) ποίει καλὸν τὸν ξένον, ὅπως ἡμερώτατος ὢν μὴ φοβερὸς ᾖ τὴν ὄψιν ἡμῖν, μηδ' ἄγριος. ἐμοῦ δ' ἐρομένου περὶ τῆς παιδὸς, ἥτις εἴη· Τὴν σοφὴν (ἔφη) καὶ περιβόητον ἀγνοεῖς Εὔμητιν; οὕτω γὰρ ταύτην ὁ πατὴρ αὐτὸς, οἱ δὲ πολλοὶ πατρόθεν ὀνομάζουσι Κλεοβουλήνην [2]. καὶ ὁ Νειλόξενος· Ἦ που τὴν περὶ τὰ αἰνίγματα δεινότητα καὶ σοφίαν (ἔφη) τῆς κόρης ἐπαινεῖς. καὶ γὰρ εἰς Αἴγυπτον ἔνια τῶν προβαλλομένων ὑπ' αὐτῆς διῖκται. Οὐκ ἔγωγε· (εἶπε Θάλης) τούτοις γὰρ, ὥσπερ ἀστραγάλοις [3], ὅταν τύχῃ, παίζουσα χρῆται, καὶ διαβάλλεται πρὸς τοὺς ἐντυγχάνοντας, ἀλλὰ καὶ φρόνημα θαυμαστὸν καὶ νοῦς ἔνεστι πολιτικὸς, καὶ φιλάνθρωπον ἦθος, καὶ τὸν πατέρα τοῖς πολίταις πρᾳότερον ἄρχοντα παρέχει καὶ δημοτικώτερον· ἔοικεν [4], ὁ Νειλόξενος ἔφη, καὶ φαίνεται βλέποντι πρὸς τὴν λιτότητα καὶ ἀφέλειαν αὐτῆς· Ἀνάχαρσιν δὲ πόθεν οὕτω τημελεῖ φιλοστόργως; Ὅτι (ἔφη) σώφρων ἀνήρ ἐστι καὶ πολυμαθὴς, καὶ τὴν δίαιταν αὐτῇ καὶ τὸν καθαρμὸν, ᾧ χρῶνται Σκύθαι περὶ τοὺς κάμνον-



1 abest διὰ a Turn. V. Bong. Mox Ald. & Baſ. προϊσήκει.

2 Xyl. legit Κλεοβουλίνην, quale nomen extat in Praec. Conjug. Vol. VII. pag. 429. Mox poſt Νειλόξ. inſerunt Turn. V. & Bong. εἶπεν.

3 Ald. & Baſ. ἀστρολόγοις. Xyl. correxit.

4 Dedi ſic, W. praeeunte, ſecundum Mez. Vulgo ſecundum Steph. παρέχει. Καὶ δημοτικώτερον εἶναι ὁ N. ἔ. — Ald. Baſ. Ven. Voſſ. Καὶ δημοτικώτερον ἔχειν ὁ N. ἔ. Xyl. ex conjectura καὶ δημοτικώτερον. Εἶεν ὁ N. ἔ. R. locus ſic conſtituendus videtur: παρέχει καὶ δημοτικώτερον. τοιαύτη καὶ αὐτὴ εἶναι, ὁ Νειλόξενος ἔφη, καὶ ἐμοὶ φαίνεται βλέποντι &c.

μνοντας, ἀφθόνως καὶ προθύμως παραδέδωκε· καὶ νῦν οἴομαι περιέπειν αὐτὴν τὸν ἄνδρα καὶ φιλοφρονεῖσθαι, μανθάνουσάν τε [1] καὶ προσδιαλεγομένην. ἤδη δὲ πλησίον ἐστιν ἡμῖν τοῦ ἀνδρῶνος ἀπήντησεν Ἀλεξίδημος, ὁ Μιλήσιος, (ἦν δὲ Θρασυβούλου, τοῦ τυράννου, νόθος) καὶ ἐξῄει τεταραγμένος, καὶ σὺν ὀργῇ τινι πρὸς αὐτὸν, οὐδὲν ἡμῖν γε σαφὲς διαλεγόμενος· ὡς δὲ τὸν Θάλην εἶδε, μικρὸν ἀνενεγκὼν, καὶ καταστάς· Οἵαν ὕβριν (εἶπε) πρὸς ἡμᾶς Περίανδρος ὕβρικεν, ἐκπλεῦσαι μὲν οὐκ ἐάσας ὡρμημένον, ἀλλὰ προσμεῖναι δεηθεὶς τῷ δείπνῳ [2]. ἐλθόντι δὲ νέμων κλισίην ἄτιμον, Αἰολεῖς δὲ καὶ νησιώτας, καὶ τίνας γὰρ οὐχὶ Θρασυβούλου προτιμῶν. Θρασύβουλον γὰρ ἐν ἐμοὶ τὸν πέμψαντα προπηλακίσαι βουλόμενος, καὶ καταβαλεῖν [3], ὡς δὴ περιϊδρῶν, δῆλός ἐστιν. Εἶτα (ἔφη) σὺ δέδιας, μὴ, καθάπερ Αἰγύπτιοι τοὺς ἀστέρας ὑψώματα καὶ ταπεινώματα λαμβάνοντας ἐν τοῖς τόποις, οὓς διεξίασι, γίνεσθαι βελτίονας ἢ χείρονας ἑαυτῶν λέγουσιν, οὕτωσὶ [4] περὶ σὲ διὰ τὸν τόπον ἀμαύρωσις, ἢ ταπείνωσις, γένηται; καὶ τοῦ Λάκωνος ἔσῃ φαυλότερος, ὃς ἐν χορῷ τινι κατασταθεὶς εἰς τὴν ἐσχάτην χώραν ὑπὸ τοῦ ἄρχοντος· Εὖ γε, εἶπεν, ἐξεῦρες, ὡς καὶ αὐτὰ ἔντιμος γένηται. Οὐ καταλαβόντας (ἔφη) τόπον μετὰ τίνας κατακείμεθα δεῖ ζητεῖν [5], μᾶλλον δὲ, ὅπως εὐάρμοστοι τοῖς συγκατακειμένοις [6] ὦμεν, ἀρχὴν καὶ λαβὴν φιλίας εὐθὺς ἐν αὐτοῖς δηλοῦντες [7], μᾶλλον δ'

1 Pro τε exhibent τι Turn. V. & Bong.

2 Dedi ſic e Turn. V. & Bong. probante R. Vulgo τὸ δεῖπνον.

3 Ald. & Baſ. καταλαβεῖν. Xyl. correxit.

4 Dedi ſic e R. mente pro vulg. οὕτως ἡ. Alias pro ἡ legi voluit καὶ. Etiam W. ἡ delendum cenſuit.

5 Haec, quae R. deeſſe cenſuit, addidit W. ex E. Sum eum ſecutus. Vulgo deeſt δεῖ ζητεῖν.

6 Ald. & Baſ. τοῖς κατακειμένοις.

7 R. maluit ζητοῦντες, utpote quod melius reſpondeat ſequenti

δ' ἔχοντες, τὸ μὴ δυσκολαίνειν, ἀλλ' ἐπαινεῖν, ὅτι τοιέτοις συγκατεκλίθημεν. ὡς ὅγε τόπῳ κλισίας [1] δυσχεραίνων, δυσχεραίνει τῷ συγκλιτῇ μᾶλλον, ἢ τῷ κεκληκότι, καὶ πρὸς ἀμφοτέρες ἀπεχθάνεται. Λόγος, ἔφη, ταῦτα ἄλλως ἐςὶν, ὁ Ἀλεξίδημος, ἔργῳ δὲ καὶ τὲς σοφὲς ὑμᾶς ὁρῶ τὸ τιμᾶσθαι διώκοντας. καὶ ἅμα παραμειψάμενος ἡμᾶς ἀπῆλθε. καὶ ὁ Θάλης πρὸς ἡμᾶς· τὴν ἀτοπίαν τἒ ἀνθρώπε θαυμάζοντας· Ἔμπληκτος (ἔφη) καὶ ἀλλόκοτος φύσει· ἐπεὶ καὶ μειράκιον ἔτι, μύρε σπεδαίε Θρασυβέλῳ κομισθέντος, εἰς ψυκτῆρα κεράσας [2] μέγαν, καὶ προσεγχέας ἄκρατον, ἐξέπιεν, ἔχθραν ἀντὶ φιλίας διαπεπραγμένος [3]. ἐκ τέτε περιελθὼν [4] ὑπηρέτης· Κελεύει σε Περίανδρος (ἔφη) καὶ Θάλην παραλαβόντα [5] τἒτον ἐπισκέψασθαι τὸ κεκομισμένον ἀρτίως αὐτῷ, πότερον ἄλλως γέγονεν, ἢ τι σημεῖόν ἐςι καὶ τέρας. αὐτὸς μὲν γὰρ ἔοικε τεταράχθαι σφόδρα, μίασμα καὶ κηλῖδα τῆς θυσίας ἡγέμενος. ἅμα δ' ἀπῆγεν ἡμᾶς εἴς τι οἴκημα τῶν περὶ τὸν κῆπον· ἐνταῦθα νεανίσκος, ὡς ἐφαίνετο, νομευτικὸς, ἔπω γενειῶν, ἄλλως τε καὶ τὸ εἶδος ἐκ ἀγεννὴς, ἀναπτύξας τινὰ διφθέραν, ἔδειξεν ἡμῖν βρέφος, ὡς ἔφη, γεγονὸς ἐξ ἵππε, τὰ μὲν ἄνω μέχρι τἒ τραχήλε καὶ τῶν χειρῶν ἀνθρωπόμορφον, τὰ λοιπὰ δ' ἔχον ἵππε, τῇ δὲ

A 5 φωνῇ

ti ἔχοντες. Non opus esse, monet W. probans Xylandri versionem: *statim in nobis ipsis principium ansamque amicitiae inesse ostendamus.* In seq. teste W. fuit, qui τῷ μὴ δυσκολαίνειν mallet.

1 Dedi sic e Turn. V. Bong. probante R. pro vulg. τοπεκλισίαις. In seq. R. mavult οὐ τῷ συγκ. μᾶλλ.

2 Turn. V. Bong. κατακεράσας.

3 Locus, W. judice, vel affectus vel mutilus: certe obscurus. Post φιλίας Turn. V. Bong. Anon inserunt Θρασυβέλῳ.

4 R mavult παρελθὼν, *procedens in medium.* In σε alloquitur Dioclem.

5 R. mavult παραλαβόντας. — τἒτον scil. Niloxenum.

φωνῇ καθάπερ τὰ νεογνὰ παιδάρια κλαυθμυριζόμενον. ὁ μὲν οὖν Νειλόξενος· Ἀλεξίκακε, εἰπὼν, ἀπεστράφη τὴν ὄψιν. ὁ δὲ Θάλης προσέβλεψε [1] τῷ νεανίσκῳ πολὺν χρόνον, εἶτα μειδιάσας· (εἰώθει δ' ἀεὶ παίζειν πρὸς ἐμὲ περὶ τῆς τέχνης) Ἦ που τὸν καθαρμὸν, ὦ Διόκλεις, (ἔφη) κινεῖν διανοῇ, καὶ παρέχειν πράγματα τοῖς τροπαίοις [2], ὥς τινος δεινοῦ καὶ μεγάλου συμβάντος; Τί δὲ (εἶπον) οὐ μέλλω; στάσεως γὰρ, ὦ Θάλη, καὶ διαφορᾶς τὸ σημεῖόν ἐστι. καὶ δέδια, μὴ μέχρι γάμου καὶ γενεᾶς ἐξίκηται, πρινὴ [3] τὸ πρῶτον ἐξιλάσασθαι μήνιμα, τῆς θεοῦ δεύτερον, ὡς ὁρᾷς, προφαινούσης. πρὸς τοῦτο μηδὲν ἀποκρινόμενος ὁ Θάλης, ἀλλὰ γελῶν, ἀπηλλάττετο. καὶ τοῦ Περιάνδρου πρὸς τὰς θύρας ἀπαντήσαντος ἡμῖν, καὶ διαπυθομένου, περὶ ὧν εἴδομεν, ἀφεὶς ὁ Θάλης με, καὶ λαβόμενος τῆς ἐκείνου χειρὸς, ἔφη [4]· Ἃ μὲν Διοκλῆς κελεύει, δράσεις καθ' ἡσυχίαν· ἐγὼ δέ σοι παραινῶ νέοις οὕτω [5] μὴ χρῆσθαι νομεῦσιν ἵππων, ἢ διδόναι γυναῖκας αὐτοῖς. ἔδοξε μὲν οὖν μοι τῶν λόγων ἀκούσας ὁ Περίανδρος ἡσθῆναι σφόδρα.

καὶ

1 Dedi ſic pro vulg. προσέβαλε cum W. qui id ſe ſumſiſſe adnotat ex Voſſ. margine, A. Anon. Turn. V. Bong. Ex his tribus poſterioribus enotatur προσέβλεπε. R. ad προσέβαλε ſubintelligi vult τὴν ὄψιν, quod paulo ante praeceſſit. Praefert tamen προσέβλεπε, cum προσβάλλειν ſic nude poſitum pro προσβλέπειν ſit inſolentius.

2 V. Salm. Anon. Mez. ἀποτροπαίοις, quod R. dari maluit. W. tuetur vulgatam, pro ἀποτροπ. poni ſolitam — *Diis averruncis.*

3 Sic dedi hanc vocem ex conſenſu edd. priorum. In Frft. & R. πρινί. Turn. V. Bong. πρὶν ἤ. Comma dedi poſt μήνιμα, R. jubente — *cum dea*, (Venus puta) *nondum placata priori irae ſuae ſignificatione, alteram addat.*

4 Dedi ſic ex R. mente, quod Xyl. quoque expreſſit, & Mez. probavit. Idem recepit W. Vulgo χειρός· Ἔφ' ἅ.

5 Dedi ſic ex Turn. V. Bong. Idem W. recepit, conſentientibus B. & Voſſ. Vulgo παραινῶν, ἰδίως τὸ μὴ χρ. R. aut delendum τὸ cenſuit, aut leg. τὸ σύνολον, aut τὰ ἀπὸ τοῦδε.

καὶ γὰρ ἐξεγέλασε, καὶ τὸν Θάλην περιλαβὼν [1] κατησπάσατο. κἀκεῖνος· Οἶμαι δὲ, (εἶπεν) ὦ Διόκλεις, καὶ πέρας ἔχει [2] τὸ σημεῖον. ὁρᾷς γὰρ, ἡλίκον κακὸν γέγονεν ἡμῖν, Ἀλεξιδήμου συνδειπνεῖν μὴ θελήσαντος;

IV. Ἐπεὶ δ' εἰσήλθομεν, μεῖζον ἤδη ὁ Θάλης φθεγξάμενος· Ποῦ δὲ (εἶπεν) ὁ ἀνὴρ κατακλινάμενος ἐδυσχέραινεν; ἀποδειχθείσης δὲ τῆς χώρας, περιελθὼν ἐκεῖ κατέκλινεν ἑαυτὸν καὶ ἡμᾶς· Ἀλλὰ κἂν ἐπριάμην (εἰπὼν) Ἀρδάλῳ κοινωνεῖν μιᾶς τραπέζης. ἦν δὲ Τροιζήνιος ὁ Ἄρδαλος, αὐλῳδὸς καὶ ἱερεὺς τῶν Ἀρδαλίων Μουσῶν, ἃς ὁ παλαιὸς Ἄρδαλος ἱδρύσατο, ὁ Τροιζήνιος. ὁ δ' Αἴσωπος· ἐτύγχανε γὰρ ὑπὸ Κροίσου νεωστὶ πρός τε Περίανδρον ἅμα καὶ πρὸς τὸν θεὸν εἰς Δελφοὺς ἀπεσταλμένος, καὶ παρῆν ἐπὶ δίφρου τινὸς χαμαιζήλου παρὰ τὸν [3] Σόλωνα καθήμενος ἄνω κατακείμενον) Ἡμίονος δ' (ἔφη) Λυδὸς, ἐν ποταμῷ τῆς ὄψεως ἑαυτοῦ κατιδὼν εἰκόνα, καὶ θαυμάσας τὸ κάλλος τε καὶ τὸ μέγεθος τοῦ σώματος, ὥρμησε θεῖν, ὥσπερ ἵππος ἀναχαιτίσας. εἶτα μέντοι συμφρονήσας, ὡς ὄνου υἱὸς εἴη, κατέπαυσε ταχὺ τὸν δρόμον, καὶ ἀφῆκε τὸ φρύαγμα καὶ τὸν θυμόν. Ὁ δὲ Χίλων λακωνίσας τῇ φωνῇ· Καὶ τύνη (ἔφη) βραδὺς καὶ τρέχεις [4] τὸν ἡμίονον. ἐκ τούτου παρῆλθε μὲν [5] ἡ Μέλισσα, καὶ κατεκλίθη παρὰ τὸν Περίανδρον· ἡ δ' Εὔμητις ἐκάθισε παρὰ τὸ δειπνεῖν· καὶ ὁ Θάλης ἐμὲ προσαγορεύσας ἐπάνω τοῦ Βίαντος κατακείμενον· Τί δ' οὐκ ἔφρασας, (εἶπεν) ὦ Διόκλεις, Βίαν-

1 Turn. & V. περιβαλών.

2 Turn. V. Bong ἔχει R. mavult καὶ σοὶ πέρας ἔχειν, *exitum habuisse portentum, quod futurum tu affirmabas.*

3 Petav. ἐπὶ Σόλωνα.

4 Elegans lectio, W. judice, nec ex uno B. in ὡς ἡμίονος mutanda, aut κατὰ τὸν ἡμίονον cum Mez. & Reisk.

5 Pro παρῆλθε μὲν A. παρῆλθεν, quod W. praestare censet. Mox Ald. Bas. & Petav. περὶ pro παρά.

Βίαντι [1] τὸν Ναυκρατίτην ξένον ἥκοντα μετὰ προβλημάτων βασιλικῶν αὖθις ἐπ' αὐτὸν, ὅπως νήφων καὶ προσέχων ἑαυτῷ τὸν λόγον δέχηται; καὶ ὁ Βίας· Ἀλλ' ἔτος μὲν (ἔφη) πάλαι δεδίτ]εται ταῦτα παρακελευόμενος· ἐγὼ δὲ τὸν [2] Διόνυσον οἶδα τά τ' ἄλλα δεινὸν ὄντα, καὶ Λύσιον ὑπὸ σοφίας προσαγορευόμενον. ὥςτ' ἐ [3] δέδια, τῦ θεῦ μεςὸς γενόμενος, μὴ ἀθαρσέςερον ἀγωνίσωμαι. Τοιαῦτα μὲν ἐκεῖνοι πρὸς ἀλλήλες ἅμα δειπνῦντες ἔπαιζον. ἐμοὶ δὲ, τὸ δεῖπνον εὐτελέςερόν τι τῦ συνήθες ὁρῶντι, ἐννοεῖν ἐπῄει πρὸς ἐμαυτὸν, ὡς σοφῶν καὶ ἀγαθῶν ἀνδρῶν ὑποδοχὴ [4] καὶ κλῆσις ἐδεμίαν προστίθησι δαπάνην, ἀλλὰ συςέλλει μᾶλλον, ἀφαιρῦσα περιεργίας ὄψων, καὶ μύρα ξενικὰ καὶ πέμματα, καὶ πολυτελῶν οἴνων διαχύσεις, οἷς καθ' ἡμέραν χρώμενος ἐπιεικῶς ὁ Περίανδρος ἐν τυραννίδι καὶ πλέτῳ καὶ πράγμασι, τότε πρὸς τὲς [5] ἄνδρας ἐκαλλωπίζετο λιτότητι καὶ σωφροσύνῃ δαπάνης. ἐ γὰρ μόνων τῶν ἄλλων, ἀλλὰ καὶ τῆς γυναικὸς, ἀφελὼν καὶ ἀποκρύψας τὸν συνήθη κόσμον, ἐπεδείκνυε σὺν εὐτελείᾳ καὶ μετριότητι [6] κεκοσμημένην.

V. Ἐπεὶ δ' ἐπήρθησαν αἱ τράπεζαι, καὶ ςεφάνων παρὰ τῆς Μελίσσης διαδοθέντων, ἡμεῖς μὲν ἐσπείσαμεν, ἡ δ' αὐλητρὶς [7] ἐπιφθεγξαμένη μικρὰ ταῖς σπονδαῖς, ἐκ μέσε μετέςη, προσαγορεύσας τὸν Ἀνάχαρσιν ὁ Ἄρδα-

1 abest Βίαντι a Petav.

2 abest τὸν a Petav.

3 Petav. ὡς ἐ. Id. mox εὐτελέςερόν τε pro εὐτέλ. τι; & ἐποίει pro ἐπῄει.

4 Dedi sic, R. probante, e Petav. pro vulg. ἀποδοχή. Idem recepit W. consentiente Voss.

5 abest τὲς a Petav. Paulo ante idem περιεργείας; & mox ἐγκαλλωπίζετο; item μόνον pro μόνων.

6 A. Voss. κοσμιότητι, unde forte veram lectionem apparere susp. W. καθαριότητι.

7 Petav. ἡ δὲ αὐλητρίδες εἰσίν. An forte desunt, quae interjacent inter ἡ δὲ & αὐλητρίδες εἰσίν?

Ἄρδαλος, ἠρώτησεν, εἰ παρὰ Σκύθαις αὐλητρίδες εἰσίν· ὁ δ' ἐκ τοῦ προστυχόντος· Οὐδ' ἄμπελοι, εἶπε. τοῦ δ' Ἀρδάλου πάλιν εἰπόντος· Ἀλλὰ θεοί γε Σκύθαις εἰσίν· Πάνυ μὲν οὖν, (ἔφη [1]) γλώσσης ἀνθρωπίνης συνιέντες, οὐχ ὥσπερ [2] οἱ Ἕλληνες οἰόμενοι Σκυθῶν διαλέγεσθαι βέλτιον, ὅμως τοὺς θεοὺς ὀσέων καὶ ξύλων ἥδιον ἀκροᾶσθαι νομίζουσιν. ὁ δ' Αἴσωπος· Εἴγε (εἶπεν) εἰδείης, ὦ ξένε, τοὺς νῦν αὐλοποιοὺς, ὡς προέμενοι τὰ νεβρεῖα, χρώμενοι τοῖς ὀνείοις, βέλτιον ἠχεῖν λέγουσι. διὸ καὶ Κλεόβουλον ἡ πρὸς τὸν Φρύγιον αὐλὸν νεβρογόνος κνήμη κερασφόρον οὖας ἦξε θαυμάζειν ἕκατι κρούσεως [3]. ὥστε θαυμάζειν τὸν ὄνον, εἰ παχύτατος καὶ ἀμουσότατος ὢν τἄλλα [4], λεπτότατον καὶ μουσικώτατον ὀσέον παρέχεται.

1 abest ἔφη a Petav.

2 Vulgo post h. v. datur δέ. Omittendam censui hanc particulam cum Petav. — R. susp. οὐχ ὥσπερ οἶδε οἱ Ἕλληνες.

3 Locus adeo vitiosus & corruptus, ut de ejus correctione plane desperandum esse videatur, cum ne codices quidem MSS. teste W. aliquid medicinae praebeant, neque pro ratione materiae formaque orationis ulla conjectura facilis aut probabilis esse possit. R. fatetur, se dithyrambicam hanc Pindari forsitan dictionem non capere, monens porro, non satis ex decoro Aesopo, Sermonis humillimi auctori, dithyrambicam affingi, & tanto antiquiori multo recentiorem. Turn. V. Bong. αὐλὸν ἤρξατο νεκρόγονος κνήμη αἷμα κεράσφορον οὖας ἐκπεπληκὼς τε θαυμάζειν τὸν ὄνον. Petav. ita: αὐλὸν ἤρξατο κνήμη νεκρογόνος αἷμα κερασφόρῳ, οὖας ἔκ τι κρούσεως θαυμάζειν. Cum posteriori consentiunt A. Voss. Venet. excepto ἔκ τε κρούσεως. Anon. & Mez. habent Κλεοβουλίνην. Hinc W. susp. Κλεοβουλίνη πρὸς τὸν Φρύγιον αὐλὸν εἶπε, Νεβρογόνος κνήμη κεράτβολον οὖας ἦσε ἕκατι κρούσεως· ὥστε θαυμάζειν τὸν ὄνον — *Cleobulina dixit de Phrygia tibia, Hinnulea tibia durae auri placuit propter ictum, seu crepitum* — monens, Cleobulinae dictum esse totum ad παρέχεται, & tragicum colorem Plutarchum addidisse videri ex Eurypidis Polyido. Petav. mox ἀμουσότατος.

4 Comma, quod vulgo ante τἄλλα exstitit, dedi, R. jubente, cum W. post h. v. — *asinum, animal, si caetera species, crassissimum & stupidissimum.*

ται. καὶ ὁ Νειλόξενος· Ἀμέλει ταῦτα (ἔφη) καὶ ἡμῖν τοῖς Ναυκρατίταις ἐγκαλοῦσι Βουσιρῖται· χρώμεθα γὰρ ἤδη τοῖς ὀνείοις εἰς τὸν αὐλόν· ἐκείνοις δὲ καὶ σάλπιγγος ἀκούειν ἀθέμιτον, ὡς ὄνῳ φθεγγομένης ὅμοιον· ὄνον δὲ ὑπ' Αἰγυπτίων ἴστε δή που διὰ Τυφῶνα προπηλακιζόμενον.

VI. Γενομένης δὲ σιωπῆς, ὁ Περίανδρος περιορῶν [1] βουλόμενον μέν, ὀκνοῦντα δ' ἄρξασθαι τοῦ λόγου τὸν Νειλόξενον· Ἐγώ τοι (εἶπεν) ὦ ἄνδρες, ἐπαινῶ καὶ πόλεις καὶ ἄρχοντας, ὅσοι ξένοις πρῶτον, εἶτα πολίταις χρηματίζουσι· καὶ νῦν δοκεῖ μοι τοὺς μὲν ἡμετέρους λόγους οἷον ἐπιχωρίους καὶ συνήθεις βραχὺν χρόνον ἐπισχεῖν, πρόσοδον δ' ὥσπερ ἐν ἐκκλησίᾳ [2] δοῦναι τοῖς Αἰγυπτίοις ἐκείνοις καὶ βασιλικοῖς, οὓς ὁ βέλτιστος ἥκει κομίζων Νειλόξενος Βίαντι, Βίας δὲ βούλεται κοινῇ σκέψασθαι μεθ' ἡμῶν [3]. καὶ ὁ Βίας· Ποῦ γάρ, ἢ μετὰ τίνων, (ἔφη [4]) προθυμότερον ἄν τις ἀποκινδυνεύσειεν, εἰ δεῖ [5] πρὸς τοιαύτας ἀποκρίσεις, ἄλλως τε τοῦ βασιλέως κελεύσαντος ἄρξασθαι [6] μὲν ἀπ' ἐμοῦ, περιελθεῖν δ' εἰς ἅπαντας ὑμᾶς [7] τὸν λόγον; οὕτω δὴ παρεδίδου μὲν αὐτῷ τὸ γραμματεῖον ὁ Νειλόξενος, αὐτὸν δὲ [8] ἐκέλευσε λύσαντα (πάν-

1 Bene monet R. minus commode dici περιορῶν, aptius censens συνορῶν. W. susp. ἔτι ὁρῶν. Equidem malim simplex ὁρῶν, cum περὶ ex praemisso male repetitum videatur.

2 Dedi praepositionem ἐν, quae vulgo abest, ex Turn. V. Bong. Idem fecit W. Anon. consentiente. — ἐκκλησίαν Mez. Exempl. Turn.

3 Mez. μεθ' ὑμῶν; quod praeferendum censet W.

4 abest ἔφη a Petav. &, W. notante, a Venet.

5 Xyl. εἰ δεῖ, quasi in parenthesi dictum, vertit: *si ita usus ferat.* W. susp. fuisse ἔφη, quod vix in quibusdam omissum fuit; aut etiam legendum πρὸς τοιαῦτα ἀποκρίνεσθαι.

6 Turn. & Bong. ἄρχεσθαι.

7 Sententia flagitante dedi ὑμᾶς, pro vulg. ἡμᾶς, ex codice, cujus nomen reticetur. Idem W. dedit ex B. Voss. Mez.

8 In his cum W. secutus sum Xyl. versionem, & editionem, codi-

(πάντα) πᾶσιν ἐς μέσον ἀναγνῶναι. διάνοιαν δὲ τοιαύτην εἶχε τὰ γεγραμμένα· Βασιλεὺς Αἰγυπτίων, Ἄμασις, λέγει [1] Βίαντι, σοφωτάτῳ Ἑλλήνων. Βασιλεὺς Αἰθιόπων ἔχει πρὸς ἐμὲ σοφίας ἅμιλλαν· ἡττώμενος δὲ τοῖς ἄλλοις, ἐπὶ πᾶσι συντέθεικεν ἄτοπον ἐπίταγμα καὶ δεινὸν, ἐκπιεῖν με κελεύων τὴν θάλασσαν. ἔστι δὲ λύσαντι μὲν, ἔχειν κώμας τε πολλὰς καὶ πόλεις τῶν ἐκείνου· μὴ λύσαντι δὲ, ἄστεων τῶν περὶ Ἐλεφαντίνην ἀποστῆναι. σκεψάμενος οὖν εὐθὺς [2] ἀπόπεμπε Νειλόξενον. ἃ δὲ δεῖ φίλοις σοῖς, ἢ πολίταις, γενέσθαι παρ' ἡμῶν, οὐ τἀμὰ κωλύσει. τούτων ἀναγνωσθέντων, οὐ πολὺν χρόνον ἐπισχὼν ὁ Βίας, ἀλλὰ μικρὰ μὲν αὐτὸς πρὸς αὐτῷ γενόμενος, μικρὰ δὲ τῷ Κλεοβούλῳ προσομιλήσας [3], ἐγγὺς κατακειμένῳ· Τί λέγεις, (εἶπεν) ὦ Ναυκρατῖτα, βασιλεύων τοσούτων ἀνθρώπων Ἄμασις, κεκτημένος δὲ χώραν ἀρίστην τοσαύτην, ἐθελήσει ἐπὶ κώμαις ἀδόξοις καὶ λυπραῖς ἐκπιεῖν θάλασσαν; καὶ [4] ὁ Νειλόξενος γελά-

codicem B. & Mez. Vulgo γραμματεῖον, ὁ Νειλόξενος δ' αὐτόν. R. fic diftingui voluit & legi: *tradebat ipfi codicillos*, τὸ γραμματεῖον ὁ Νειλόξενος, *at ille*, Bias puta, ὁ δ' αὐτὸν — *eum*, Niloxenum, folvere vincula litterarum jubebat. In feq. vulgo fuit λύσαντα παντάπασιν. Cum nulla hujus vocis hoc in loco vis effe queat, R. legi voluit λύσαντα πᾶσιν ἐς μέσον. W. dedit λύσαντα, πάντα πᾶσιν. At ego nec hoc modo πάντα ferendum cenfeo, haud dubie ortum ex antecedentis vocis fyllabis finalibus. Hinc uncis inclufi.

1 R. ex Frft. λέγειν. Correxi ex confenfu priorum.

2 Turn. & Bong. ἔναγχος. Id. cum Petav. Ald. & Baf. ἀπόπεμπε pro ἀπόπεμπε. Pofterius jam Xyl. cum Turn. legit. Pariter Petav. Ald. & Baf. ἃ δεῖ, omiffo δέ.

3 Petav. προσομιλίσας; item mox βασιλευόντων pro βασιλεύων.

4 Dedi hoc καὶ cum W. ex Petav. Vulgo abeft. R. fufp. ἐφ' οἷς ὁ N. Pro ὡς θελήσαντος, quod habent Stèph. Anon. Exempl. Turn. Item Petav. non diffentientibus B. E. G. eft in Ald. Baf. Xyl. A. Voff. ὡς θέλεις αὐτός; in Venet. ὡς θέλης αὐτός; in Jannot. ὡς θέλει αὐτός.

γελάσας· Ὡς θελήσαντος, (εἶπεν) ὦ Βία, σκόπει τὸ δυνατόν. Φραζέτω τοίνυν (ἔφη) τῷ Αἰθίοπι τοὺς ἐμβάλλοντας εἰς τὰ πελάγη ποταμοὺς ἐπισχεῖν, ἕως αὐτὸς ἐκπίνῃ [1] τὴν νῦν οὖσαν θάλασσαν· περὶ ταύτης γὰρ τὸ ἐπίταγμα γέγονεν, οὐ τῆς ὕστερον ἐσομένης. ὡς δὲ ταῦτα εἶπεν ὁ Βίας, ὁ μὲν Νειλόξενος ὑφ' ἡδονῆς ὥρμησε περιβάλλειν τὸν Βίαντα καὶ φιλῆσαι· τῶν δ' ἄλλων ἐπαινεσάντων καὶ ἀποδεξαμένων, γελάσας ὁ Χίλων· Ὦ Ναυκρατῖτα (ἔφη) ξένε, πρὶν ἀπολέσθαι [2] τὴν θάλασσαν ἐκποθεῖσαν, ἀπάγγελε [3] πλεύσας Ἀμάσιδι, μὴ ζητεῖν, ὅπως ἅλμην ἀναλώσῃ [4] τοσαύτην, ἀλλὰ μᾶλλον ὅπως πότιμον καὶ γλυκεῖαν τοῖς ὑπηκόοις παρέξῃ τὴν βασιλείαν. περὶ ταῦτα γὰρ [5] δεινότατος Βίας, καὶ διδάσκαλος τούτων ἄριστος. ἃ μαθὼν Ἄμασις [6] οὐδὲν ἔτι τοῦ χρυσοῦ δεήσεται ποδονιπτῆρος ἐπὶ τοὺς Αἰγυπτίους, ἀλλὰ θεραπεύσουσι πάντες αὐτὸν, καὶ ἀγαπήσουσι χρηστὸν ἐόντα, κἂν μυριάκις, ἢ νῦν, ἀναφανῇ δυσγενέστερος [7]. Καὶ μὴν (ἔφη ὁ Περίανδρος) ἄξιόν γε τοιαύτας ἀπαρχὰς [8] τῷ βασι-

1 Cod. cujus nomen reticetur, ἐκπίνειν.

2 Petav. Ald. & Baſ. ἀπολύσασθαι.

3 W. ἀπαγγέλλε (ſic in textu & nota) ex uno Voſſ. monens, alios omnes ἀπαγγέλε. Accentu ſic poſito in nulla editionum obſervo. Ex analogia accentuationis prius dandum fuiſſet ἀπάγγελλε. Antea Petav ἐκδοποθεῖσαν.

4 Recepi, R. probante, e Turn. V. Bong. pro vulg. ἀναχώσῃ. Item W. conſentientibus G. & Anon. Mox Petav. παρέξει.

5 In Ald. & Baſ. γὰρ legitur poſt Βίας.

6 Cf. Herodot. II, 172. Mox Turn. & Bong. ποδανιπτῆρος.

7 Recepi hanc vocem ex R. mente, *ignobilior*, naſcendi ſortem humiliorem nactus. Vulgo δυσμενέστατος. Turn. δυσμενέστερος; G. Exempl. Turn. δυσγενέστατος, unde pariter W. effecit & dedit δυσγενέστερος. Idem praemiſſum ἐόντα non ab auctore putat eſſe profectum.

8 Petav. ἀπ' ἀρχὰς. Mox Ald. & Baſ. ἀνδρικὰς. Xyl. correxit, monens, alludi ad Hom. Odyſſ. 13, 13. Petav. ἔφην pro ἔφησεν, & ἐμπαρίαις pro ἐμπορίαις.

βασιλεῖ συνεισενεγκεῖν ἅπαντας ἀνδρακὰς, ὥσπερ ἔφησεν Ὅμηρος. ἐκείνῳ τε γὰρ ἂν γένοιτο πλέονος ἀξία τῆς ἐμπορίας ἡ παρενθήκη, καὶ ἡμῖν ἀντὶ πάντων ὠφέλιμος.

VII. Εἰπόντος οὖν τοῦ Χίλωνος ὡς Σόλων [1] κατάρχεσθαι τοῦ λόγου δίκαιός ἐστιν, οὐ μόνον ὅτι πάντων προήκει καθ᾽ ἡλικίαν, καὶ τυγχάνει κατακείμενος πρῶτος, ἀλλ᾽ ὅτι τὴν μεγίστην καὶ τελειοτάτην [2] ἀρχὴν ἄρχει, νόμους Ἀθηναίοις θέμενος· ὁ οὖν Νειλόξενος ἡσυχῇ πρὸς ἐμέ· Πολλά γε, (εἶπεν) ὦ Διόκλεις, πιστεύεται ψευδῶς, καὶ χαίρουσιν οἱ πολλοὶ [3] λόγους ἀνεπιτηδείους περὶ σοφῶν ἀνδρῶν αὐτοί τε [4] πλάττοντες καὶ δεχόμενοι παρ᾽ ἑτέρων ἕτοιμοι. οἷα καὶ πρὸς ἡμᾶς εἰς Αἴγυπτον ἀπηγγέλη περὶ Χίλωνος, ὡς ἄρα διαλύσαιτο τὴν πρὸς Σόλωνα φιλίαν καὶ ξενίαν, ὅτι τοὺς νόμους ὁ Σόλων ἔφη μετακινητοὺς [5] εἶναι. καὶ ἐγώ· Γελοῖος (ἔφην) ὁ λόγος· οὕτω γὰρ δεῖ πρῶτον ἀποποιεῖσθαι τὸν Λυκοῦργον αὐτοῖς νόμοις ὅλην μετακινήσαντα τὴν Λακεδαιμονίων πολιτείαν. μικρὸν οὖν ἐπισχὼν ὁ Σόλων· Ἐμοὶ μὲν οὖν [6] (ἔφη) δοκεῖ μάλιστ᾽ ἔνδοξος γενέσθαι καὶ βασιλεὺς καὶ τύραννος, εἰ δημοκρατίαν ἐκ μοναρχίας κατασκευάσειε τοῖς πολίταις. δεύτερος δὲ ὁ Βίας εἶπεν· Εἰ πρῶτος χρῷτο τοῖς νόμοις τῆς πατρίδος· ἐπὶ τούτῳ δὲ Θάλης

1 Recepi ſic cum W. ex Turn. V. Bong. Anon. Vulgo ὁ Σόλων.

2 Reſtitui hanc vocem ex edd. prioribus pro πλειοτάτην, quam lectionem R. e Frſt. retinuit, monens quidem, πλειοτάτην idem eſſe cum τελειοτάτην, hoc tamen praeferens, cum ſit uſitatius, illud autem poëtis frequentius.

3 Petav. Ald. Baſ. χαίρουσι πολλοί.

4 Turn. V. Bong. αὐτοῖς τε. In ſeq. Baſ. πλάττον τοῖς vitioſe pro πλάττοντες. Mox Petav. ἀπαγγέλῃ.

5 R. mavult μετακινητέους, loco movendos; W. autem μὴ κινητούς. In ſuppl. V. L. Frſt. enotatur μετακινήτους.

6 abeſt οὖν a Turn. V. Bong. ſed ejus loco poſt μάλιστ᾽ inſerunt iidem ἄν.



[library stamp, crossed out]

λης [1] ἔφησεν, εὐδαιμονίαν ἄρχοντος νομίζειν, εἰ ἐτελεύτησε γηράσας κατὰ φύσιν. τέταρτος Ἀνάχαρσις· Εἰ μόνος εἴη φρόνιμος. πέμπτος δὲ Κλεόβουλος· Εἰ μηδενὶ πιστεύοι [2] τῶν συνόντων. ἕκτος δὲ ὁ Πιττακός· Εἰ τοὺς ὑπηκόους ὁ ἄρχων παρασκευάσειε [3] φοβεῖσθαι μὴ αὐτὸν, ἀλλ' ὑπὲρ αὐτοῦ· μετὰ τοῦτον ὁ Χίλων ἔφη, τὸν ἄρχοντα χρῆναι μηδὲν φρονεῖν θνητὸν, ἀλλὰ πάντα ἀθάνατα. ῥηθέντων δὲ τούτων, ἠξιοῦμεν ἡμεῖς καὶ αὐτὸν εἰπεῖν τι τὸν Περίανδρον. ὁ δ', οὐ μάλα φαιδρὸς, ἀλλὰ συστήσας τὸ πρόσωπον· Ἐγὼ τοίνυν (ἔφη) προσαποφαίνομαι, τὰς εἰρημένας γνώμας ἁπάσας σχεδὸν ἀφιστάναι [4] τοῦ ἄρχειν τὸν νοῦν ἔχοντα. καὶ ὁ Αἴσωπος, οἷον ἐλεγκτικός [5]. Ἔδει τοίνυν (ἔφη) τοῦτο καθ' ἑαυτοὺς περαίνειν, καὶ μὴ, συμβούλους φάσκοντας εἶναι καὶ φίλους, κατηγόρους γίνεσθαι τῶν ἀρχόντων [6]. ἀψάμενος οὖν αὐτοῦ τῆς κεφαλῆς ὁ Σόλων, καὶ μειδιάσας [7] εἶπεν· Οὐκ ἂν δοκῇ σοι μετριώτερον ἄρχοντα ποιεῖν, καὶ τύραννον ἐπιεικέστερον, ὁ πείθων, ὡς ἄμεινον εἴη τὸ μὴ ἄρχειν, ἢ τὸ ἄρχειν; Τίς δ' ἂν (ἔφη) σοὶ τοῦτο πεισθείη [8], ἢ τῷ θεῷ φράσαντι κατὰ τὸν πρὸς σὲ χρησμόν·

Εὐδαι-

1 Turn. V. Bong. ὁ Θάλης. Mox Petav. γεράσας.

2 Petav. πιστεύοι.

3 Codex, cujus nomen reticetur, κατασκευάσειε.

4 Dedi fic pro vulg. ἀφιστάναι, fententia flagitante, nec dubito, quin Petav. fic legendum exhibuerit, cum ex eo in ind. Var. id, quod vulgo legitur, enotatur. W. quoque rectius cenfuit ἀφιστάναι. R. dubitat, vulgatam fervet, fenfu fcil. ἀφιστάναι, an hoc potius fuadeat.

5 Turn. V. Bong. ἐλεγκτικῶς.

6 Petav. ἀρχομένων.

7 Vulc. Turn. Bong. διαμειδιάσας. In feq. R. fufp. οὐκ, οὖν δοκεῖ σοι; & pro ὁ πείθων Petav. ἢ πείθων.

8 Subaudiendum μᾶλλον. Pro feq. χρησμὸν Turn. V. Bong. θεσμόν.

Εὔδαιμον πτολίεθρον ἑνὸς κήρυκος ἀκȣ́ειν [1].

Καὶ ὁ Σόλων· Ἀλλὰ μὴν (ἔφη) καὶ νῦν Ἀθηναῖοι ἑνὸς κήρυκος ἀκροῶνται, καὶ ἄρχοντος τȣ̃ νόμȣ, δημοκρατίαν ἔχοντες. σὺ δὲ δεινὸς εἶ κοράκων ἐπαΐειν, καὶ κολοιῶν, τῆς δὲ σȣ̃ [2] φωνῆς ȣ̓κ ἀκριβῶς ἐξακȣ́εις, ἀλλὰ πόλιν μὲν οἴει κατὰ θεὸν ἄριςα πράττειν τὴν ἑνὸς ἀκȣ́ȣσαν, συμπόσιȣ δ' ἀρετὴν νομίζεις τὸ πάντας διαλέγεσθαι καὶ περὶ πάντων. Σὺ γὰρ (ἔφη ὁ Αἴσωπος) ȣ̓́πω γέγραφας, (ὅτι ὅμοιον [3]) οἰκέτας μὴ μεθύειν· ὡς ἔγραψας Ἀθήνησιν, οἰκέτας μὴ ἐρᾷν, μηδὲ ξηραλοιφεῖν. γελάσαντος ȣ̃ν τȣ̃ Σόλωνος, Κλεόδημος [4], ὁ ἰατρός· Ἀλλ' ὅμοιον [5] (ἔφη) τὸ ξηραλοιφεῖν τῷ λαλεῖν ἐν οἴνῳ βρεχόμενον· ἥδιςον γὰρ ἐςι. καὶ ὁ Χίλων ὑπολαβὼν ἔφη· Διὰ τȣ̃τό τοι μᾶλλον ἀφεκτέον αὐτȣ̃, πάλιν δὲ ὁ Αἴσωπος· Καὶ μὴν (ἔφη) Θάλης ἔδοξεν εἰπεῖν, ὅτι τάχιςα γηράσει [6].

VIII. Γελάσας ȣ̃ν ὁ Περίανδρος· Ἔχομεν, (εἶπεν)



1 Xyl. adnotat, ἀκȣ́ειν dictum esse constructionis causa: alias legi ἀκȣ̃ον; quod R. maluit.

2 R. mavult τῆς δὲ θεȣ̃ φωνῆς. Sic Kaltw. vertit: *jene göttlichen Worte*. Mox Turn. V. Bong. κατὰ τὸν θεὸν; & Petav. πόλις pro πόλιν.

3 Quae uncis inclusi, delenda censuit R. Jam Xyl. vulgatam vitiosam censuit, suspicans, forte νόμον scriptum fuisse. W. eadem aut deleri voluit, aut aliquid in eo latere suspicatur, quod proximo Ἀθήνησιν opponatur, & ejusmodi fere sententiam habeat: *nondum profecto legem convivalem tulisti, ne servi inebrientur: prouti Athenis Civilem legem tulisti, ne ament nec sicca unctione utantur.* Mez. corrigit ὅτι νόμιμον, quod, W. judice, friget.

4 Sic dare haud dubitavi pro Κλεόδωρος, quod in omnibus extat, Xylandro ita legi jubente & vertente. Etiam W. idem legendum censet.

5 W. susp. ἀνόμοιον.

6 Hujus dicterii rationem non satis apparere, W. monet, & aliquid excidisse suspicatur.

πεν) Αἰσώπε, τὴν δίκην προσηκόντως, (ὅτι [1]) πρινὴ τὲς Ἀμάσιδος προειλόμεθα [2] πάντας εἰσαγαγεῖν λόγες εἰς ἑτέρες ἐμπεσόντες. ὅρα δὴ, Νειλόξενε, τὰ λοιπὰ [3] τῆς ἐπιςολῆς, καὶ χρῶ παρεσιν ἐν ταὐτῷ [4] τοῖς ἀνδράσιν. Ἀλλὰ μὴν (ὁ Νειλόξενος ἔφη) τὴν μὲν τε Αἰθίοπος ἐπίταξιν ἐδὲν ἂν τις ἄλλο, πλὴν ἀγνυμένην [5] σκυτάλην προσείποι κατ' Ἀρχίλοχον. ὁ δὲ σὸς ξένος, Ἄμασις, ἡμερώτερος ἐν τοῖς τοιέτοις προβλήμασι καὶ μεσικώτερος γέγονεν. ἐκέλευσε γὰρ αὐτὸν εἰπεῖν τὸ πρεσβύτατον, καὶ τὸ κάλλιςον, καὶ τὸ μέγιςον, καὶ τὸ σοφώτατον, καὶ τὸ κοινότατον [6]. καὶ ναὶ μὰ Δία πρὸς τέτοις τὸ ὠφελιμώτατον καὶ βλαβερώτατον, καὶ τὸ ἰσχυρότατον [7], καὶ τὸ ῥᾷςον. Ἆρ' ἂν, εἶπεν, ἀπεκρίνατο [8] καὶ διέλυσε τέτων ἕκαςον; Οὕτως· ὁ Νειλόξενος ἔφη, κρίνετε δὲ ὑμεῖς ἀκέσαντες. περὶ πολλε γὰρ ὁ βασιλεὺς ποιεῖται, μήτε συκοφαντῶν ἁλῶναι τὰς ἀποκρίσεις, εἴτε τι σφάλλεται κατὰ ταύτας ἀποκρινάμενος, τετο μὴ διαφυγεῖν ἀνεξέλεγκτον [9]. ἀναγνώσομαι δὲ ὑμῖν, ὥσπερ ἀπεκρίνατο. Τί πρεσβύτατον; χρόνος. Τί μέγιςον; κόσμος. Τί σοφώτατον; ἀλήθεια. Τί κάλλιςον; φῶς. Τί κοινότατον; θάνατος. Τί ὠφελιμώτατον; θεός. Τί βλαβερώτατον; δαίμων. Τί ῥωμαλεώτατον; τύχη. Τί ῥᾷςον; ἡδύ.

IX.

1 ὅτι, quod cum R. delendum cenfeo, uncis inclufi. W. pariter id aut deleri vult, aut cum ἅτε mutari.

2 W. Ἀμάσιδος, ἃς προειλόμ. recepto pronomine ex B.

3 Petav. ὅρα δὴ τὰ λοιπὰ, Νειλόξενε.

4 Dedi fic e R. & W. mente, *in uno loco*, pro vulg. τέτῳ.

5 *fractam*. Dedi fic e Xyl. conjectura, a R. probata. Vulgo ἀχνυμένην. Pro feq. προσείποι Ald. & Baf. προσείπῃ.

6 Turn. & Bong. καινότατον.

7 Turn. & V. καὶ ἰσχυρ. omiffo articulo.

8 Dedi fic, verfionem Xyl. fecutus, & W. conjecturam. Vulgo τὸ ῥᾷςον εἰπεῖν. Ἆρ' ἂν ἀπεκρίνατο.

9 Petav. ἀνεξέλεκτον.

IX. Τέτων πάλιν ἀναγνωσθέντων, ὦ Νίκαρχε, γενομένης σιωπῆς, Θάλης ἠρώτησε τὸν Νειλόξενον, εἰ προσήκατο τὰς λύσεις ὁ Ἄμασις. ἐκείνε δ' εἰπόντος, ὅτι τὰς μὲν ἀπεδέξατο, ταῖς δ' ἐδυσκόλαινε· Καὶ μὴν ἐδὲν [1] (εἶπεν ὁ Θάλης) ἀνεπίληπτόν ἐσιν, ἀλλ' ἔχει πάντα διαμαρτίας μεγάλας καὶ ἀγνοίας. οἷον εὐθὺς, ὁ χρόνος πῶς ἂν εἴη πρεσβύτατον, εἰ τὸ μὲν αὐτῦ γεγονὸς, τὸ δ' ἐνεσὼς ἐσὶ, τὸ δὲ μέλλον. ὁ γὰρ μεθ' ἡμᾶς ἐσόμενος χρόνος, καὶ πραγμάτων τῶν νῦν καὶ ἀνθρώπων νεώτερος ἂν φανείη. τὸ δὲ τὴν ἀλήθειαν ἡγεῖσθαι σοφίαν, ἐδὲν ἐμοὶ δοκεῖ διαφέρειν τῦ τὸ φῶς ὀφθαλμὸν ἀποφαίνειν [2]. εἰ δὲ τὸ φῶς, ὥσπερ ἐσὶ, καλὸν ἐνόμιζε [3], πῶς τὸν ἥλιον αὐτὸν παρεῖδε; τῶν δ' ἄλλων, ἡ μὲν περὶ θεῶν καὶ δαιμόνων ἀπόκρισις, θράσος ἔχει καὶ κίνδυνον· ἀλογίαν δέ γε [4] πολλὴν ἡ περὶ τῆς τύχης. ὐ γὰρ ἂν μετέπιπτε ῥᾳδίως ὕτως [5], ἰσχυρότατον ὖσα τῶν ὄντων καὶ ῥωμαλεώτατον· ὐ μὴν ὐδὲ θάνατος κοινότατόν [6] ἐσιν· ὐ γάρ ἐσι πρὸς τὺς ζῶντας. ἀλλ' ἵνα μὴ δοκῶμεν εὐθύνειν τὰς τῶν ἑτέρων, ἰδίας ἀποφάσεις ταῖς ἐκείνε παραβάλλωμεν· ἐμαυτὸν δὲ παρέχω πρῶτον, εἰ βόλεται Νειλόξενος, ἐρωτᾷν καθ' ἕκασον, ὡς ὖν [7] ἐγένοντο τότε, κἀγὼ νῦν διηγήσομαι τὰς ἀποκρίσεις καὶ τὰς ἐρωτήσεις. Τί πρεσβύτατον; θεός·



1 ab Ald. & Baſ. abeſt ὐδὲν; eaedem mox ἀνεπίληςον pro ἀνεπίληπτον. In Suppl. V. L. Frft. mox enotatur ἐνεςὸς.

2 Petav. ὀφθαλμῶν ἀποφαίνει.

3 Transpoſui vulgatam ὥσπερ καλόν ἐςὶν, ἐνόμιζε, ex R. mente. W. hunc ordinem voluit, καλὸν, ὥσπερ ἐςὶν, ἐνόμ.

4 Dedi ſic, quod W. voluit, ex Exempl. Turn. Vulgo δὲ καὶ. V. Turn. Bong. ἀλογίαν γὲ καὶ. R. ſuſp. ἀλογίαν δὲ, καὶ ταῦτα πολλὴν, aut ἀλογίαν δὲ καὶ πλάνην πολλὴν.

5 Poſt h. v. dedi comma, quod vulgo ante eam datur, ex R. mente. Etiam a Xyl. cum praecedenti jungitur.

6 Petav. Ald. Baſ. κοινόν ἐςιν.

7 abeſt ὖν a Turn.

(ἔφη Θάλης [1]) ἀγέννητον γάρ ἐςι. Τί μέγιςον; τόπος· τἄλλα μὲν γὰρ ὁ κόσμος, τὸν δὲ κόσμον ἔτος περιέχει. Τί κάλλιςον; κόσμος· πᾶν γὰρ τὸ κατὰ τάξιν, τέτε μέρος ἐςί. Τί σοφώτατον; χρόνος· τὰ μὲν γὰρ εὕρηκεν ἔτος ἤδη, τὰ δὲ εὑρήσει. Τί κοινότατον; ἐλπίς· καὶ γὰρ οἷς ἄλλο μηδὲν, αὕτη πάρεςι. Τί ὠφελιμώτατον; ἀρετή· καὶ γὰρ τἄλλα τῷ χρῆσθαι καλῶς ὠφέλιμα ποιεῖ. Τί βλαβερώτατον; κακία· καὶ γὰρ τὰ πλεῖςα βλάπτει παραγενομένη. Τί ἰσχυρότατον; ἀνάγκη· μόνον γὰρ ἀνίκητον. Τί ῥᾷςον; τὸ κατὰ φύσιν· ἐπεὶ πρὸς ἡδονὰς γε πολλάκις ἀπαγορεύεσιν.

X. Ἀποδεξαμένων δὲ πάντων τὸν Θάλην [2], ὁ Κλεόδημος εἶπε· Τὸ ταῦτα ἐρωτᾷν καὶ ἀποκρίνασθαι βασιλεῦσιν, ὦ Νειλόξενε, προσῆκόν ἐςιν. ὁ δὲ προπίνων τὴν θάλατταν Ἀμάσιδι βάρβαρος ἐδεῖτο τῆς Πιττακῦ βραχυλογίας, ᾗ πρὸς Ἀλυάττην ἐχρήσατο, προστάττοντά τι καὶ γράφοντα Λεσβίοις ὑπερήφανον [3], ἀποκρινάμενος ἐδὲν, ἀλλ' ἢ μόνον κελεύσας κρόμμυα καὶ θερμὸν ἄρτον ἐσθίειν· ὑπολαβὼν ἔν ὁ Περίανδρος· Ἀλλὰ μὴν καὶ τοῖς παλαιοῖς Ἕλλησιν ἔθος ἦν, ὦ Κλεόδημε, τοιαύτας ἀλλήλοις ἀπορίας προβάλλειν. ἀκέομεν γὰρ, ὅτι καὶ πρὸς τὰς Ἀμφιδάμαντος ταφὰς εἰς Χαλκίδα τῶν τότε σοφῶν οἱ δοκιμώτατοι ποιηταὶ συνῆλθον· (ἦν δὲ ὁ Ἀμφιδάμας ἀνὴρ πολιτικὸς [4], καὶ πολλὰ πράγματα παρασχὼν Ἐρετριεῦσιν ἐν ταῖς περὶ Λιλαντε [5] μά-

1 Turn. & Bong. ὁ Θάλης.

2 Petav. Θάλη; & mox τοσαῦτα pro ταῦτα, cum Ald. Baf. Xyl. A. Voff. A Steph. prodiit ταῦτα. W. mavult τοιαῦτα. Xyl. vertit quoque *bujusmodi*.

3 Comma, quod vulgo ante h. v. extat, cum W. retraxi pone eam.

4 B. G. πολεμικός, quod verius fufp. W.

5 R. ad hanc vocem ita: „de hoc nomine vid. Cafaub. ad Strab. p. 686. & interpp. ad Aelian. V. H. VI, 1. Caeterum de certamine in Amphidamantis honorem inftituto nihil reperio.

μάχαις ἔπεσεν) ἐπεὶ δὲ τὰ παρεσκευασμένα τοῖς ποιηταῖς ἔπη χαλεπὴν καὶ δύσκολον ἐποίει τὴν κρίσιν, διὰ τὸ ἐφάμιλλον, ἥ τε δόξα τῶν ἀγωνιςῶν, Ὁμήρȣ καὶ Ἡσιόδȣ, πολλὴν ἀπορίαν μετὰ αἰδȣ̃ς τοῖς κρίνȣσι παρεῖχεν, ἐτράποντο πρὸς τοιαύτας ἐρωτήσεις, καὶ πρȣ̃βαλον μὲν [1], ὥς φησι Λέσχης·

Μȣ̃σά μοι ἔννεπ' ἐκεῖνα τὰ μήτ' ἐγένοντο πάροιθεν,
Μήτ' ἔςαι μετόπισθεν.

ἀπεκρίνατο δὲ Ἡσίοδος ἐκ τȣ̃ παρατυχόντος·

Ἀλλ' ὅταν ἀμφὶ Διὸς τύμβῳ καναχήποδες ἵπποι
Ἅρματα συντρίψωσιν ἐπειγόμενοι περὶ νίκης·

καὶ διὰ τȣ̃το λέγεται μάλιςα θαυμασθεὶς τȣ̃ τρίποδος τυχεῖν. Τί δὲ ταῦτα (ὁ Κλεόδημος εἶπε) διαφέρει τῶν Εὐμήτιδος αἰνιγμάτων, ἃ ταύτῃ μὲν ἴσως ȣ̓κ ἀπρεπές ἐςι παίζȣσαν, καὶ διαπλέκȣσαν, ὥσπερ ἕτεραι [2] ζώνια καὶ κεκρυφάλȣς, προβάλλειν ταῖς γυναιξὶν, ἄνδρας δὲ νȣ̃ν ἔχοντας ἔν τινι σπȣδῇ τίθεσθαι γελοῖον· ἡ μὲν ȣ̓̃ν Εὔμητις ἡδέως ἂν εἰποῦσά τι πρὸς αὐτὸν, (ὡς ἐφαίνετο) κατέσχεν ἑαυτὴν ὑπ' αἰδȣ̃ς, καὶ ἀνεπλήσθη τὸ πρόσωπον ἐρυθήματος. ὁ δ' Αἴσωπος, οἷον ἀμυνόμενος ὑπὲρ αὐτῆς· Οὐ γελοιότερον ȣ̓̃ν, εἶπε, τὸ μὴ δύνασθαι ταῦτα διαλύειν, οἷόν ἐςιν, ὃ μικρὸν ἔμπροσθεν ἡμῖν τȣ̃ δείπνȣ πρȣ̃βαλεν [3].

Ἄνδρ' εἶδον πυρὶ χαλκὸν ἐπ' ἀνέρι κολλήσαντα.

B 4 τί

1 Dedi sic e R. mente, *teste Lesche proponebant hanc quaestionem*, pro vulg. πρȣ̃βάλομεν, ὥς φ. Λ. Etiam Xyl idem legit. W. leg. susp. πρȣ̃βαλ' Ὅμηρος, φησὶ Λ. — V. λέσχαι ὥς φησι. Petav. προβάλομεν; mox μετ' ὄπισθεν & ἐπαγόμενοι.

2 Dedi sic, quod Xyl. legit, e Turn. V. Bong. Vulgo ἑταῖραι. Idem W. recepit, cum sensu flagitante, tum probantibus libris B. varia lectione in margine codd. A. & Voss. Anon. Thom. Mag.

3 Turn. πρȣ̃βαλον. In versu seq. Ald. & Bas. ἄνδρα & πυρίχαλκον. Xyl. correxit.

τί τȣ̃τ' ἐςιν, ἔχοις ἂν εἰπεῖν; Ἀλλ' ȣ̓δὲ μαθεῖν δέομαι (ἔφη ὁ Κλεόδημος.) Καὶ μὴν ȣ̓δείς, ἔφη, σȣ̃ [1] τȣ̃το μᾶλλον οἶδεν, ȣ̓δὲ ποιεῖ βέλτιον· εἰ δ' ἀρνῇ, μάρτυρας ἔχω σικυωνίας. ὁ μὲν ȣ̃ν Κλεόδημος ἐγέλασε· καὶ γὰρ ἐχρῆτο μάλιςα ταῖς σικυωνίαις τῶν καθ' αὐτὸν ἰατρῶν, καὶ δόξαν ἐχ ἥκιςα τὸ βοήθημα τȣ̃το δι' ἐκεῖνον ἔσχηκε.

XI. Μνησίφιλος δὲ, ὁ Ἀθηναῖος, ἑταῖρος ὢν [2] καὶ ζηλωτὴς Σόλωνος· Ἐγώ τοι, (εἶπεν) ὦ Περίανδρε, τὸν λόγον ἀξιῶ, καθάπερ τὸν οἶνον, μὴ πλȣτίνδην, μηδ' ἀριςίνδην, ἀλλ' ἐξίσȣ πᾶσιν, ὥσπερ ἐν δημοκρατίᾳ, νέμεσθαι καὶ κοινὸν εἶναι. τῶν δ' ἄρτι περὶ ἀρχῆς καὶ βασιλείας εἰρημένων ȣ̓δὲν ἡμῖν τοῖς δημοτικοῖς μέτεςιν. ὅθεν οἰόμεθα δεῖν πάλιν ἕκαςον ὑμῶν περὶ πολιτείας ἰσονόμȣ γνώμην τινὰ συμβαλέσθαι, ἀρξαμένȣς αὖθις ἀπὸ Σόλωνος. ἐδόκει δὴ ταῦτα ποιεῖν. καὶ πρῶτος ὁ Σόλων· Ἀλλ' ἀκήκοας μὲν, (εἶπεν) ὦ Μνησίφιλε, μετὰ πάντων Ἀθηναίων, ἣν ἔχω γνώμην περὶ πολιτείας· εἰ δὲ βȣ́λει καὶ νῦν ἀκȣ́ειν, δοκεῖ μοι πόλις ἄριςα πράττειν καὶ μάλιςα σώζειν δημοκρατίαν, ἐν ᾗ τὸν ἀδικήσαντα τȣ̃ ἀδικηθέντος ȣ̓δὲν ἧττον οἱ μὴ ἀδικηθέντες προβάλλονται καὶ κολάζȣσι. δεύτερος [3] δὲ ὁ Βίας ἔφησε, κρατίςην εἶναι δημοκρατίαν, ἐν ᾗ πάντες, ὡς τύραννον, φοβȣ̃νται τὸν νόμον. ἐπὶ τȣ́τῳ Θάλης, τὴν μήτε πλȣσίȣς ἄγαν, μήτε πένητας, ἔχȣσαν πολίτας. μετὰ δὲ τȣ̃τον ὁ Ἀνάχαρσις, ἐν ᾗ, τῶν ἄλλων ἴσων ὁριζομένων [4], ἀρετῇ τὸ βέλτιον ὁρίζεται, καὶ κακίᾳ τὸ χεῖρον. πέμπτος [5] Κλεόβȣλος ἔφη, μάλιςα σωφρονεῖν δῆμον, ὅπȣ τὸν

1 W. fum fecutus, qui ita dedit ex Anon. & Mez. pro vulg. ἔφησε τȣ̃το.

2 Turn. V. Bong. ἦν pro ὤν. Mox Petav. πλȣτίδην.

3 Petav. δεύτερον.

4 Turn. V. Bong. νομιζομένων.

5 Poft h. v. Turn. inferit δὲ.

τὸν ψόγον μᾶλλον οἱ πολιτευόμενοι δεδοίκασιν, ἢ τὸν νόμον. Ἕκτος δὲ Πιττακὸς, ὅπου τοῖς πονηροῖς οὐκ ἔξεστιν ἄρχειν, καὶ τοῖς ἀγαθοῖς οὐκ ἔξεστι μὴ ἄρχειν [1]. μεταστραφεὶς δὲ ὁ Χίλων ἀπεφήνατο, τὴν μάλιστα νόμων, ἥκιστα δὲ ῥητόρων, ἀκούουσαν πολιτείαν ἀρίστην εἶναι. τελευταῖος δὲ πάλιν ὁ Περίανδρος ἐπικρίνων ἔφη, δοκεῖν αὐτῷ πάντας [2] ἐπαινεῖν δημοκρατίαν τὴν ὁμοιοτάτην ἀριστοκρατίᾳ.

XII. Τέλος δὲ καὶ τούτου [3] τοῦ λόγου λαβόντος, ἠξίουν ἐγὼ καὶ περὶ οἴκου, ᾗ χρηστέον, εἰπεῖν τοὺς ἄνδρας ἡμῖν. βασιλείας μὲν γὰρ καὶ [4] πόλεις ὀλίγοι κυβερνῶσιν, ἑστίας δὲ πᾶσιν ἡμῖν καὶ οἴκου μέτεστι. γελάσας οὖν ὁ Αἴσωπος· Οὐκ, εἴγε τῶν πάντων (ἔφη) καὶ Ἀνάχαρσιν ἀριθμεῖς. τούτῳ γὰρ οἶκος οὐκ ἔστιν· ἀλλὰ καὶ σεμνύνεται τῷ [5] ἄοικος εἶναι, χρῆσθαι δ' ἀμάξῃ, καθάπερ τὸν ἥλιον ἐν ἅρμασι [6] λέγουσι περιπολεῖν, ἄλλοτε ἄλλην ἐπινεμόμενον τοῦ οὐρανοῦ χώραν. καὶ ὁ Ἀνάχαρσις· Διὰ τοῦτό τοι (εἶπεν) ἢ μόνος, ἢ μάλιστα τῶν θεῶν ἐλεύθερός ἐστι, καὶ αὐτόνομος, καὶ κρατεῖ πάντων, κρατεῖται δὲ ὑπ' οὐδενός· ἀλλὰ βασιλεύει καὶ ἡνιοχεύει. πλὴν σέ γε λέληθε τὸ ἅρμα αὐτοῦ, ὡς ὑπερφυὲς κάλλει καὶ μεγέθει θαυμάσιόν ἐστιν. οὐ γὰρ ἂν παίζων ἐπὶ γέλωτι παρέβαλες ἐκεῖνο [7] τοῖς ἡμετέροις. οἶκον δέ μοι



1 W. sum secutus, qui sic dedit ex B. Vulgo τοῖς ἀγαθοῖς ἔξεστιν ἄρχειν. G. ἔξεστι μὴ ἄρχειν.

2 Sic cum W. dedi ex Jannot. Vulgo πάντα. Loco hujus R. legi voluit aut πάνυ, aut πάντα adjungi ad ἐπικρίνων — *dicta omnia dijudicans, sententiam super omnibus pronuncians.*

3 abest τούτου a Turn.

4 Addidi γὰρ e Mez. quod R. quoque inseri voluit.

5 Petav. τό. Post χρῆσθαι cum W. addidi δ' e B. quod R. addendum censuit.

6 Cum W. legendum suspicor ἅρματι.

7 Sic R. de suo correxisse videtur vulgatam ἐκείνῳ. Idem W. dedit ex Anon. — *vehiculum solis puta.*

δοκεῖς, ὦ Αἴσωπε, ταυτὶ τὰ πήλινα καὶ ξύλινα [1] καὶ κεράμεα στεγάσματα νομίζειν, ὥσπερ εἰ κοχλίαν ἡγοῖο τὸ κέλυφος, ἀλλὰ μὴ τὸ ζῶον. εἰκότως οὖν σοι γέλωτα παρέσχεν ὁ Σόλων, ὅτι τοῦ Κροίσου τὴν οἰκίαν κεκοσμημένην πολυτελῶς θεασάμενος, οὐκ εὐθὺς ἀπεφήνατο τὸν κεκτημένον εὐδαιμόνως οἰκεῖν καὶ μακαρίως, ἅτε δὴ τῶν ἐν αὐτῷ μᾶλλον ἀγαθῶν, ἢ τῶν παρ' αὐτῷ, βουλόμενος γενέσθαι θεατής. σὺ δ' ἔοικας οὐδὲ τῆς ἑαυτοῦ [2] μνημονεύειν ἀλώπεκος. ἐκείνη μὲν γὰρ εἰς ἀγῶνα ποικιλίας καταστᾶσα πρὸς τὴν πάρδαλιν, ἠξίου τὰ ἐντὸς αὐτῆς καταμαθεῖν τὸν δικαστήν· ποικιλωτέρα [3] γὰρ ἐκεῖθεν φανεῖσθαι. σὺ δὲ τὰ τεκτόνων καὶ λιθοξόων ἔργα περινοσεῖς [4], οἶκον ἡγούμενος οὐ τὰ ἐντὸς ἑκάστου καὶ οἰκεῖα, καὶ [5] παῖδας, καὶ γάμους, καὶ φίλους, καὶ θεράποντας, οἷς κἂν [6] ἐν μυρμηκιᾷ τις, ἢ νεοττιᾷ, νοῦν ἔχουσι καὶ σωφρονοῦσι κοινωνῇ τῶν ὑπαρχόντων, χρηστὸν [7] οἶκον οἰκεῖ καὶ μακάριον. Ἐγὼ μὲν οὖν (ἔφη) ταῦτα καὶ πρὸς Αἴσωπον ἀποκρίνομαι, καὶ πρὸς Διοκλῆν συμβάλλομαι. τῶν δ' ἄλλων ἕκαστος ἀποφαίνεσθαι δίκαιός ἐστι τὴν ἑαυτοῦ γνώμην. οὕτως ὁ Σόλων, ἄριστον αὐτῷ δοκεῖν [8] οἶκον, ὅπου τὰ χρήματα μήτε κτωμένοις ἀδι-

1 absunt καὶ ξύλινα a Petav. Ald. Bas.

2 Petav. σεαυτοῦ.

3 Dedi sic mutato accentu, R. probante, ut sit nomin. sing. pro vulg. ποικιλώτερα — *futurum esse, ut multo magis varia & versicolor appareat ex ea parte.*

4 R. susp. περινοεῖς, *circumspicis, contemplaris.*

5 Hoc καὶ R. deleri vult.

6 Ald. Bas. Petav. pro κἂν habent καὶ. Xyl. correxit. Turn. V. Bong. εἰ κἂν.

7 Sic R. legit & distinxit, & dedi. Vulgo ὑπαρχ. χρηστῶν, οἶκον. Turn. & Bong. οἶκον χρηστόν. Idem recepit W. ex B. G. marg. Voss. & Mez. Pro κοινωνῇ Petav. κοινωνῶν; pro ὑπαρχόντων Turn. V. Bong. ὑπόντων; mox iidem Διοκλῇ, uti Petav. ἀποκρίνωμαι.

8 Sic Xyl. legi voluit pro vulg. δοκεῖ, & dedi, praemisso com-

ἀδικία, μήτε φυλάττουσιν ἀπιστία, μήτε δαπανῶσι μετάνοια πρόσεστιν. ὁ δὲ Βίας, ἐν ᾧ τοιοῦτός ἐστιν ὁ δεσπότης δι' αὐτὸν, οἷος ἔξω διὰ τὸν νόμον. ὁ δὲ Θάλης, ἐν ᾧ πλείστην ἄγειν τῷ δεσπότῃ σχολὴν ἔξεστιν. ὁ δὲ Κλεόβουλος, εἰ πλείονας ἔχει τῶν φοβουμένων αὐτὸν τοὺς φιλοῦντας ὁ δεσπότης. ὁ δὲ Πιττακὸς εἶπεν, ὡς ἄριστος οἶκός ἐστιν ὁ τῶν περισσῶν μηδενὸς δεόμενος [1] καὶ τῶν ἀναγκαίων μηδενὸς ἐνδεόμενος. ὁ δὲ Χίλων ἔφη· Δεῖ μάλιστα βασιλευομένῃ πόλει προσεοικέναι τὸν οἶκον. εἶτα προσεῖπεν, ὅτι Λυκοῦργος πρὸς τὸν κελεύοντα δημοκρατίαν ἐν τῇ πόλει καταστῆσαι [2]. Πρῶτος (ἔφη) ποίησον ἐν τῇ οἰκίᾳ σου δημοκρατίαν.

XIII. Ἐπεὶ δὲ καὶ οὗτος ἔσχεν ὁ λόγος τέλος, ἡ μὲν Εὔμητις ἐξῆλθε μετὰ τῆς Μελίσσης· τοῦ δὲ Περιάνδρου τῷ Χίλωνι προπιόντος εὐμεγέθη κύλικα, τῷ δὲ Βίαντι τοῦ Χίλωνος, Ἄρδαλος ἐπαναστὰς καὶ προσαγορεύσας τὸν Αἴσωπον· Σὺ δ' οὐκ ἂν (ἔφη) διαπέμψαιο δεῦρο τὸ ποτήριον πρὸς ἡμᾶς, ὁρῶν τούτους ὥσπερ τὴν Βαθυκλέους κύλικα [3] διαπεμπομένους ἀλλήλοις, ἑτέρῳ δὲ μὴ μεταδιδόντας; καὶ ὁ Αἴσωπος, ἀλλ' οὐδὲ τοῦτο ἔφη τὸ

commate post Σόλων, quod vulgo deest. R. deesse censuit, aut certe subaudiendum ἔφη, & legendum δοκεῖν, *ajebat, sibi videri.* W. idem dedit ex Stob. G. Pol. Leonic. Schott. Mez.

1 Duas has voces μηδ. δεόμ. quae vulgo absunt, recipiendo, W. sum secutus, qui eas sumsit e Stob. Serm. LXXXIII. p. 484. edit. Gesner. & Trincavell. Easdem Xyl. expressit: *ubi neque requiruntur supervacanea, neque desiderantur necessaria.*

2 Dedi sic, R. probante, e Petav. atque simul, lectionem esse Ald. Bas. Steph. observo. E Frft. in R. transiit καταστῆναι. Unde & cur idem dederit W. qui Ald. & Steph. se sequi monet, latet. Paulo ante Turn. V. Bong. προσεπῶπεν pro προσεῖπεν.

3 R. ad haec: „De Bathycle statuario memorat Pausanias p. 235. sed de ipsius poculo nihil invenio. Quisquis fuerit ille Bathycles nostro Plutarcho dictus, Solone eum recentiorem fuisse nullus dubito; quare etiam hac in re incongrua temporum rationibus finxit, Solonis aequales faciens res nominare multis aetatibus post demum inventas."

τὸ ποτήριον δημοτικὸν εἶναι [1]. Σόλωνι γὰρ ἔκπαλα παράκειται μόνῳ. τὸν ἐν Μνησίφιλον προσαγορεύσας ὁ Πιτ]ακὸς ἠρώτησε, τί ἐ πίνει ὁ [2] Σόλων, ἀλλὰ καταμαρτυρεῖ τῶν ποιημάτων, ἐν οἷς γέγραφε·

"Εργα δὲ Κυπρογενῆς νῦν μοι φίλα καὶ Διονύσε,
Καὶ Μεσέων, ἃ τίθησ' ἀνδράσιν εὐφροσύνας.

ὑποφθάσας δ' Ἀνάχαρσις· Σὲ γάρ, ὦ Πιτ]ακέ, καὶ τὸν σὸν ἐκεῖνον τὸν χαλεπὸν φοβεῖται νόμον, ἐν ῷ γέγραφας· Ἐάν τις ὁτιεν [3] μεθύων ἁμάρτῃ, διπλασίαν, ἢ τῷ νήφοντι, τὴν ζημίαν. καὶ ὁ Πιτ]ακός· Σὺ δέ γε (εἶπεν) ἔτως ἐξύβρισας εἰς τὸν νόμον, ὥςε πέρυσι γὰρ καὶ νυνὶ μεθυσθεὶς [4], ἆθλον αἰτεῖν καὶ ςέφανον. Τί δ' ἐκ ἔμελλον, (ἔφη ὁ Ἀνάχαρσις) τῷ πλεῖον πιόντι προκειμένων ἄθλων, πρῶτος μεθυσθεὶς ἀπαιτεῖν τὸ νικητήριον, ἢ διδάξατέ με ὑμεῖς, τί τέλος ἐςὶ τε πολὺν πιεῖν ἄκρατον, ἢ τὸ μεθυσθῆναι [5]. τε δὲ Πιτ]ακε γελάσαντος, ὁ Αἴσωπος λόγον εἶπε τοιεῖτον· Λύκος ἰδὼν ποιμένας ἐσθίοντας ἐν σκηνῇ πρόβατον, ἐγγὺς προσελθών· Ἡλίκος ἂν ἦν ὑμῖν [6] θόρυβος, εἰ ἐγὼ τετο ἐποίεν. καὶ ὁ Χίλων· Ὀρθῶς (ἔφη) Αἴσωπος ἠμύνατο,

1 R. aut legi vult ἐςὶ, aut paulo poſt παρακεῖσθαι.

2 abeſt ὁ a Turn. & mox ſequens ἐν a Petav. In Ald. & Baſ. κατὰ μαρτυρεῖ.

3 Petav. Ald. Baſ. ἐάν τις ἐν; mox poſt ζημίαν adjiciunt εἶναι Turn. V. Bong. Petav. item, W. notante, A. Venet. Voſſ. Anon.

4 Locus haud ſanus. R. ſuſp. ὥςε πέρυσι (ἐ γὰρ καὶ νυνὶ) μεθυσθεὶς, *ſuperiore anno inebriatus (nunc enim id non patieris.)* Turn. V. Bong. poſt νυνὶ inſerunt haec corrupta verba: πρὰ λίβυ τ' ἀδελφῷ; item Anon. excepto λίβε pro λίβυ. A. περισὺ γ. κ. ν. Venet. περὶ συ γ. κ. ν. W. ſuſp. παρ' Ἀθηναίῳ ξένῳ μεθ. vel ὡς πέρυσι, καὶ νυνὶ μεθ. In ſeq. Turn. V. Bong. τί δαὶ pro τί δ'; item Petav. ἔμελλεν pro ἔμελλον; Turn. & Bong. πλεῖςον pro πλεῖον. Baſ. προκειμένον.

5 Ald. & Baſ. item Turn. V. Bong. τε μεθυσ. Xyl. correxit.

6 Ald. & Baſ. ἡμῖν. Poſt θόρυβος R. addi vult ἔφη.

νατο, μικρὸν ἔμπροσθεν [1] ἐπισομισθεὶς ὑφ' ἡμῶν, εἶτα νῦν ὁρῶν ἑτέρους τὸν Μνησιφίλου λόγον ὑφῃρηκότας· Μνησίφιλος γὰρ ᾐτήθη [2] τὴν ὑπὲρ Σόλωνος ἀπόκρισιν. καὶ λέγω [3], ὁ Μνησίφιλος εἶπεν, εἰδὼς, ὅτι Σόλωνι δοκεῖ πάσης τέχνης καὶ δυνάμεως ἀνθρωπίνης τε καὶ θείας ἔργον εἶναι τὸ γινόμενον μᾶλλον, ἢ δι' οὗ γίνεται, καὶ τὸ τέλος, ἢ τὰ πρὸς τὸ τέλος, ὑφάντης γὰρ ἂν (οἶμαι) χλαμύδα ποιῆσαι μᾶλλον ἔργον αὐτοῦ καὶ ἱμάτιον, ἢ κανόνων διάθεσιν καὶ ἀνέγερσιν ἀγνύθων. χαλκεύς τε κόλλησιν σιδήρου καὶ σόμωσιν πελέκεως, μᾶλλον, ἤ τι τῶν ἕνεκα τούτου γενομένων ἀναγκαίων, οἷον ἀνθράκων ἐκζωπύρησιν, ἢ λατύπης παρασκευήν. ἔτι δὲ μᾶλλον ἀρχιτέκτων μέμψαιτ' ἂν ἡμᾶς, ἔργον αὐτοῦ μὴ ναῦν, μηδ' οἰκίαν, ἀποφαίνοντας, ἀλλὰ τρυπῆσαι ξύλα, καὶ [4] φυράσαι πηλόν. αἱ δὲ Μοῦσαι καὶ παντάπασιν, εἰ νομίζομεν [5] αὐτῶν ἔργον εἶναι κιθάραν καὶ αὐλοὺς, ἀλλὰ μὴ τὸ παιδεύειν τὰ ἤθη, καὶ παρηγορεῖν τὰ πάθη τῶν χρωμένων μέλεσι καὶ ἁρμονίαις. οὐκοῦν οὐδὲ τῆς Ἀφροδίτης ἔργον ἐστὶ συνουσία καὶ μίξις, οὐδὲ τοῦ Διονύσου, μέθη καὶ οἶνος, ἀλλ' ἣν ἐμποιοῦσι διὰ τούτων φιλοφροσύνην, καὶ πόθον, καὶ ὁμιλίαν ἡμῖν, καὶ συνήθειαν πρὸς ἀλλήλους. ταῦτα γὰρ ἔργα θεῖα καλεῖ Σόλων, καὶ ταῦτά φησιν ἀγαπᾶν καὶ διώκειν μάλιστα πρεσβύτης γενόμενος. ἔστι δὲ τῆς μὲν πρὸς γυναῖκας ἀνδρῶν ὁμοφροσύνης

1 Secutus sum W. qui sic dedit ex B. pro vulg. ὄπισθεν.

2 Sic Xyl. legit pro vulg. ἠτλήθη, & habent Turn. V. item Jannot. & Anon. dedique cum W.

3 W. secutus sum, qui sic leniter correxit lectionem codicum A. Venet. Anon. Turn. V. Bong. & Petav. καὶ λέγων. Vulgo (ἀπόκρισιν,) καὶ λόγον ὁ Μν. R. quaerit, num κατὰ λόγον ὁ Μνησίφιλος εἶπεν, οἶμαι αὐτὸν εἰπεῖν, *recte Solon mihi videtur ita dixisse, ajebat Mnesiphilus, cum sciam* &c.

4 abest καὶ a Petav.

5 R. mavult νομίζοιμεν. Petav. ἐνομίζομεν, omisso εἰ. Idem mox ἔργων pro ἔργον; μίθυ pro μέθη; ποιοῦσι pro ἐμποιοῦσι; τοῦτο pro τούτων; συντήνουσα pro συντήκουσα.

σύνης καὶ φιλίας δημιουργὸς ἡ Ἀφροδίτη, τοῖς σώμασιν ὑφ' ἡδονῆς ἅμα συμμιγνύουσα καὶ συντήκουσα τὰς ψυχάς. τοῖς δὲ πολλοῖς, καὶ μὴ πάνυ συνήθεσι, μηδ' ἄγαν γνωρίμοις, ὁ Διόνυσος ὥσπερ ἐν πυρὶ τῷ οἴνῳ μαλάσσων τὰ ἤθη καὶ ἀνυγραίνων ἀρχήν τινα συγκράσεως πρὸς ἀλλήλους καὶ φιλίας ἐνδίδωσιν. ὅταν δὲ τοιοῦτοι συνέλθωσιν ἄνδρες, οἵους ὁ Περίανδρος ὑμᾶς παρακέκληκεν, οὐθὲν ἔργον ἐστὶν (οἶμαι) κύλικος, οὐδ' οἰνοχόης, ἀλλ' αἱ Μοῦσαι, καθάπερ κρατῆρα νηφάλιον, ἐν μέσῳ προθέμεναι τὸν λόγον, ᾧ πλεῖστον ἡδονῆς ἅμα [1] καὶ παιδιᾶς καὶ σπουδῆς ἔνεστιν, ἐγείρουσι τούτῳ [2] καὶ κατάρδουσι καὶ διαχέουσι τὴν φιλοφροσύνην, ἐῶσαι τὰ πολλὰ τὴν οἰνοχόην ἀτρέμα κεῖσθαι κρατῆρος ὕπερθεν. ὅπερ ἀπηγόρευσεν Ἡσίοδος [3] ἐν τοῖς πίνειν μᾶλλον, ἢ διαλέγεσθαι, δυναμένοις·

Εἴπερ γάρ τ' ἄλλοι γε καρηκομόωντες Ἀχαιοὶ
Δαιτρὸν πίνωσιν, σὸν δὲ πλεῖον δέπας αἰεὶ
Ἕστηκεν.

ἐπεὶ τάς τε προπόσεις αὐτὰς (ἔφη) πυνθάνομαι λέγειν τοῖς παλαιοῖς, ἔνδεινον (ὡς Ὅμηρος ἔφη) καὶ μετρητὸν ἑκάστου πίνοντος, εἶτα, ὥσπερ Αἴας, μερίδας μεταδιδόντος αὖ τῷ πλησίον [4]. εἰπόντος δὲ ταῦτα τοῦ Μνησιφίλου,

1 Petav. ἀλλὰ pro ἅμα. Idem esse observo in Ald. & Bas. In Steph. datur ἅμα.

2 Sic Xyl. legendum monuit, & datur a Steph. In Ald. Bas. Petav. τοῦτο.

3 Op. & d. v. 742. Cf. Plut. de aud. poët. c. VIII. T. VII. p. 102.

4 Locus, W. notante, & mutilus & corruptus, nec e libris adhuc adhibitis sanandus, quippe nil medelae praebentibus. Versus sunt Homeri Iliad. IV, 261. sq. Adsentitur autem de istis W. Meziriaco, asserenti, eos non a Plutarcho, sed ab annotatore aliquo adjectos esse ad marginem libri, ut indicaret, ubi Poëta dixisset δαιτρὸν πίνειν. Idem Mez. pro ἔνδεινον corrigit δαιτρόν. W. totum locum e sua conjectura sic constituit: ἐπὶ δὲ ταῖς προπόσεσι

φίλε, Χερσίας, ὁ ποιητής· (ἀφεῖτο γὰρ ἤδη τῆς αἰτίας καὶ διήλλακτο τῷ Περιάνδρῳ νεωστὶ, Χίλωνος δεηθέντος) Ἆρ' οὖν (ἔφη) καὶ τοῖς θεοῖς ὁ Ζεὺς, ὥσπερ τοῖς ἀριστεῦσιν ὁ [1] Ἀγαμέμνων, μετρητὸν ἔχει τὸ ποτὸν, ὅτε [2] προὔπινον ἀλλήλοις ἑστιώμενοι παρ' αὐτῷ; καὶ ὁ Κλεόδημος· Σὺ δὲ, ὦ Χερσία, (εἶπεν) εἰ τὴν ἀμβροσίαν [3] τῷ Διῒ Πελειάδες τινὲς κομίζουσιν, (ὡς ὑμεῖς λέγετε) τὰς Πλαγκτὰς ὑπερπετόμεναι χαλεπῶς καὶ μόλις, οὐ νομίζεις, καὶ τὸ νέκταρ αὐτῷ [4] δυσπόριστον εἶναι καὶ σπάνιον, ὥστε φείδεσθαι καὶ παρέχειν ἑκάστῳ τεταμιευμένον;

XIV. Καὶ ἴσως [5], (εἶπεν ὁ Χερσίας) ἀλλ' εἴτε πάλιν οἰκονομίας λόγος γέγονε, τίς ἂν ὑμῶν φράσειεν ἡμῖν τὸ ἀπολειπόμενον; ἀπολείπεται δὲ, οἶμαι, κτήσεώς τι [6] λαβεῖν

σεσι αὐταῖς, ἔφη, πυνθάνομαι λέγειν τοῖς παλαιοῖς ἐν ἔθει εἶναι (vel τοὺς παλαιοὺς εἰωθέναι)· καὶ δαιτρὸν τὸν οἶνον Ὅμηρος ἔφη, ὡς κρέως μερίδας, μετρητὸν ἑκάστου πίνοντος καὶ μεταδιδόντος αὖ τῷ πλησίον — *in ipsis autem propinationibus reperio, inquit Mnesiphilus, Veteres aliquid dixiſſe, ſermonem habuiſſe: & Homerus ait vinum fuiſſe* δαιτρὸν, i. e. *diſpenſatum, ut portiones carnis, bibente unoquoque conviva vini certam menſuram, ac tradente ei, qui proximus eſſet.* Xyl. in ſua annotatione fatetur, ſe non aſſequi, ubi extet apud Homerum ἔνδεινον πίνειν, nec intelligere, quid ſit ὥσπερ Αἴας μερίδας μεταδιδόντος αὐτῷ (ſic, αὐτῷ nimirum, eſt in Petav. nec non μεταδιδόντας in Ald. & Baſ. μεταδιδόντα in Turn. V. Bong.) addens, totum locum non cohaerere. Pro ἐπεὶ τάς τε Xyl. conjecerat ἐπεὶ τάς γε; Idem voluit R. nec non τοὺς παλαιοὺς.

1 Turn. articulum ὁ omittit. Pro ſeq. ἔχει R. maluit ἐγχεῖ, *infundit*, aut ἐνέχει, *infundebat*. Eſt ἐνέχει vel ἐνέχειν, quod W. notat, apud Turn. V. Bong. B. G. marg. A. Anon. ἔχειν habet Petav. & E.

2 Secutus ſum W. ſic dantem e Mez. pro vulg. ὅτι.

3 Petav. ἀβροσίαν; Mox Ald. & Baſ. πλαγτὰς. Xyl. correxit πλάγκτας, & alludi ad Hom. Odyſſ. XII, 61. monet.

4 Ald. & Baſ. αὐτὸ.

5 Pro καὶ ἴσως V. πότε; Turn. & Bong. ποτὲ ἴσως. Pro ſeq. ἀλλ' εἴτε R. ſuſp. ἀλλ' ἐπεὶ.

6 Ald. & Baſ. κτήσεως τε.

λαβεῖν μέτρον αὐτάρκους καὶ ἱκανῆς ἐσομένης. καὶ ὁ Κλεόβουλος· Ἀλλὰ τοῖς μὲν σοφοῖς (ἔφη) τὸ μέτρον ὁ νόμος δέδωκε, πρὸς δὲ τοὺς φαύλους ἐρῶ λόγον τῆς ἐμῆς μητρὸς [1], ὃν πρὸς τὸν ἀδελφὸν εἶπεν. ἔφη γὰρ, τὴν σελήνην δεῖσθαι τῆς ἑαυτῆς μητρὸς, ὅπως αὐτῇ χιτώνιον ὑφήνῃ σύμμετρον. τὴν δ' εἰπεῖν· Καὶ πῶς σύμμετρον ὑφήνω· νῦν μὲν γὰρ ὁρῶ σε πανσέληνον, αὖθις δὲ μηνοειδῆ, ποτὲ δ' ἀμφίκυρτον; οὕτω δὴ, ὦ φίλε Χερσία, καὶ πρὸς ἄνθρωπον ἀνόητον καὶ φαῦλον οὐδέν ἐστι μέτρον οὐσίας. ἄλλοτε γὰρ ἄλλος ἐστὶ ταῖς χρείαις, διὰ τὰς ἐπιθυμίας καὶ τὰς τύχας, ὥσπερ ὁ Αἰσώπου κύων, ὃν οὑτοσί φησιν [2] ἐν τῷ χειμῶνι συστρεφόμενον, καὶ συσπειρώμενον [3] διὰ τὸ ῥιγοῦν, οἰκίαν ποιεῖν διανοεῖσθαι· θέρους δ' αὖ πάλιν ἐκτεταμένον καθεύδοντα, φαίνεσθαι μέγαν ἑαυτῷ, καὶ μήτ' ἀναγκαῖον ἡγεῖσθαι, μήτε μικρὸν ἔργον οἰκίαν περιβάλλεσθαι τοσαύτην. ἢ γὰρ οὐχ ὁρᾷς, (εἶπεν) ὦ Χερσία, καὶ τοὺς μικροὺς [4] νῦν μὲν εἰς μικρὰ κομιδῆ συστέλλοντας ἑαυτοὺς, ὡς στρογγύλως καὶ Λακωνικῶς βιωσομένους [5]. νῦν δ', εἰ μὴ τὰ πάντων ἔχουσιν ἰδιωτῶν ἅμα καὶ βασιλέων, ὑπ' ἐνδείας ἀπολεῖσθαι νομίζοντας; ὡς οὖν ὁ Χερσίας ἀπεσιώπησεν, ὑπολαβὼν ὁ Κλεόδημος· Ἀλλὰ καὶ τοὺς σοφοὺς (εἶπεν) ὑμᾶς ὁρῶμεν ἀνίσοις μέτροις τὰς κτήσεις νενεμημένας πρὸς ἀλλήλους ἔχοντας. καὶ ὁ Κλεόβουλος· Ὁ γάρ τοι νόμος, (εἶπεν) ὦ βέλτιστε ἀνδρῶν, ὡς ὑφάντης ἑκάστῳ τὸ πρέπον ὑμῶν [6] καὶ τὸ μέτριον καὶ ἁρμόττον ἀποδίδωσι.

1 G. θυγατρὸς: quod W. forte rectius censet.

2 Dedi sic e R. & W. mente — *quem hic Aesopus ait.* Vulgo οὗτωσὶ φασι. Petav. χιμῶνι pro χαμ.

3 Sic R. correxit — a verbo συσπαρᾶν, in spiram convolvere. Idem W. legendum censet, retinens tamen vulgatam συσπαρόμενον.

4 W. μικροὺς vitiosum censet, susp. μωροὺς. Mez. πονηρούς.

5 Petav. βιωσόμενα.

6 V. ὑμῖν; Turn. Bong. Petav. ἡμῶν. Quid ὑμῶν ad rem valeat, me nescire fateor. Ante ἁρμόττον repetit Petav. τὸ.

δίδωσι. καὶ σὺ, καθάπερ τῷ νόμῳ, τῷ λόγῳ [1] τρέφων καὶ διαιτῶν καὶ διαφαρμακεύων [2] τὰς κάμνοντας, ἐκ ἴσου ἑκάςῳ, τὸ δὲ προσῆκον ἀπονέμεις ἅπασιν. ὑπολαβὼν δὲ ὁ Ἄρδαλος· Ἀρ᾽ ἂν (ἔφη) καὶ τὸν ἑταῖρον ἡμῶν [3], Σόλωνος δὲ ξένον, Ἐπιμενίδην, νόμος τις ἀπέχεσθαι τῶν ἄλλων σιτίων κελεύει [4], τῆς δ᾽ ἀλίμα δυνάμεως, ἣν ἡδονὴν [5] αὐτὸς συντίθησι, μικρὸν εἰς τὸ σῶμα λαμβάνοντα διημερεύειν ἀνάριςον καὶ ἄδειπνον; ἐπιςήσαντος δὲ τῦ λόγυ τὸ συμπόσιον, ὁ μὲν Θάλης ἐπισκώπτων, εὖ φρονεῖν ἔφη τὸν Ἐπιμενίδην, ὅτι μὴ βύλεται πράγματα ἔχειν ἀλῶν τὰ σιτία, καὶ πέττων ἑαυτῷ, καθάπερ Πιττακός. Ἐγὼ γὰρ (εἶπε) τῆς ξένης ἤκυον ᾀδύσης πρὸς τὴν μύλην, ἐν Λέσβῳ γενόμενος· Ἄλει, μύλα, ἄλει. καὶ γὰρ Πιττακὸς ἀλεῖ μεγάλας Μιτυλήνας βασιλεύων. ὁ δὲ Σόλων ἔφη θαυμάζειν τὸν Ἄρδαλον, εἰ [6] τὸν νόμον ἐκ ἀνέγνωκε τῆς διαίτης τῦ ἀνδρὸς ἐν τοῖς ἔπεσι τῦ Ἡσιόδυ γεγραμμένον. ἐκεῖνος γὰρ ἐςιν ὁ πρῶτος Ἐπιμενίδῃ σπέρματα τῆς τροφῆς ταύτης παρασχὼν, καὶ ζητεῖν ὁ διδάξας,

— ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μεγ᾽ ὄνειαρ.

Οἴει γὰρ, (ὁ Περίανδρος εἶπε) τὸν Ἡσίοδον ἐννοῆσαί [7] τι τοιῦτον, ἐκ ἐπαινέτην ὄντα φειδῦς αἰεὶ, καὶ πρὸς τὰ λιτότατα τῶν ὄψων ὡς ἥδιςα παρακαλεῖν ἡμᾶς; ἀγαθὴ μὲν γὰρ ἡ μαλάχη βρωθῆναι, γλυκὺς δὲ ὁ ἀνθέρικος· τὰ δ᾽ ἄλιμα ταῦτα καὶ ἄδιψα φάρμακα μᾶλλον,

1 Turn. V. Bong. τῷ νόμῳ τὸν λόγον.

2 R. susp. καὶ νὴ Δία φαρμακεύων. Est φαρμακεύων in Ald. Bas. Petav.

3 Turn. V. Bong. Petav. ὑμῶν.

4 Ald. & Bas. κελεύων. Xyl. correxit.

5 Vox Reiskio suspecta. W. susp. ἰδίαν, aut ἣν δὴ αὐτὸς; Mez. ἰδίᾳ; deest in A. & B.

6. Ald. & Bas. ἢ εἰ; Item mox Bas. ἐκεῖ pro ἐκεῖνος.

7 Petav. ἐννῆσαι; & mox παρακαλεῖ pro παρακαλεῖν.

λον, ἢ σιτία, πυνθάνομαι καὶ μέλι καὶ τυρόν τινα βαρβαρικὸν δέχεσθαι, καὶ σπέρματα πάμπολλα τῶν ἐκ εὐπορίςων [1]. πῶς ἂν ἐκ ἐν τῷ [2] Ἡσιόδῳ τὸ πηδάλιον ὑπὲρ καπνῦ κείμενον,

Ἔργα βοῶν δ' ἀπόλοιτο, καὶ ἡμιόνων ταλαεργῶν,

εἰ τοσαύτης [3] δεήσει παρασκευῆς. θαυμάζω δέ σε τὸν ξένον, ὦ Σόλων, εἰ Δηλίοις ἔναγχος ποιησάμενος τὸν μέγαν καθαρμὸν, ἐχ ἱςόρησε παρ' αὐτοῖς εἰς τὸ ἱερὸν κομιζόμενα τῆς πρώτης ὑπομνήματα τροφῆς καὶ δείγματα, μετ' ἄλλων [4] εὐτελῶν καὶ αὐτοφυῶν, μαλάχην καὶ ἀνθέρικον· ὧν εἰκός ἐςι καὶ τὸν Ἡσίοδον προξενεῖν ἡμῖν τὴν λιτότητα καὶ ἀφέλειαν [5]. Οὐ ταῦτα, ἔφη, μόνα ὁ Ἀνάχαρσις, ἀλλὰ καὶ πρὸς ὑγίειαν ἐν τοῖς μάλιςα τῶν λαχάνων ἑκάτερον ἐπαινεῖται. καὶ ὁ Κλεόδημος· Ὀρθῶς (ἔφη) λέγεις. ἰατρικὸς [6] γὰρ Ἡσίοδος ὢν δῆλός ἐςιν, ἐκ ἀμελῶς, ἐδ' ἀπείρως, περὶ διαίτης, καὶ κράσεως οἴνε, καὶ ἀρετῆς ὕδατος, καὶ λετρῦ, καὶ γυναικῶν [7] διαλεγόμενος, καὶ συνεσίας καιρῦ,

1 Dedi ἐκ, quod Xyl. deesse monuit, & W. recepit ex B. & Mez. In Voss. super εὐ notatum est ἀ.

2 Xyl. maluit ἐ σὺν τῷ. W. susp. πῶς ἂν ἂν τῷ Ἡσ. *quomodo igitur Hesiodo* (i. e. *secundum Hesiodum*) *clavus supra fumum positus, & boum opera perirent.* — Mez. dedit ἄν. Kaltw. ἐκ deleri vult.

3 R. susp. τοσαύτης ἐδὲν δεήσει.

4 Ald. & Bas. μετάλλων καὶ αὐτοφυῶν. Idem e Petav. notatur. Xyl. legit μετ' ἄλλων, emisso καὶ, & vertit: cum aliis sponte sua nascentibus. Steph. retinuit μετάλλων, & addidit εὐτελῶν. Recepi, e V. & Petav. aliam hanc adhuc lectionem exhibente, probante R., μετ' ἄλλων. Idem dedit W. ex Anon. Mez. & rell. citatis.

5 Codex, cujus nomen reticetur καὶ τὴν ἀφίλ.

6 Ald. Bas. Petav. ἰατρός. In seq. R. & W. conjecturam & Xyl. versionem sum secutus, dando ὢν pro vulg. Ἡσίοδος, ὡς δ. ἐ. *Clarum enim est, Hesiodum rei medicae peritum fuisse.* Ante Ἡσίοδ. R. voluit ὁ.

7 καὶ ante γυναικῶν abest in B. Perinde est, W. judice, utrum

ρȣ, καὶ βρεφῶν καθίσεως [1], ἀλλ' Ἡσιόδȣ μὲν ἐμοὶ δοκεῖ δικαιότερον Αἴσωπος αὐτὸν ἀποφαίνειν μαθητὴν, ἢ Ἐπιμενίδης [2]. τȣ́τῳ γὰρ ἀρχὴν τῆς καλῆς ταύτης καὶ ποικίλης καὶ πολυγλώσσȣ σοφίας ὁ πρὸς τὴν ἀηδόνα λόγος τȣ̃ ἱέρακος παρέσχηκεν. ἐγὼ δ' ἂν ἡδέως ἀκȣ́σαιμι Σόλωνος· εἰκὸς γὰρ αὐτὸν πεπύσθαι, πολὺν χρόνον Ἀθήνησιν Ἐπιμενίδῃ συγγενόμενον, ὅ τι δὴ παθὼν, ἢ σοφιζόμενος, ἐπὶ τοιαύτην ἦλθε δίαιταν.

XV. Καὶ ὁ Σόλων ἔφη· Τί δὲ [3] τȣ̃το ἐκείνων ἐρωτᾷν ἔδει; δῆλον γὰρ ἦν, ὅτι τȣ̃ μεγίςȣ τῶν ἀγαθῶν καὶ κρατίςȣ δεύτερόν ἐςι τὸ δεῖσθαι τροφῆς βραχυτάτης, εἴ γε τὸ μέγιςον εἶναι δοκεῖ [4], τὸ μηδὲ ὅλως τροφῆς δεῖσθαι. Οὐδαμῶς, ὁ Κλεόδημος, ἔμοιγε, εἶπεν, εἰ δεῖ τὸ φαινόμενον εἰπεῖν, καὶ μάλιςα παρακειμένης τραπέζης, ἣν [5] ἀναιρȣ̃σιν, αἰρομένης τροφῆς, Φιλίων θεῶν βωμὸν ȣ̉̃σαν καὶ ξενίων. ὡς δὲ Θάλης λέγει, τῆς γῆς

 ἀναι-

utrum adsit, an desit, nam utrumque valet in Hesiodum. Op. & D. 753.

1 Hesiod. ibid. v. 747. unde patet, bene legi καθίσεως, pro qua voce R. καθάρσεως conjecerat, quod etiam a correctoris manu in Voss. extat; male, W. judice.

2 Cod. cujus nomen reticetur, Ἐπιμενίδην.

3 Turn. V. Bong. τί δαὶ.

4 Vulgo βραχυτάτης· ἢ εἰ τὸ μέγιςον εὐδοκεῖ, τὸ &c. Xyl. legi voluit εἰ τὸ μέγιςον εὖ δοκεῖ; R. εἰ vel ἐπεὶ τὸ μέγ. εἶναι δο. W. εἴγε τὸ μέγ. σοὶ δοκεῖ. Dedi ex his, quae mihi arriserunt. Petav. τὸ μὴ δι' ὅλως.

5 Recepi hoc ἣν, quod vulgo deest, e Turn. V. & Bong. quod & in Anon. datur, ne constructio sit prorsus manca, & ut aliquis sensus prodeat — *quam, alimento sublato, tollunt, aram Diis, amicitiae hospitiique patronis, sacram.* R. voluit ἀναιρȣ̃σι γὰρ, αἰρομένης τροφῆς, Φιλίων θεῶν ἑςίαν καὶ ξενίων. Mez. ἣν συναναιρȣ̃σι. W. αἰρομένης τροφῆς reponendum censet post διάλυσίς ἐςι —. (Ibi tale quid subintelligendum vel supplendum esse, patet) reliqua autem sic corrigenda: τραπέζης, ἣν αἰδȣ̃μαι Φιλίων θεῶν βωμὸν ȣ̉̃σαν καὶ ξενίων. A Petav. Ald. Bas. abest βωμὸν; pro ξενίων Petav. ξένων.

ἀναιρεθείσης, σύγχυσιν τὸν ὅλον ἕξειν κόσμον, ὥσπερ οἴκου διάλυσίς ἐστι [1]. συναναιρεῖται γὰρ αὐτῇ πῦρ ἑστιοῦχον, ἑστία, κρατῆρες, ὑποδοχαὶ, ξενισμοὶ, φιλανθρωπότατα καὶ πρῶτα κοινωνήματα πρὸς ἀλλήλους, μᾶλλον δὲ σύμπας ὁ βίος, εἴγε [2] διαγωγή τις ἐστὶν ἀνθρώπου πράξεων [3] ἔχουσα διέξοδον, ὧν ἡ τῆς τροφῆς χρεία καὶ παρασκευὴ τὰς πλείστας παρακαλεῖ. δεινὸν μὲν οὖν, ὦ ἑταῖρε, καὶ τὸ γεωργίας αὐτῆς [4]. διαλυομένη γὰρ αὖθις, ἀπολείπει γῆν ἡμῖν ἄμορφον καὶ ἀκάθαρτον, ὕλης ἀκάρπου καὶ ῥευμάτων πλημμελῶς φερομένων ὑπ' ἀργίας ἀνάπλεων· συναπόλλυσι δὲ καὶ τέχνας πάσας καὶ ἐργασίας, ὧν ἔξαρχός ἐστι, καὶ παρέχει βάσιν πάσαις [5] καὶ ὕλην· καὶ τὸ μηδὲν εἶσι, ταύτης ἐκποδὼν γενομένης [6]. καταλύονται καὶ τιμαὶ θεῶν, ἡλίῳ μὲν [7] μικρὰν, ἔτι δ' ἐλάττω σελήνῃ χάριν αὐγῆς μόνον καὶ ἀλέας ἀνθρώπων ἐχόντων, ὀμβρίῳ δὲ Διῒ, καὶ προηροσίᾳ Δήμητρι, καὶ φυταλμίῳ [8] Ποσειδῶνι ποῦ βωμός ἐστι [9]; ποῦ δὲ θυσία; πῶς δὲ χαριτοδότης ὁ Διόνυσος, εἰ

1 Xyl. subintelligi vult τροφῆς ἀναίρεσις; R. ἐστιν ἡ τῆς τραπέζης ἀναίρεσις.

2 Sic Xyl. & R. legi voluerunt, dedique cum W. ex Anon. & Mez.

3 Petav. πρᾶξιν.

4 Dedi sic ex Petav. probante R. pro vulg. αὐτῇ. Xylandro deesse videbatur ἔπεται, aut quippiam tale, & legendum διαλυομένης γὰρ αὐτῆς. W. sic corrigendum putat: γεωργίαι. αὕτη γὰρ διαλ. αὖθ. Pro διαλ. Turn. V. Bong. διολλυμένη; mox pro ῥευμάτων Petav. ῥεῦμα, & ἀπὸ pro ὑπ'.

5 Petav. βάσιν καὶ, ut πάσαις abesse videatur, id quod paulo ante pro πάσας extat in Turn. V. Bong. Pro βάσιν W. dubius est an Plut. scripserit φύσιν.

6 In distinctione W. sum secutus. Vulgo post εἶσι fuit punctum, & post γενομένης comma.

7 Recepi μὲν, quod Mez. & R. voluerunt. Vulgo δὲ, unde W. etiam τε substitui posse monet. Pro αὐγῆς Petav. αὐτῆς.

8 Ald. & Bas. φοιταλμίῳ, quod corrigendum monuit Xyl.

9 R. & W. legi volunt ἐστα;.

εἰ δεησόμεθα μηδενὸς, ὧν δίδωσι; τί δὲ θύσομεν, ἢ σπείσομεν, τίνος δὲ ἀπαρξόμεθα; πάντα γὰρ ταῦτα τῶν μεγίστων ἀνατροπὴν καὶ σύγχυσιν ἔχει πραγμάτων. ἡδονῆς δὲ πάσης μὲν περιέχεσθαι, καὶ πάντως [1], ἀλόγιστόν ἐστι, πᾶσαν δὲ φεύγειν, καὶ πάντως, ἀναίσθητον. τὴν μὲν οὖν ψυχὴν ἑτέραις τισὶν ἡδοναῖς χρῆσθαι κρείττοσιν ὑπαρχέτω, τῷ δὲ σώματι λαβεῖν ἡδονὴν τῆς ἀπὸ τοῦ τρέφεσθαι δικαιοτέραν οὐκ ἔστιν εὑρεῖν [2]. ὅπερ οὐθένα λέληθεν ἀνθρώπων· τροφὴν [3] γὰρ ἐν μέσῳ θέμενοι κοινωνοῦσιν ἀλλήλοις δείπνων καὶ τραπέζης· ἀφροδισίων δὲ νύκτα [4] καὶ πολλοὶ προβάλλονται σκότος, ἡγούμενοι ταύτης [5] τὸ κοινωνεῖν ἀναίσχυντον εἶναι καὶ θηριῶδες, ὡς τὸ μὴ κοινωνεῖν ἐκείνης. ὑπολαβὼν οὖν ἐγὼ [6], τοῦ Κλεοδήμου διαλιπόντος· Ἐκεῖνο δ' οὐ λέγεις, (εἶπον) ὅτι καὶ τὸν ὕπνον ἅμα τῇ τροφῇ συνεκβάλλομεν; ὕπνου δὲ μὴ ὄντος, οὐδ' ὄνειρός ἐστιν, ἀλλ' οἴχεται τὸ πρεσβύτατον [7] ἡμῖν μαντεῖον· ἔσται δὲ μονοειδὴς ὁ βίος, καὶ τρόπον τινὰ μάτην τὸ σῶμα περικείσεται τῇ ψυχῇ [8]. τὰ πλεῖστα γὰρ αὐτοῦ καὶ κυριώτατα τῶν μερῶν ἐπὶ τὴν τροφὴν ὄργανα παρεσκεύασται, γλῶττα, καὶ ὀδόντες, καὶ στόμαχος, καὶ ἧπαρ· ἀργὸν γὰρ οὐδέν ἐστιν, οὐδὲ πρὸς ἄλλην συντεταγμένον χρείαν [9]. ὥστε ὁ μὴ δεόμενος τρο-



1 Commata, post utrumque πάντως in Frst. omissa, dedit R.

2 W. susp. λαβεῖν — οὐκ ἔστιν οὐδ' εὑρεῖν, vel λαβεῖν — οὐκ ἔστιν εἰπεῖν.

3 Dedi sic ex Anon. & Mez. pro vulg. ἣν γάρ. R. voluit aut καὶ, aut τροφὴν γάρ. Turn. V. & Exempl. Turn. ταύτην.

4 Ald. Bas. cum Petav. δεκτά. Xyl. legendum censuit, quod habent Turn. & V. deditque Steph. In Frst. καὶ νύκτα.

5 R. maluit τούτων, ad ἀφροδισίων. Equidem subintelligo ἡδονῆς, uti ad sequens ἐκείνης.

6 Turn. V. Bong. ἐγὼ γοῦν ὑπολαβὼν τοῦ κλ.

7 Recepi, quod Mez. Xyl. & R. voluerunt, & W. probavit, pro vulg. πρεσβύτερον.

8 Petav. τὴν ψυχήν; mox idem παρασκεύασται.

9 R. subaudiendum monet ἢ τοῦ τρέφεσθαι, vel ἢ ταύτην πρὸς ἣν συντέτακται καὶ ἣν ἀποτελεῖ.

τροφῆς, οὐδὲ σώματος δεῖται. τοῦτο δ' ἦν αὐτὸν αὐτοῦ [1] μὴ δεῖσθαι. σὺν σώματι γὰρ ἡμῶν ἕκαστος. ἡμεῖς μὲν οὖν (ἔφην ἐγὼ) ταύτας τῇ γαστρὶ συμβολὰς εἰσφέρομεν· εἰ δὲ Σόλων, ἤ τις ἄλλος τὶ κατηγορεῖ, ἀκουσόμεθα.

XV. Πάνυ μὲν οὖν· (ἔφη ὁ Σόλων) μὴ καὶ τῶν Αἰγυπτίων ἀκριτώτεροι φανῶμεν, οἳ τὸν νεκρὸν ἀνατέμνοντες ἔδειξαν τῷ ἡλίῳ, εἶτ' αὐτὰ [2] μὲν εἰς τὸν ποταμὸν κατέβαλον· τοῦ δ' ἄλλου σώματος, ἤδη καθαροῦ γεγονότος, ἐπιμέλονται. τῷ γὰρ ὄντι τοῦτό ἐστι τὸ μίασμα τῆς σαρκὸς ἡμῶν, καὶ ὁ τάρταρος, ὡς ἐν ᾅδου, δεινῶν τινων ῥευμάτων, καὶ πνεύματος ὁμοῦ καὶ πυρὸς συμπεφυρμένου καὶ νεκρῶν περίπλεως. ζῶν γὰρ [3] ἀπ' οὐδενὸς τρέφεται ζῶντος, ἀλλὰ θανατοῦντες τὰ ἔμψυχα καὶ τὰ φυόμενα [4] τῷ τρέφεσθαι καὶ αὔξεσθαι μετέχοντα τοῦ ζῆν ἀπολλύντες ἀδικοῦμεν. ἀπόλλυται γὰρ ἐξ οὗ πέφυκε τὸ μεταβάλλον εἰς ἄλλο, καὶ πᾶσαν φθείρεται φθορὰν, ὅπως ἂν θατέρου τροφὴ γένοιτο. τὸ δ' ἀπέχεσθαι σαρκῶν ἐδωδῆς, (ὥσπερ Ὀρφέα τὸν παλαιὸν ἱστοροῦσι) σόφισμα μᾶλλον, ἢ φυγὴ τῶν περὶ τὴν τροφὴν [5] ἀδικημάτων, ἐστί. φυγὴ δὲ μία καὶ καθαρμὸς εἰς δικαιοσύνην τελειοῖ [6] αὐτάρκη καὶ ἀπροσδεῆ γενέσθαι. ᾧ δ'

1 Dedi, quod Mez. & R. legi voluerunt, & probat W. Vulgo αὐτὸ αὐτοῦ; A. & Venet. αὐτὸ ἦν αὐτοῦ μ. δ.

2 Excidiſſe aliquid, facile patet. Xyl. τὰ σπλάγχνα adfuiſſe putat. Mez. inſerit τὰ ἔντερα poſt ἔδειξαν; R. ſuſp. εἶτα τὰ μὲν ἔγκατα, vel σπλάγχνα. W. κοιλίαν additum fuiſſe ſuſpicatur. Petav. pro εἶτ' αὐτὰ dat corrupte εἰ ταῦτα, uti paulo ante ἀκροτώτεροι, & ἢ, pro ἀκριτ. & οἳ; & mox ἐπιμέλλονται.

3 R. ſuſp. ζῶν γὰρ οὐδεὶς ἀπ' οὐδ.

4 Petav. φαινόμενα.

5 Dedi, quod R. voluit, & habent G. & Mez. probatque W. pro vulg. τρυφήν.

6 R. mavult τέλεος, aut τελείαν. Mox Petav. ἀνενδεῆ pro ἀπροσδεῆ; & προσετέθηκεν.

δ' ἄνευ κακώσεως ἑτέρε τὴν ἑαυτῦ σωτηρίαν ἀμήχανον ὁ Θεὸς πεποίηκε, τέτῳ τὴν Φύσιν ἀρχὴν ἀδικίας προστέθεικεν. ἆρ' ἦν ἐκ [1] ἄξιον, ὦ Φίλε, συνεκτεμεῖν ἀδικίᾳ κοιλίαν καὶ στόμαχον καὶ ἧπαρ; ἃ καλῦ μὲν ἐδενὸς αἴσθησιν ἡμῖν, ἐδ' ὄρεξιν [2] ἐνδίδωσι, σκεύεσι δὲ μαγειρικοῖς, οἷα κοπίδες καὶ λέβητες, τὰ δὲ μυλωθρικοῖς καὶ καμίνοις καὶ Φρεωρύχοις [3] καὶ μακ]ηρίοις ἔοικεν. ἀτεχνῶς δὲ τῶν πολλῶν ἴδοι τις ἂν, ὥσπερ ἐν μύλωνι, τῷ σώματι τὴν ψυχὴν ἐγκεκαλυμμένην, ἀεὶ [4] περὶ τὴν τῆς ψυχῆς χρείαν κυκλῦσαν· ὥσπερ ἀμέλει καὶ ἡμεῖς ἄρτι μὲν ἐθ' ἑωρῶμεν [5] ἀλλήλες, ἐτ' ἠκέομεν, ἀλλ' ἕκαστος ἐγκεκυΦὼς ἐδέλευε τῇ περὶ τὴν τροΦὴν χρείᾳ, νυνὶ δὲ ἀπαρθεισῶν [6] τῶν τραπεζῶν, ἐλεύθεροι γεγονότες (ὡς ὁρᾷς) ἐστεΦανωμένοι περὶ λόγες διατρίβομεν, καὶ ἀλλήλοις σύνεσμεν, καὶ σχολὴν ἄγομεν [7], εἰς τὸ μὴ δεῖσθαι τροΦῆς ἐληλυθότες. ἆρ' ἦν, ἅνπερ ἡ νῦν ἔσα περὶ ἡμᾶς ἕξις, ἄπαυστος διαμένῃ παρὰ πάντα τὸν βίον, ἐκ ἀεὶ σχολὴν ἕξομεν ἀλλήλοις, (ἵνα [8]) μηδὲ δεδιότες πε-



1 ἆρ' ἐκ hic loci non interrogare, ſed pronunciare: *non igitur oportet* — R. monet. Vulgo nimirum deeſt ſignum interrogandi, quod cum W. dedi.

2 Petav. Ald. & Baſ. ἐδενὸς, αἴσθησιν δὲ ὄρεξιν. Xyl. correxit δὲ in ἐδέ. Steph. dedit id, ἡμῖν ſimul inſerens.

3 *cloacis*. Significat vias excrementis amovendis deſtinatas. R. — Turn. χρεωρύχοις.

4 Sic R. voluit, & dedi cum W. e var. lect. marg. Voſſ. pro vulg. δεῖ. Turn. V. Anon. θεῖν. Xyl. legit καὶ, inſerens ἑαυτήν.

5 Xyl. legit ἐκ ἐθεωρῦμεν.

6 Sic e W. conjectura dare non dubitavi. Vulgo παρατεθεισῶν. Mez. ἀΦαιρεθεισῶν; R. ἀρθεισῶν ſuſp. — *ſublatis, amotis menſis*.

7 Petav. ἄγωμεν, & mox διαμένει.

8 Uncis incluſi ἵνα, ut delendum hac vocum conſtitutione, niſi cum Xyl. ſubjunctivum verbum excidiſſe ſuſpiceris. Omittitur idem a Turn. & Petav. qui ſimul pro μηδὲ dant μή. W. ſic conjicit ἀλλήλοις συνεῖναι, μηδὲ δεδιότες πενίαν, μηδὲ ἐνδέοντες πλέτε.

πενίαν, μηδ' εἰδότες πλοῦτον. ὁ γὰρ τῶν περισσῶν ζῆλος εὐθὺς ἀκολουθεῖ, καὶ συνοικίζεται τῇ χρείᾳ τῶν ἀναγκαίων. ἀλλ' οἴεται δεῖν τροφὴν εἶναι Κλεόδημος, ὅπως τράπεζαι καὶ κρατῆρες ὦσιν, οὐ Δήμητρι καὶ Κόρῃ θύεται ἔτι [1]. ἕτερος δέ τις ἀξιούτω, μάχας εἶναι καὶ πόλεμον, ἵνα καὶ τείχη καὶ νεωσοίκους καὶ ὁπλοθήκας ἔχωμεν, καὶ θύωμεν ἑκατομφόνια, καθάπερ φασὶ νόμον εἶναι Μεσσηνίοις. ἄλλον δὲ πρὸς τὴν ὑγίειαν οἶμαι χαλεπαίνειν. δεινὸν γάρ, εἰ, μηδενὸς νοσοῦντος, οὐ στρωμνῆς ἔτι μαλακῆς ὄφελος, οὐ κλίνης· οὐκ Ἀσκληπιῷ θύσομεν, οὐκ ἀποτροπαίοις· ἰατρικὴ δὲ μετὰ ὀργάνων καὶ φαρμάκων ἀποκείσεται τοσούτων [2] ἀκλεὴς καὶ ἀπόθετος [3]. ἢ τί ταῦτα ἐκείνων διαφέρει; καὶ γὰρ ἡ τροφὴ λιμοῦ φάρμακον προσάγεται, καὶ θεραπεύειν ἑαυτοὺς λέγονται πάντες οἱ τρεφόμενοι δίαιταν [4], οὐχ ὡς ἡδύ τι καὶ κεχαρισμένον, ἀλλ' ὡς ἀναγκαῖον τοῦτο τῇ φύσει πράττοντες. ἐπεὶ λύπας γε [5] πλείονάς ἐστιν ἀπὸ τῆς τροφῆς τῶν ἡδονῶν γινομένας καταριθμῆσαι· μᾶλλον δὲ ἡ μὲν ἡδονὴ καὶ τόπον ἔχει βραχὺν ἐν τῷ σώματι, καὶ χρόνον οὐ πολύν· ἡ δὲ περὶ τὴν διοίκησιν αὐτῆς ἀσχολία καὶ δυσχέρεια, τί δεῖ λέγειν, ὅσων αἰσχρῶν καὶ ὀδυνηρῶν ἡμᾶς ἐμπίπλησιν; οἶμαι γάρ, εἰς τοσαῦτα βλέψαντα τὸν Ὅμηρον

1 R. susp. ὦσιν, ἐὰν Δήμητρι καὶ Κόρῃ θύεταί τι, *si quid Cereri & Proserpinae victimae loco offertur.* — W. autem καὶ Δήμητρι καὶ Κόρῃ θύηται ἔτι. Ego suppleo καὶ ἄλλα, ἃ &c. Petav. θύονται, mox νεσοίκους, & θύομεν; ὅμοιον pro νόμον; θήσομεν pro θύσομεν.

2 Petav. Ald. & Bas. τοσοῦτον.

3 *seposita* in locum solitarium, seorsim, ut res nulli usui serviens. R. cogitarat aliquando ἀπόθητοι, non desiderata, sed vulgatam bene habere monet.

4 R. judice, delendum δίαιταν, aut cum νὴ Δία mutandum. Annon κατὰ subintelligi liceat, ut sit: *certa ratione?* Pro ἑαυτοὺς Petav. Ald. & Bas. αὐτούς.

5 Dedi hoc γε pro vulg. τε, R. & W. probantibus. Mox Petav. γενομένας pro γινομ.

ρον ἀποδείξει κεχρῆσθαι περὶ θεῶν τῷ μὴ ἀποθνήσκειν, τῷ μὴ τρέφεσθαι·

Οὐ γὰρ [1] σῖτον ἔδουσ', οὐ πίνουσ' αἴθοπα οἶνον·
Τοὔνεκ' ἀναίμονές εἰσι· καὶ ἀθάνατοι καλέονται.

ὡς μὴ μόνον τοῦ ζῆν, ἀλλὰ καὶ τοῦ ἀποθνήσκειν, τὴν [2] τροφὴν ἐφόδιον οὖσαν. ἐκ ταύτης γὰρ αἱ νόσοι, συστρεφόμεναι [3] τοῖς σώμασιν, οὐκ ἔλαττον ἐνδείας κακὸν ἔχουσι τὴν πλήρωσιν· πολλάκις δὲ καὶ μεῖζόν ἐστιν ἔργον τοῦ πορίσαι τροφὴν, καὶ συναγαγεῖν, τὸ [4] καταναλῶσαι, καὶ τὸ διαφορῆσαι πάλιν εἰς τὸ σῶμα παραγενομένην. ἀλλ' ὥσπερ εἰ διαποροῖεν αἱ Δαναΐδες, τίνα βίον βιώσονται, καὶ τί πράξουσιν ἀπαλλαγεῖσαι τῆς περὶ τὸν πίθον λατρείας καὶ πληρώσεως [5]. οὕτω διαποροῦμεν ἡμεῖς, εἰ γένοιτο παύσασθαι φοροῦντας εἰς τὴν σάρκα [6] τὴν ἄτρυτον ἐκ γῆς ἅμα καὶ θαλάττης τοσαῦτα, τί πράξομεν, ἀπειρίᾳ τῶν καλῶν τὸν ἐπὶ τοῖς ἀναγκαίοις στέργοντες βίον [7]; ὥσπερ οὖν οἱ δουλεύσαντες, ὅταν ἐλευθερωθῶσιν, ἃ πάλαι τοῖς δεσπόταις ἔπραττον ὑπηρετοῦντες, ταῦτα πράττουσιν αὐτοῖς καὶ δι' αὐτούς· οὕτως ἡ ψυχὴ νῦν μὲν τρέφει τὸ σῶμα πολλοῖς πόνοις καὶ ἀσχολίαις, εἰ δ' ἀπαλλαγείη τῆς λατρείας, αὐτὴν [8] δήπουθεν ἐλευθέραν γενομένην θρέψει, καὶ βιώσεται εἰς αὐτὴν ὁρῶσα καὶ τὴν ἀλήθειαν, οὐδενὸς περισπῶντος, οὐδ' ἀπάγοντος. τὰ μὲν οὖν ῥηθέντα περὶ τροφῆς, ὦ Νίκαρχε, ταῦτ' ἦν.



1 Hom. Il. V. 342. 343. Bas. ἔδει καὶ πίνει. Petav. ἔδουσιν.
2 abest τὴν a Petav.
3 W. mavult συντρεφομένας.
4 Ald. & Bas. καὶ pro τό.
5 Petav. Ald. Bas. πληρότητος.
6 G. εἰς τὴν γαστέρα, quod W. melius censet. Pro φοροῦντας Ald. & Bas. φρονοῦντας.
7 Post h. v. Petav. habet ταῦτα. An desunt, quae sequuntur usque ad ταῦτα?
8 Comma in Frst. post αὐτὴν fuit collocatum. R. correxit. Petav. h. l. & mox αὐτήν.

XVII. Ἔτι δὲ τοῦ Σόλωνος λέγοντος, εἰσῆλθε Γοργίας, ὁ Περιάνδρου ἀδελφός· (ἐτύγχανε γὰρ εἰς Ταίναρον ἀπεσταλμένος ἔκ τινων χρησμῶν, τῷ Ποσειδῶνι θυσίαν καὶ θεωρίαν ἀπάγων) ἀσπασαμένων δ' ἡμῶν αὐτὸν, καὶ τοῦ Περιάνδρου προσαγαγομένου [1] καὶ φιλήσαντος, καθίσας παρ' αὐτὸν ἐπὶ τῆς κλίνης, ἀπήγγειλεν ἄττα δὴ πρὸς μόνον ἐκεῖνον. ὁ δ' ἠκροᾶτο, πολλὰ πάσχοντι πρὸς τὸν λόγον ὅμοιος ὤν· τὰ μὲν γὰρ ἀχθόμενος, τὰ δ' ἀγανακτῶν ἐφαίνετο, πολλάκις δ' ἀπιστῶν, εἶτα θαυμάζων· τέλος δὲ γελάσας πρὸς ἡμᾶς· Βούλομαι μὲν (ἔφη) πρὸς τὸ παρὸν [2] φράσαι τὸ προσηγγελμένον· ὀκνῶ δὲ, ἀκούσας Θάλεώ ποτε εἰπόντος, ὅτι δεῖ τὰ μὲν εἰκότα λέγειν, τὰ δ' ἀμήχανα σιωπᾶν. ὑπολαβὼν οὖν ὁ Βίας· Ἀλλὰ καὶ τοῦτ' (ἔφη) Θάλεω τὸ σοφόν ἐστιν, ὅτι δεῖ τοῖς ἐχθροῖς καὶ περὶ τῶν πιστῶν ἀπιστεῖν, τοῖς δὲ φίλοις καὶ τὰ ἄπιστα πιστεύειν· ἐχθροὺς μὲν, (ἐγὼ ἡγοῦμαι) τοὺς πονηροὺς καὶ ἀνοήτους, φίλους δὲ, τοὺς χρηστοὺς καὶ φρονίμους, αὐτοῦ καλοῦντος. Οὐκοῦν (ἔφη) λεκτέον εἰς ἅπαντας, ὦ Γοργία, μᾶλλον δ' ἀκτέον ἐπὶ [3] τοὺς νέους τούτους διθυράμβους ὑπερφθεγγόμενον ὃν ἥκεις λόγον [4] ἡμῖν κομίζων.

XVIII. Ἔφη τοίνυν Γοργίας, ὅτι, τῆς θυσίας ἐφ' ἡμέρας τρεῖς συντελεσθείσης ὑπ' αὐτοῦ, καὶ τῇ τελευ-

1 Petav. προσαγομένου.

2 R. subaudiendum monet πλῆθος aut συνέδριον, aut simile quid — *ad hanc coronam.*

3 Locum hunc se non intelligere, nec eum planiorem esse, si legat μᾶλλον δέ λεκτέον ἐστι τοὺς νέους, R. fatetur. At W. judice, sanus est, sed subobscurus, magis interpretationem quam emendationem exspectans. Respici monet ad Dithyrambos recens ab Arione inventos, & sic vertit: *Dic rem, quam adfers, ad nos omnes praesentes: imo potius eam traducens ad novos illos dithyrambos* (i. e. *ei adhibens novos illos dithyrambos*: vel, *more Dithyramborum illorum recens inventorum*) *elata voce enuncia*

4 R. susp. ὧν ἥκεις λόγων. Ald. & Bas. ὃν ἥκῃς λόγον.

λευταίᾳ παννυχίδος οὔσης, καὶ χορείας τινὸς καὶ παιδιᾶς πρὸς τὸν αἰγιαλὸν [1], ἡ μὲν σελήνη κατέλαμπεν εἰς τὴν θάλατταν. οὐκ ὄντος δὲ πνεύματος, ἀλλὰ νηνεμίας καὶ γαλήνης, πόῤῥωθεν ἀφεωρᾶτο φρίκη κατιοῦσα παρὰ τὴν ἄκραν, ἀφρόν τινα καὶ ψόφον ἄγουσα τῷ ῥοθίῳ περὶ αὐτὴν πολὺν, ὥστε πάντας ἐπὶ τὸν τόπον, οὗ προσίμελλε [2], καταδραμεῖν θαυμάσαντας· πρὶν δ' εἰκάσαι τὸ προσφερόμενον ὑπὸ τάχους, δελφῖνες ὤφθησαν, οἱ μὲν ἀθρόοι πέριξ κυκλοῦντες, οἱ δὲ ὑφηγούμενοι τοῦ αἰγιαλοῦ πρὸς τὸ λειότατον, ἄλλοι δ' ἐξόπιθεν, οἷον περιέποντες, ἐν μέσῳ δ' ἀνεῖχεν ὑπὲρ τῆς θαλάσσης ὄγκος ἀσαφὴς καὶ ἄσημος, ὀχουμένου σώματος, μέχρις οὗ συνάγοντες [3], εἰς αὐτὸ καὶ συνεποκείλαντες, ἐξέθηκαν ἐπὶ τὴν γῆν ἄνθρωπον ἔμπνουν καὶ κινούμενον· αὐτοὶ δὲ πάλιν πρὸς τὴν ἄκραν ἀναφερόμενοι, μᾶλλον, ἢ πρότερον, ἐξήλοντο [4], παίζοντες ὑφ' ἡδονῆς τινος, ὡς ἔοικε, καὶ σκιρτῶντες. Ἡμῶν δὲ (Γοργίας [5] ἔφη) πολλοὶ μὲν διαταραχθέντες ἔφυγον ἀπὸ τῆς θαλάσσης, ὀλίγοι δὲ μετ' ἐμοῦ θαῤῥήσαντες προσελθεῖν ἐγνώρισαν Ἀρίονα, τὸν κιθαρῳδὸν, αὐτὸν τοὔνομα φθεγγόμενον αὑτοῦ [6], καὶ τῇ στολῇ καταφανῆ γενόμενον· τὸν γὰρ ἐναγώνιον ἐτύγχανεν ἀμπεχόμενος κόσμον, ᾧ κιθαρῳδῶν ἐχρήσατο. κομίσαντες οὖν ἐπὶ σκηνῆς [7] αὐτὸν, ὡς οὐδὲν εἶχε κακὸν, ἀλλ'

1 R. mavult πρὸς τῷ αἰγιαλῷ, aut παρὰ τὸν αἰγιαλόν. Posterius exhibent Turn. V. Bong.

2 R. susp. οὗ προσβάλλειν ἔμελλε; W. aut idem, aut προσιέναι ἔμελλε, aut simpliciter προσέβαλλε.

3 W. docente, *congregantes se ad illud corpus*: rariori usu verbi συνάγειν pro συνάγειν ἑαυτόν; forte tamen nonnihil vitii subesse suspicatur, ut sit legendum συνάγ. εἴσω αὐτό, *illud intra ipsos includentes.*

4 R. mavult ἐξήλλοντο; Turn. & V. ἐξήλαντο.

5 Petav. ὁ Γοργίας.

6 Ald. & Bas. αὐτοῦ; Turn. V. Bong. ἑαυτοῦ.

7 R. susp. ἀπήνης; Turn. V. Bong. σκηνήν. Sequens ὡς dedit W. ex B. Eum sum secutus. Vulgo abest. R. dari voluit οὐδὲν γὰρ εἶ. κ.

ἀλλ' ἢ διὰ τάχος καὶ ῥοῖζον ἐφαίνετο τῆς φορᾶς ἐκλελυμένος καὶ κεκμηκὼς, ἠκούσαμεν λόγον ἄπιστον ἅπασι, πλὴν ἡμῶν τῶν θεασαμένων τὸ τέλος. ἔλεγε γὰρ Ἀρίων, ὡς πάλαι μὲν ἐγνωκὼς ἐκ τῆς Ἰταλίας ἀπαίρειν, Περιάνδρου δὲ γράψαντος αὐτῷ προθυμότερος γενόμενος, ὁλκάδος Κορινθίας παραφανείσης [1] εὐθὺς ἐπιβὰς ἀναχθείη· μετρίῳ δὲ πνεύματι χρωμένων, αἴσθοιτο τοὺς ναύτας ἐπιβουλεύοντας ἀνελεῖν αὐτὸν, εἶτα καὶ παρὰ τοῦ κυβερνήτου πύθοιτο λάθρα μηνύσαντος, ὡς τῇ νυκτὶ τοῦτο δρᾷν αὐτοῖς εἴη δεδογμένον. ἔρημος οὖν ὢν [2] βοηθείας καὶ ἀπορῶν, ὁρμῇ τινι χρήσαιτο δαιμονίῳ, τὸ μὲν σῶμα κοσμῆσαι, καὶ λαβεῖν ἐντάφιον αὐτῷ τὸν ἐναγώνιον ἔτι ζῶν κόσμον, ἐξᾷσαι δὲ καὶ τῷ βίῳ [3] τελευτῶν, καὶ μὴ γενέσθαι κατὰ τοῦτο τῶν κύκνων ἀγενέστερος. ἐσκευασμένος οὖν, καὶ προειπὼν, ὅτι προθυμία τις αὐτὸν ἔχει τὸν νόμον διελθεῖν τὸν Πυθικὸν ὑπὲρ σωτηρίας αὐτοῦ καὶ τῆς νεὼς καὶ τῶν ἐμπλεόντων, καταστὰς παρὰ τὸν τοῖχον ἐν πρύμνῃ, καί τινα θεῶν πελαγίων [4] ἀνάκλησιν προανακρουσάμενος, ᾄδοι τὸν νόμον· καὶ ὅσον οὔπω μεσοῦντος αὐτοῦ, καταδύοιτο μὲν ὁ ἥλιος εἰς τὴν θάλατταν, ἀναφαίνοιτο δὲ ἡ Πελοπόννησος. οὐκέτ' οὖν τῶν ναυτῶν τὴν νύκτα περιμενόντων, ἀλλὰ χωρούντων ἐπὶ τὸν φόνον, ἰδὼν ξίφη γεγυμνωμένα, καὶ παρακαλυπτόμενον ἤδη τὸν κυβερνήτην, ἀναδραμὼν ῥίψειεν ἑαυτὸν ὡς δυνατὸν ἦν μάλιστα πόῤῥω τῆς ὁλκάδος· πρὶν δὲ ὅλον καταδῦναι τὸ σῶμα, δελφίνων ὑποδραμόντων ἀναφέροιτο, μεστὸς ὢν ἀπορίας καὶ ἀγνοίας καὶ ταραχῆς τὸ πρῶτον. ἐπεὶ δὲ ῥᾳστώνη τῆς ὀχήσεως ἦν, καὶ πολλοὺς ἑώρα ἀθροιζομένους περὶ αὐτὸν εὐμενῶς, καὶ διαδεχομένους ὡς

1 Turn. V. Bong. ἀναφανείσης. Pro δὲ post μετρίῳ Petav. καὶ; Turn. χρωμένῳ pro χρωμένων.

2 abest ὢν a Petav. Mox idem αὐτῷ pro αὐτῷ.

3 R. mavult τὸν βίον.

4 R. mavult τῶν πελαγίων. Mox Petav. μένοντος pro μεσοῦντος.

ὡς ἀναγκαῖον ἐν μέρει λειτȣ́ργημα καὶ προσῆκον πᾶσιν, ἡ δὲ ὁλκὰς ἀπολειφθεῖσα πόῤῥω τȣ̃ τάχȣς αἴσθησιν παρεῖχε· μήτε τοσȣ̃τον ἔφη δέȣς πρὸς θάνατον αὐτῷ [1], μήτ' ἐπιθυμίας τȣ̃ ζῆν, ὅσον φιλοτιμίας ἐγγενέσθαι πρὸς τὴν σωτηρίαν, ὡς θεοφιλὴς ἀνὴρ φανείη, καὶ λάβοι περὶ θεῶν δόξαν βέβαιον. ἅμα δὲ καθορῶν τὸν ȣ̓ρανὸν ἀςέρων περίπλεων, καὶ τὴν σελήνην ἀνίσχȣσαν εὐφεγγῆ καὶ καθαράν· ἑςώσης δὲ πάντη τῆς θαλάσσης ἀκύμονος, ὥσπερ τρίβον ἀνασχιζόμενον τῷ δρόμῳ, διανοεῖσθαι πρὸς αὐτὸν, ὡς ȣ̓κ ἔςιν εἷς ὁ τῆς δίκης ὀφθαλμὸς, ἀλλὰ πᾶσι τȣ́τοις [2] ἐπισκοπεῖ κύκλῳ ὁ θεὸς τὰ πραττόμενα περὶ γῆν τε καὶ θάλατταν. τȣ́τοις δὲ [3] δὴ τοῖς λογισμοῖς, ἔφη, τὸ κάμνον αὐτῷ καὶ βαρυνόμενον ἤδη τȣ̃ σώματος ἀναφέρεσθαι, καὶ τέλος, ἐπεὶ, τῆς ἄκρας ἀπαντώσης ἀποτόμȣ καὶ ὑψηλῆς, εὖ πως φυλαξάμενοι καὶ κάμψαντες, ἐν χρῷ ἐνήχοντο τῆς γῆς [4], ὥσπερ εἰς λιμένα σκάφος ἀσφαλῶς κατάγοντες, παντάπασιν αἰσθέσθαι, θεȣ̃ κυβερνήσει γεγονέναι τὴν κομιδήν. Ταῦτα (ὁ Γοργίας ἔφη) τȣ̃ Ἀρίονος εἰπόντος, ἠρόμην αὐτὸν, ὅπȣ τὴν ναῦν οἴεται καταχήσειν. ὁ δὲ, πάντως μὲν

1 Petav. Ald. Baſ. αὐτὸν; mox ἐπιθυμίαν pro ἐπιθυμίας & ἧσσον pro ὅσον. Pro περὶ θεῶν R. mavult παρὰ θεῶν. Item Ald. Baſ. Xyl. Petav. φανείη καὶ λάβη. Steph. & rell. edd. φανείοι καὶ λάβοι. R. correctius dedit.

2 R. ſubaudiendum monet τοῖς προφαινομένοις, aut τοῖς δρωμένοις, aut ὑπογυίοις — *illis rebus omnibus. quae in conſpectu noſtro ſunt, quae noſtros in oculos incurrunt, quae in pedibus verſantur.*

3 V. τȣ́τοις τε; Turn. Bong. τȣ́τοις γε.

4 Vulgo κάμψαντες (ἐν χρῷ γὰρ ἐνήχοντο) τὴν γῆν. Dedi τῆς γῆς ex V. Voſſ. Exempl. Turn. Parentheſin & γὰρ ſuſtuli, ut aliquis nexus ſit conſtructionis. R voluiſſe videtur εἰς τὴν γῆν, & excidiſſe ſuſpicatur ἀπέθηκαν αὐτόν. Turn. παρὰ τῆς γῆς. W. in ſeq. pro κατάγοντες legendum cenſet κατάγοιεν. Sequens ἀσφαλῶς recepi e R. mente pro vulg. ἀσφαλεῖς. De relatione ipſa cf. Herodot. I, 23. 24.

μὲν εἰς Κόρινθον, πολὺ μέντοι καθυσερεῖν [1]. αὐτὸν γὰρ ἑσπέρας ἐκπεσόντα, πεντακοσίων ἐ μεῖον οἴεσθαι δρόμον σαδίων κομισθῆναι, καὶ γαλήνην εὐθὺς καταχεῖν. ἐ μὴν ἀλλ' ἑαυτὸν ὁ Γοργίας ἔφη πυθόμενον τἐ τε ναυκλήρε τἔνομα καὶ τἐ κυβερνήτε, καὶ τῆς νεὼς τὸ παράσημον, ἐκπέμψαι πλοῖα καὶ σρατιώτας τὰς κατάρσεις παραφυλάξοντας· τὸν δ' Ἀρίονα μετ' αὐτἐ κομίζειν ἀποκεκρυμμένον, ὅπως μὴ προαισθόμενοι τὴν σωτηρίαν, διαφύγοιεν. ὄντως ἐν ἐοικέναι θείᾳ τύχῃ τὸ πρᾶγμα. παρεῖναι γὰρ αὐτὲς ἅμα δεῦρο, καὶ πυνθάνεσθαι, τῆς νεὼς κεκρατημένης ὑπὸ τῶν σρατιωτῶν, συνειλῆφθαι τὲς ἐμπόρες καὶ ναύτας. ὁ μὲν ἐν Περίανδρος ἐκέλευσεν εὐθὺς ἐξανασάντα τὸν Γοργίαν, εἰς φυλακὴν ἀποθέσθαι τὲς ἄνδρας, ἐ μηδεὶς αὐτοῖς πρόσεισι, μηδὲ φράσει [2] τὸν Ἀρίονα σεσωσμένον.

XIX. Ὁ δ' Αἴσωπος· Ἀλλ' ὑμεῖς (ἔφη) χλευάζετε [3] τὲς ἐμὲς κολοιὲς καὶ κόρακας, εἰ διαλέγονται· δελφῖνες δὲ τοιαῦτα νεανιεύονται; Ἄλλο τι λέγωμεν (ἔφην [4]) ὦ Αἴσωπε· τέτῳ δὲ [5] τῷ λόγῳ πισευομένῳ καὶ γραφομένῳ παρ' ἡμῖν πλέον, ἢ χίλια ἔτη, διαγέγονε, καὶ ἀπὸ [6] τῶν Ἰνὲς καὶ Ἀθάμαντος χρόνων· ὁ δὲ Σόλων ὑπολαβών· Ἀλλὰ ταῦτα μὲν, ὦ Διόκλεις, ἐγγὺς θεῶν ἔσω καὶ ὑπὲρ ἡμᾶς· ἀνθρώπινον δὲ καὶ πρὸς

1 Petav. Voss. Venet. καθυσερῆσαι.

2 Petav. φράσῃ. Idem in Ald. & Bas.

3 Ald. & Bas. χλευάζεται; V. χλευάζεταί τε.

4 Sic R. conjecerat, & dedi cum W. pro λέγομεν & ἔφη. λέγωμεν habent Petav. Venet. Voss. — ἔφην, quod etiam Xyl. legit, dant B. Anon. Turn. V. — *nolim ista a te, o Aesope, audiri, ajebam.* Verba sunt Dioclis.

5 V. Turn. τέτῳ δή. Xyl. & Mez. locum hunc mutilum esse putant. Bene autem W. monet, τέτῳ τῷ λόγῳ accipiendum pro *huic traditioni, homines a delphinis servari.*

6 R. legi vult διαγέγονεν ἀπὸ, absque καὶ, monens, Plutarchum non satis exactos posuisse calculos in temporum ratione, ab Inone ad Solonem plus mille annos numerantem.

πρὸς ἡμᾶς τὸ τοῦ Ἡσιόδου πάθος· ἀκήκοας γὰρ ἴσως τὸν λόγον. Οὐκ ἔγωγε· (εἶπον [1]) Ἀλλὰ μὴν ἄξιον πυθέσθαι. Μιλησίου γὰρ, ὡς ἔοικεν, ἀνδρὸς, ᾧ ξενίας ἐκοινώνει Ἡσίοδος [2] καὶ διαίτης ἐν Λοκροῖς, τῇ τοῦ ξένου θυγατρὶ κρύφα συγγενομένου καὶ φωραθέντος, ὑποψίαν ἔσχεν, ὡς γνοὺς ἀπ' ἀρχῆς καὶ συνεπικρύψας τὸ ἀδίκημα, μηδενὸς ὢν αἴτιος, ὀργῆς δὲ καιρῷ καὶ διαβολῇ περιπεσὼν ἀδίκως. ἀπέκτειναν [3] γὰρ αὐτὸν οἱ τῆς παιδίσκης ἀδελφοὶ περὶ τὸ Λοκρικὸν Νέμειον ἐνεδρεύσαντες, καὶ μετ' αὐτοῦ τὸν ἀκόλουθον, ᾧ Τρωΐλος ἦν ὄνομα. τῶν δὲ σωμάτων εἰς τὴν θάλασσαν ὠσθέντων, τὸ μὲν τοῦ Τρωΐλου εἰς τὸν Δάφνον [4] ποταμὸν ἔξω φερόμενον, ἐπεσχέθη περικλύστῳ χοιράδι μικρὸν ὑπὲρ τὴν θάλασσαν ἀνεχούσῃ [5]· καὶ μέχρι νῦν Τρωΐλος ἡ χοιρὰς καλεῖται. τοῦ δὲ Ἡσιόδου τὸν νεκρὸν εὐθὺς ἀπὸ γῆς ὑπολαβοῦσα δελφίνων ἀγέλη πρὸς τὸ Ῥίον ἐκόμιζε, καὶ τὴν Μολυκρίαν [6]. ἐτύγχανε δὲ Λοκροῖς ἡ τῶν Ῥίων [7] καθεστῶσα θυσία καὶ πανήγυρις, ἣν ἄγουσιν ἔτι νῦν περιφανῶς περὶ [8] τὸν τόπον ἐκεῖνον. ὡς δ' ὤφθη προσφερόμενον τὸ σῶμα, θαυμάσαντες (ὡς εἰκὸς) ἐπὶ τὴν ἀκτὴν κατ-

1 Sic R. de suo correxit vulgatam εἶπεν, cum Diocles loquatur. Solon incipit a verbis ἀλλὰ μήν. Idem W. legendum censet.

2 Turn. V. Bong. ὁ Ἡσίοδος.

3 Petav. ἀπέκτανον.

4 Strabo & alii Δαφνοῦντα appellant, & sic etiam hic legendum putat R. Pro seq. φερόμ. Turn. V. Bong. φορούμενον.

5 Sic Turn. V. & Anon. & dedi, R. & W. probantibus pro vulg. ἀπεχούσῃ. — *ad scopulum paululum ex mari exstantem.*

6 Turn. V. Μολυκρίων; Petav. Μολικρίαν. Palmer. Graec. Antiq. IV. 20. p. 485. corrigit κατὰ τὴν Μολυκρίαν, quod praestare videtur W.

7 R. mavult τῶν Ῥιείων, *sacrorum ad Rhium celebrandorum.* Probat id W.

8 R. susp. οἱ περὶ τ. τ. ἐ. In seq. Petav. προφερόμενον; forte ex Ald. quae vitiose habet προφερόμ.

κατέδραμον, καὶ γνωρίσαντες ἔτι πρόσφατον νεκρὸν [1], ἅπαντα δεύτερα τοῦ ζητεῖν τὸν φόνον ἐποιοῦντο, διὰ τὴν δόξαν τοῦ Ἡσιόδου. καὶ τοῦτο μὲν ταχέως ἔπραξαν, εὑρόντες τοὺς φονεῖς· αὐτούς τε γὰρ κατεπόντισαν ζῶντας, καὶ τὴν οἰκίαν κατέσκαψαν. ἐτάφη δὲ Ἡσίοδος [2] πρὸς τῷ Νεμείῳ, τὸν δὲ τάφον οἱ πολλοὶ τῶν ξένων οὐκ ἴσασιν, ἀλλ' ἀποκέκρυπται ζητούμενος ὑπ' Ὀρχομενίων (ὥς φασι) βουλομένων κατὰ χρησμὸν ἀνελέσθαι τὰ λείψανα, καὶ θάψαι παρ' αὐτοῖς. Εἴπερ οὖν οὕτως ἔχουσιν οἰκείως καὶ φιλανθρώπως πρὸς τοὺς ἀποθανόντας, ἔτι μᾶλλον εἰκός ἐστι τοῖς ζῶσι βοηθεῖν, καὶ μάλιστα κηληθέντας [3] αὐλοῖς, ἤ τισι μέλεσι. τουτὶ γὰρ ἤδη πάντες ἴσμεν, ὅτι μουσικῇ τὰ [4] ζῶα ταῦτα χαίρει καὶ διώκει, καὶ παρανήχεται τοῖς ἐλαυνομένοις πρὸς ᾠδὴν καὶ αὐλὸν ἐν [5] εὐδίᾳ πορείας τερπόμενα. χαίρει δὲ καὶ νήξεσι παίδων, καὶ κολύμβοις ἁμιλλᾶται. διὸ καὶ νόμος ἀδείας ἄγραφός ἐστιν αὐτοῖς. θηρᾷ γὰρ οὐδείς, οὔτε λυμαίνεται, πλὴν ὅταν ἐν δικτύοις γενόμενοι κακουργῶσι περὶ τὴν ἄγραν, πληγαῖς κολάζονται, καθάπερ παῖδες ἁμαρτάνοντες. μέμνημαι [6] δὲ καὶ παρὰ Λεσβίων ἀνδρῶν ἀκούσας σωτηρίαν τινὰ [7] κόρης ὑπὸ δελφῖνος ἐκ θαλάττης γενέσθαι, λεγόμενον ἀκριβῶς. ἀλλ' ὁ Πιττακὸς ἐπιγινώσκει. δίκαιον δ' [8] ἐστὶ περὶ τούτων διελθεῖν.

XX.

1 Turn. V. Bong. τὸν νέκρὸν, quod aliquanto melius cenſet W. Mox Petav. τὸν φθόνον pro τὸν φόνον.

2 Turn. V. Boug. Petav. ὁ Ἡσίοδ.

3 Petav. κοληθέντες; mox cod. innominatus ἤ τι μέλεσι.

4 Pro τὰ Turn. V. Bong. καὶ. Ald. Baſ. & Petav. χαίρειν, διώκειν & παρανήχεσθαι. Hinc Xyl. praemiſſum ὅτι abundare monet, & conturbare ſententiam.

5 abeſt ἐν a Turn. Pro ſeq. πορείας Turn. V. Bong. πορειῶν. W. ſuſp. χορείαις. Mox Petav. ἀδίας pro ἀδείας.

6 Ald. & Baſ. μέμνηται. Xyl. correxit.

7 Poſſe quidem ferri hanc vulgatam, R. monet, ſed uſitatius & planius ei videtur σωτηρίαν κόρης τινὸς.

8 R. ſuſp. γενέσθαι. ἐγὼ μὲν οὖν οὐκ ἔτ' ἀκριβῶς οἶδα. ἀλλ'

XX. Ἔφη τοίνυν ὁ Πιττακὸς ἔνδοξον εἶναι καὶ μνημονευόμενον ὑπὸ πολλῶν τὸν λόγον. χρησμοῦ γὰρ γενομένου τοῖς οἰκίζουσι Λέσβον, ὅταν ἕρματι πλέοντες προστύχωσιν, ὃ καλεῖται Μεσόγειον, τότ' ἐνταῦθα Ποσειδῶνι μὲν ταῦρον, Ἀμφιτρίτῃ δὲ καὶ Νηρηίσι ζῶσαν καθιέναι παρθένον. ὄντων οὖν ἀρχηγετῶν ἑπτὰ καὶ βασιλέων, ὀγδόου δὲ τοῦ Ἐχελάου πυθοχρήστου τῆς ἀποικίας ἡγεμόνος, (οὗτος μὲν ἠίθεος ἦν ἔτι) τῶν δὲ ἑπτὰ κληρουμένων, ὅσοις [1] ἄγαμοι παῖδες ἦσαν, καταλαμβάνει θυγατέρα Σμινθέως ὁ κλῆρος. ἣν ἐσθῆτι καὶ χρυσῷ κοσμήσαντες, ὡς ἐγένοντο κατὰ τὸν τόπον, ἔμελλον εὐξάμενοι καθήσειν [2]. ἔτυχε δέ τις ἐρῶν αὐτῆς τῶν συμπλεόντων, οὐκ ἀγεννὴς, ὡς ἔοικε, νεανίας, οὗ καὶ τὸ ὄνομα διαμνημονεύουσιν Ἔναλον. οὗτος ἀμήχανόν τινα τοῦ βοηθεῖν τῇ παρθένῳ προθυμίαν ἐν τῷ τότε πάθει λαβὼν, παρὰ τὸν καιρὸν ὥρμησε, καὶ περιπλακεὶς ὁμοῦ συγκαθῆκεν [3] ἑαυτὸν εἰς τὴν θάλασσαν. εὐθὺς μὲν οὖν φήμη τις οὐκ ἔχουσα τὸ βέβαιον, ἄλλως δὲ πείθουσα πολλοὺς ἐν τῷ στρατοπέδῳ, διηνέχθη περὶ σωτηρίας αὐτῶν καὶ κομιδῆς. ὑστέρῳ δὲ χρόνῳ τὸν Ἔναλόν φασιν [4] ἐν Λέσβῳ φανῆναι, καὶ λέγειν, ὡς ἐπὶ δελφίνων φορητοὶ διὰ θαλάττης ἐκπέσοιεν [5] ἀβλαβῶς εἰς τὴν ἤπειρον. ἔστι

δ'

ὁ Πιττακὸς ἔτι γινώσκει. δίκαιος δ' ἐστὶ — *oportet igitur eum haec narrare.* W. autem γενέσθαι λεγομένην· ἀλλ' ὁ Πιττακὸς ἐπεὶ γινώσκει ἀκριβῶς, δίκαιός ἐστι κ. τ. λ. Verba ab ἐπιγινώσκει usque ad τοίνυν ὁ Πιττακὸς. absunt a Petav. Ald. Bas.

1 Petav. Ald. Bas. ὅσοι. Hinc ex Turn. & Bong. enotatum exstat ὅσοις. Ald. quoque & Bas. pro seq. θυγατέρα, quod Steph. dedit, Ald. & Bas. & cod. innominatus μητέρα. Ad hanc absurditatem tollendam Xyl. pro matre sororem posuit.

2 Petav. καθίσειν. Mox dedi ἀγεννὴς cum W. pro ἀγενὴς, quod etiam e Petav. exhibetur ἀγεννῆς.

3 Turn. & V. καθῆκεν.

4 Petav. φασὶ τὸν Ἔναλον. Mox pro ἐπὶ Turn. V. Bong. ὑπό.

5 Dedi sic ex Petav. & Xyl. versione probante W. pro vulg. ἐκπέσειεν.

δ' ἄλλα θειότερα τούτων, ἐκπλήττοντα καὶ κηλοῦντα τοὺς πολλοὺς, διηγεῖσθαι, πάντων δὲ πίστιν ἔργον παρασχεῖν. κύματος γὰρ ἠλιβάτου [1] περὶ τὴν νῆσον αἰρομένου, καὶ τῶν ἀνθρώπων ἀπαντῆσαι δεδιότων μόνον θαλάττῃ [2], ἕπεσθαι πολύποδας αὐτῷ πρὸς τὸ ἱερὸν τοῦ Ποσειδῶνος, ὧν τοῦ μεγίστου λίθον κομίζοντος, λαβεῖν τὸν Ἔναλον, καὶ ἀναθεῖναι [3], καὶ τοῦτον Ἔναλον καλοῦμεν [4]. καθόλου δὲ (εἶπεν) εἴ τις [5] εἶδεν (ἢ) διαφορὰν ἀδυνάτου καὶ ἀσυνήθους καὶ παραλόγου καὶ παραδόξου, μάλιστα ἂν, ὦ Χίλων [6], εἴη μήτε πιστεύων, ὡς ἔτυχε, μήτ' ἀπιστῶν, καὶ τὸ Μηδὲν ἄγαν, ὡς σὺ προσέταξας, διαφυλάττων.

XXI. Μετὰ δὲ τοῦτον ὁ Ἀνάχαρσις εἶπεν, ὅτι, τοῦ Θάλεω καλῶς ὑπολαμβάνοντος, ἐν πᾶσιν εἶναι τοῖς κυριωτάτοις μέρεσι. τοῦ κόσμου καὶ μεγίστοις ψυχὴν, ἐκ ἀξιὸν

1 Bas. καὶ pro γάρ. Hinc Xyl. adnotat, καὶ abundare omnino, aut pro γὰρ esse obtrusum. Petav. αἰρουμένου pro αἰρομ.

2 Sic R. distinxit, comma, quod vulgo post δεδιότων est positum, pone θαλάττῃ, promovens, ut sit sensus: *hominibus metuentibus vel ad spectandum solummodo maris aestum procedere.* W. excidisse quaedam suspicatur, sic restituenda: μόνον ἐκβῆναι τῆς θαλάττης, καὶ ἕπεσθαι πολύποδας αὐτῷ.

3 Steph. & Frft. ἀναθῆναι. R. dedit lectionem priorum edd.

4 Sic Steph. dedit, forte, ut W. notat, ex Exempl. Turn. In quo duae sunt lectiones; altera haec: altera τοῦτο ἔτι καλοῦμεν: forte utraque a correctore vulgatae, quam reliqui editi & scripti libri habent τοῦτον εἰ καλοῦμεν. Enotatur sic in ind. Var. ex Ald. Bas. & Petav.

5 Petav. εἴ τι. Particulam ἢ, post εἶδεν sequens, uncis inclusi, ut delendam, nisi supponere malis, aliud fortasse verbum, cum εἶδεν conjungendum, excidisse. R. pro ista voluit ἄν. W. οἶδεν.

6 Dedi sic in Turn. probantibus R. & W. pro vulg. μάλιστα ἂν ὁ Χίλων. In seq. vulgo fuit καὶ μήτε πισ. E R. mente, qui voluit εἴη ὁ μ. π. dedi εἴη; καὶ autem inserui ante τὸ M. ἄ. R. voluit τὸ δὲ M. ἄ. W. delendum quoque censet καὶ, & pro διαφυλάττων legendum διαφυλάττοι.

ἄξιον ἐστι θαυμάζειν, εἰ τὰ κάλλιστα περαίνεται θεοῦ γνώμῃ· ψυχῆς γὰρ [1] ὄργανον τὸ σῶμα, θεοῦ δὲ ἡ ψυχή. καὶ καθάπερ σῶμα πολλὰς μὲν ἐξ αὑτοῦ κινήσεις ἔχει, τὰς δὲ πλείστας καὶ καλλίστας ὑπὸ ψυχῆς, οὕτως αὖ πάλιν ἡ ψυχὴ τὰ μὲν ὑφ' ἑαυτῆς κινουμένη πράττει, τὰ δὲ τῷ θεῷ παρέχει χρωμένῳ κατευθύνειν καὶ τρέπειν ἑαυτήν, ᾗ βούλοιτο, πάντων ὀργάνων εὐπρεπέστατον [2] οὖσα. δεινὸν γάρ, (εἶπεν) εἰ πῦρ μὲν ὄργανόν ἐστι θεοῦ [3], καὶ πνεῦμα, καὶ ὕδωρ, καὶ νέφη, καὶ ὄμβροι, δι' ὧν πολλὰ μὲν σώζει τε καὶ τρέφει, πολλὰ δ' ἀπόλλυσι καὶ ἀναιρεῖ· ζώοις δὲ χρῆται πρὸς οὐδὲν ἁπλῶς (οὐδέπω [4]) τῶν ὑπ' αὐτοῦ γινομένων· ἀλλὰ μᾶλλον εἰκὸς ἐξηρτημένα [5] τῆς τοῦ θεοῦ δυνάμεως ὑπουργεῖν, καὶ συμπαθεῖν ταῖς τοῦ θεοῦ κινήσεσιν, ἢ [6] Σκύθαις τόξα, λύραι δὲ Ἕλλησι καὶ αὐλοὶ συμπαθοῦσιν. ἐπὶ δὲ τούτοις ὁ ποιητὴς Χερσίας ἄλλων τε σωθέντων ἀνελπίστως ἐμέμνητο, καὶ Κυψέλου, τοῦ Περιάνδρου πατρός· ὃν οἱ πεμφθέντες ἀνελεῖν νεογνὸν ὄντα προσομιλήσαντα [7] αὐτοῖς ἀπετράποντο· καὶ πάλιν μετανοήσαντες, ἐζήτουν, καὶ οὐχ εὗρον, εἰς κυψέλην ὑπὸ τῆς μητρὸς ἀποτεθέντα [8]. διὸ καὶ τὸν οἶκον [9] ἐν Δελφοῖς κατεσκεύασεν ὁ Κύψελος, ὥσ-



1 Pro γὰρ Bas. καί.

2 W. probat εὐτρεπέστατον, *habillimum*, *maxime versatile*, *paratissimum*, quod Mez. & R. conjecerunt.

3 abest θεοῦ a Petav. Ald. Bas.

4 οὐδέπω, quod uncis inclusi, R. delendum censet, nec non W. ut forte ortum ex varietate duarum lectionum ἁπλῶς & οὐδαμῶς.

5 Recepi, quod R. legi voluit, & dedit W. ex Mez. & Turn. V. e quibus duobus codd. enotatur quidem ἐξητημένα corrupte. Vulgo ἐξηρτημένων. Xyl. ed. ἐξηρτημένον.

6 V. & Petav. ἤ.

7 R. leg. censet προσγελάσαντα, aut προσμειδιάσαντα. Posterius quoque conjicit W. Cf. Herodot. V. 92. 3.

8 Turn. V. Bong. ἀποσωθέντα.

9 Cf. Plut. de Pythiae oraculis.

ὥσπερ θεοῦ τότε τὸν κλαυθμυρισμὸν ἐπισχόντος, ὅπως διαλάθοι τοὺς ζητοῦντας. καὶ ὁ Πιττακὸς προσαγορεύσας τὸν Περίανδρον· Εὖγε, (ἔφη) Περίανδρε, Χερσίας ἐποίησε μνησθεὶς τοῦ οἴκου. πολλάκις γὰρ ἐβουλόμην ἔρεσθαί σε τὴν αἰτίαν τῶν βατράχων ἐκείνων, τί βούλονται περὶ τὸν πυθμένα τοῦ φοίνικος ἐντετορνευμένοι [1] τοσοῦτοι, καὶ τίνα πρὸς τὸν θεὸν, ἢ τὸν ἀναθέντα, λόγον ἔχουσι. Τοῦ δὲ Περιάνδρου τὸν Χερσίαν ἐρωτᾷν κελεύσαντος, (εἰδέναι γὰρ ἐκεῖνον, καὶ παρεῖναι τῷ Κυψέλῳ καθιεροῦντι τὸν οἶκον) ὁ Χερσίας μειδιάσας· Ἀλλ' οὐκ ἂν (ἔφη) φράσαιμι πρότερον, ἢ πυθέσθαι παρὰ τούτων, ὅ τι βούλεται τὸ Μηδὲν ἄγαν αὐτοῖς, καὶ τὸ Γνῶθι σαυτόν, καὶ τοῦτο δὲ [2], τὸ πολλοὺς μὲν ἀγάμους, πολλοὺς δὲ ἀπίστους [3], ἐνίους δὲ καὶ ἀφώνους πεποιηκὸς, ἐγγύα, πάρα δ' ἄτα. Τί δὲ (εἶπεν ὁ Πιττακὸς) ἡμῶν δέῃ ταῦτα φραζόντων; πάλαι γὰρ Αἰσώπου λόγον εἰς ἕκαστον, ὡς ἔοικε, τούτων συντεθεικότος ἐπαινεῖς. Καὶ ὁ Αἴσωπος· Ὅταν γε παίζῃ πρὸς ἐμὲ Χερσίας, εἶπε [4], σπουδάζων δὲ, τούτων Ὅμηρον εὑρετὴν ἀποδείκνυσι· καί φησι, τὸν μὲν Ἕκτορα γινώσκειν ἑαυτόν. τοῖς γὰρ ἄλλοις ἐπιτιθέμενος·

Αἴαντος [5] ἀλέεινε μάχην Τελαμωνιάδαο.

τὸν δ' Ὀδυσσέα, τοῦ μηδὲν ἄγαν ἐπαινέτην, τῷ Διομήδει παρακελεύεσθαι·

Τυδείδη, μήτ' ἄρ με μάλ' αἴνεε, μήτε τι νείκει.

τὴν

1 Petav. ἐντετορευμένοι.

2 Turn. V. Bong. Anon. pro δὲ exhibent δή. Utrumque, W. judice, suo sensu & hoc loco bonum.

3 Sic est in V. & conjecit Xyl. dedique, probante R. pro vulg. πιστοὺς — *diffidentes*, *suspicaces*, *meticulosas*. Idem W. recepit, consentientibus Anon. & Mez. monens, forte melius esse ἀσπείστους.

4 R. tacite e superioribus repetitum ἐπαινεῖ λόγον ἐμοῦ subaudiendum monet.

5 Hom. Il. XI, 542. Seq. vers. Il. X, 249. Petav. ἄρα με pro ἄρ με.

τὴν δ' ἐγγύην οἱ μὲν ἄλλοι λοιδορεῖν αὐτὸν, ὡς πρᾶγμα δείλαιον καὶ μάταιον, οἴονται, λέγοντα·

Δειλαί [1] τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι.

Χερσίας δὲ ὁ ποιητής φησι τὴν ἄτην ὑπὸ τοῦ Διός ῥιφῆναι [2] τῇ ἐγγύῃ παραγινομένην, ἣν ἐγγυησάμενος ὁ Ζεὺς ἐσφάλη περὶ τῆς τοῦ Ἡρακλέους γενέσεως. ὑπολαβὼν δὲ ὁ Σόλων· Οὐκοῦν (ἔφη) καὶ τῷ σοφωτάτῳ πιστευτέον [3] Ὁμήρῳ·

Νὺξ δ' ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι.

σπείσαντες οὖν Μούσαις καὶ Ποσειδῶνι καὶ Ἀμφιτρίτῃ, διαλύωμεν [4] (εἰ δοκεῖ) τὸ συμπόσιον. τοῦτο ἔσχεν, ὦ Νίκαρχε, πέρας ἡ τότε συνουσία.

1 Hom. Odyff. 8, 351. Pro δειλῶν γε Turn. V. Bong. δειλῶν τε. Pro ἐγγύαι Ald. & Baf. ἐγγύας. Petav. ἐγγυάασθαι.
2 R. quaerit, num ἐκ τοῦ οὐρανοῦ ῥιφῆναι?
3 Petav. πιστευτέον καὶ τῷ σοφωτάτῳ Ὁμ. — il. VII, 293.
4 Petav. διαλύομεν. Pro feq. τοῦτο R. mavult τοιοῦτο.

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΠΕΡΙ
## ΔΕΙΣΙΔΑΙΜΟΝΙΑΣ [1].

Τῆς περὶ θεῶν [2] ἀμαθίας καὶ ἀγνοίας εὐθὺς ἐξ ἀρχῆς δίχα ῥυείσης, τὸ μὲν, ὥσπερ ἐν χωρίοις σκληροῖς, τοῖς ἀντιτύποις ἤθεσι τὴν ἀθεότητα, τὸ δὲ, ὥσπερ ἐν ὑγροῖς, τοῖς ἁπαλοῖς [3] τὴν δεισιδαιμονίαν ἐμπεποίηκεν. ἅπασα μὲν οὖν κρίσις ψευδὴς, ἄλλως τε [4] κἂν ᾖ περὶ ταῦτα μοχθηρὸν, ᾗ δὲ [5] καὶ πάθος πρόσεστι, μοχθηρότερον. πᾶν γὰρ πάθος ἔοικεν ἀπάτη φλεγμαίνουσα εἶναι· καὶ καθάπερ αἱ μετὰ τραύματος ἐκβολαὶ τῶν ἄρθρων [6], οὕτως αἱ μετὰ πάθους διαστροφαὶ τῆς ψυχῆς χαλεπώτεραι. ἀτόμους τις οἴεται καὶ κενὸν ἀρχὰς εἶναι

1 Argumentum hujus libelli in solvenda quaestione versatur, *utrum sit deterius, falsas de diis habere opiniones, an omnino negare deos.*

2 Usitatius dictum fuisse περὶ θεοὺς, monet Matth.

3 Vulgo haec ita leguntur: ἐν χωρίοις τισὶ σκληροῖς καὶ ἀντιτύποις, ἤθεσι — — ὑγροῖς καὶ ἁπαλοῖς. In corrigendo loco W. sum secutus, qui τισὶ delevit cum C. D. E G. Mosq. 1. 2. Venet. & in reliquis ea recepit, quae Xyl. e suo ipse codice ediderat, & verterat. Eundem quoque sequitur Kaltw. — Matth. post τισὶ comma dari voluit, ut σκληροῖς cum reliquis ad ἤθεσι referatur; etiam ὑγροῖς καὶ ἁπαλοῖς de ἤθεσι, non de χωρίοις accepit.

4 τε omittit Mosq. 2.

5 Sic legit Xyl. pro vulg. τῇδε, monens, Jones quidem & poëtas praepositivo articulo uti pro relativo, auctorem autem hoc dicendi genus non fuisse secutum. Voluit simul μοχθηρότατον. MS. ejusdem firmavit ᾗ δὲ (superne τῇ annotato) & μοχθηρότατον. Prius quoque R. probavit, & Matth. recepitque W. consentiente D. In Mosq. 2. τί δὲ, καὶ π. ἧ. Matth. pro ταῦτα maluit τοιαῦτα.

6 Ald. Bas. Mosq. 1. 2. τῶν ἀνθρώπων.

εἶναι τῶν ὅλων; ψευδὴς ἡ ὑπόληψις, ἀλλὰ ἕλκος ἐ ποιεῖ, ἐδὲ σφυγμὸν, ἐδ᾽ ὀδύνην ταράτ]εσαν [1]. ὑπολαμβάνει τις, τὸν πλȣ̃τον ἀγαθὸν εἶναι μέγιςον; τȣ̃το τὸ ψεῦδος ἰὸν ἔχει, νέμεται τὴν ψυχὴν, ἐξίςησιν, ἐκ ἐᾷ καθεύδειν, οἴςρων ἐμπίπλησιν, ὠθεῖ κατὰ τῶν πετρῶν, ἄγχει, τὴν παῤῥησίαν ἀφαιρεῖται. πάλιν, οἴονταί τινες εἶναι σῶμα [2] τὴν ἀρετὴν καὶ τὴν κακίαν; αἰσχρὸν ἴσως τὸ ἀγνόημα [3], θρήνων δὲ καὶ ὀδυρμῶν ἐκ ἄξιον. ἀλλ᾽ αἵτινες [4] εἰσι τοιαῦται κρίσεις καὶ ὑπολήψεις·

Ὦ τλῆμον ἀρετὴ, λόγος ἄρ᾽ ἦσθ᾽, ἐγὼ δέ σε
Ὡς ἔργον ἤσκεν [5].

ἀφεὶς τὴν πλȣτοποιὸν ἀδικίαν, καὶ τὴν γόνιμον ἁπάσης ἡδονῆς ἀκολασίαν· ταύτας ἄξιόν ἐςιν οἰκ]είρειν [6] ὁμȣ̃ καὶ δυσχεραίνειν, ὅτι πολλὰ νοσήματα καὶ πάθη, καθάπερ εὐλὰς καὶ σκώληκας, ἐντίκ]εσι ταῖς ψυχαῖς παρȣ̃σαι.



1 Xyl. ſuſp. ὀδύνην σπαράτ]εσαν.

2 Xyl. ſuſp excidiſſe περὶ. Quorſum hoc ſit referendum, dubius eſt Matth. Equidem Xyl. voluiſſe εἶναι περὶ σῶμα ex ipſius verſione — *corpori adſignant* — colligo. Matth. verti vult *corpora eſſe dicant*, ſecundum ineptam veterum philoſophorum quaeſtionem. Paulo ante pro πετρῶν Moſq. 2. π]ερῶν.

3 In Xyl. MS. ſupra ἀγνόημα annotatum fuit ἐννόημα. Pro ἴσως Matth. mavult ὄντως.

4 Sic R. legi voluit, & firmatur Moſq. 2. dedique cum W. pro vulg. ἄλλαί τινες — *at quae ejusmodi ſunt judicia & opiniones* — Ald. & Baſ. ὑπολείψεις, quod evidens eſſe mendum Xyl. monuit.

5 Senarios hos eſſe Herculis, a Bruto moriente uſurpatos, Xyl. monet. Eosdem ſic legi voluit, quales nunc dantur, adjectis hisce: σὺ δ᾽ ἄρ᾽ ἐδȣ́λευες τύχῃ. Pari modo dedit W. e Grot. Exc. incert. Trag. p. 467. & Dione Caſſ. 47, 49. Vulgo ἄρα ἦθα, ἐγὼ δὲ ὡς ἔργον ἤσκεν — *o miſera virtus, eras ergo merum nomen, ego vero te ut rem veram excolebam.*

6 Moſq. 1. 2. οἰκ]εῖραι. Idem eſt in Ald. & Baſ. Mox Moſq. 2. σκώληκας, & ἐντίκ]εσαι.

II. Οὐκοῦν καὶ περὶ ὧν ὁ λόγος, ἡ μὲν ἀθεότης, κρίσεις οὖσα φαύλη τοῦ μηδὲν εἶναι μακάριον καὶ ἄφθαρτον, εἰς ἀπάθειάν τινα δοκεῖ τῇ ἀπιστίᾳ τοῦ θείου περιφέρειν, καὶ τέλος ἐστὶν αὐτῇ τοῦ μὴ νομίζειν θεοὺς, τὸ μὴ φοβεῖσθαι. τὴν δὲ [1] δεισιδαιμονίαν καὶ μηνύει τοὔνομα, δόξαν ἐμπαθῆ καὶ δέους ποιητικὴν ὑπόληψιν οὖσαν ἐκταπεινοῦντος καὶ συντρίβοντος τὸν ἄνθρωπον, οἰόμενον μὲν [2] εἶναι θεοὺς, εἶναι δὲ λυπηροὺς καὶ βλαβερούς. ἔοικε γὰρ ὁ μὲν ἄθεος ἀκίνητος εἶναι πρὸς τὸ θεῖον· ὁ δὲ δεισιδαίμων κινούμενος, ὡς οὐ προσήκει, διαστρέφεσθαι [3]. ἡ γὰρ ἄγνοια τῷ μὲν ἀπιστίαν τοῦ ὠφελοῦντος ἐμπεποίηκε, τῷ δὲ καὶ δόξαν, ὅτι βλάπτει, προστέθεικεν. ὅθεν ἡ μὲν ἀθεότης λόγος ἐστὶ διεψευσμένος [4]· ἡ δὲ δεισιδαιμονία πάθος ἐκ λόγου ψευδοῦς ἐγγεγενημένον.

III. Αἰσχρὰ μὲν δὴ πάντα τὰ ψυχῆς νοσήματα καὶ πάθη· τὸ δὲ γαῦρον ἐνίοις ὅμως καὶ ὑψηλὸν καὶ διηρμένον ἔνεστιν ὑπὸ κουφότητος, δραστηρίου δὲ ὁρμῆς οὐδὲν (ὡς ἔπος εἰπεῖν) ἀπεστέρηται. ἀλλὰ τοῦτο δὴ καὶ τὸ κοινὸν ἔγκλημα παντὸς πάθους ἐστὶν, ὅτι ταῖς πρακτικαῖς ὁρμαῖς ἐκβιαζόμενα, κατεπείγει [5] καὶ συντείνει τὸν λογισμόν. μόνος δὲ ὁ φόβος, οὐχ ἧττον ὢν τόλμης ἐνδεὴς,

1 δὲ omittit Mosq. 2. Pro praemisso θεοὺς Ald. & Baſ. θεόν.

2 Recepi hoc μὲν e MS. Xyl. & V. probante R. Dedit idem W. adſentientibus D. Anon. Mez. Vulgo οἰόμενόν τ'. Matth. ſic legi mavult ἐκταπεινοῦντος καὶ συντρίβοντος αὐτὸν ἀνθρώπου, οἰομένου τε vel οἰομένου μὲν, hac de cauſa, quia non intelligat, quorſum genitivi ἐκταπ. & συντρίβ. referri poſſint, quodque in iis ſubjectum lateat. At, me judice, commode ad δέους referuntur — timor, qui hominem deprimit & conſternat.

3 ſcil. ἔοικε. Ad τῷ μὲν ſubint. ἀθέῳ; ad τῷ δὲ autem δεισιδαίμονι.

4 Mosq. 2. διαψευσμένος; item mox ἐγγεγενημένου; Mosq. 1. ἐγγεγενημένη.

5 κατεπείγειν noſtro reſpondere *übereilen*, (*urget*, *praecipitat*) Matth. monet; quid autem συντείνει valeat, ſe non capere fatetur. E verſione Xyl. *circumſcribunt*, colligit, συντέμνει

δεὴς, ἢ λογισμȣ̃ [1], ἄπρακτον ἔχει καὶ ἄπορον καὶ ἀμήχανον τὸ ἀλόγιστον· ἢ καὶ [2] δεῖμα καὶ τάρβος αὐτȣ̃ τὸ συνδέον ὁμȣ̃ τὴν ψυχὴν καὶ ταράττον ὠνόμασται. Φόβων δὲ πάντων ἀπρακτότατος καὶ ἀπορώτατος ὁ τῆς δεισιδαιμονίας. ȣ̓ φοβεῖται θάλασσαν ὁ μὴ πλέων, ȣ̓δὲ πόλεμον ὁ μὴ στρατευόμενος, ȣ̓δὲ λῃστὰς ὁ οἰκȣρῶν, ȣ̓δὲ συκοφάντην ὁ πένης, ȣ̓δὲ φθόνον ὁ ἰδιώτης, ȣ̓δὲ σεισμὸν ὁ ἐν Γαλάταις, ȣ̓δὲ κεραυνὸν ὁ ἐν [3] Αἰθίοψιν· ὁ δὲ θεȣ̀ς δεδιὼς, πάντα δέδιε, γῆν, θάλατταν [4], ἀέρα, ȣ̓ρανὸν, σκότος, φῶς, κληδόνα, σιωπὴν, ὄνειρον. οἱ δȣ̃λοι τῶν δεσποτῶν [5] ἐπιλανθάνονται καθεύδοντες, τοῖς πεδήταις ἐπελαφρύνει τὸν δεσμὸν ὁ ὕπνος, φλεγμοναὶ περὶ τραύματα, καὶ νομαὶ σαρκὸς θηριώδεις, καὶ περιωδυνίαι κοιμωμένων ἀφίστανται.

Ὦ φίλον ὕπνȣ θέλγητρον ἐπίκȣρον νόσȣ,
Ὡς ἡδύ μοι προσῆλθες ἐν δέοντί γε [6].

τȣ̃το ȣ̓ δίδωσιν εἰπεῖν ἡ δεισιδαιμονία. μόνη γὰρ ȣ̓ σπένδεται πρὸς τὸν ὕπνον, ȣ̓δὲ τῇ ψυχῇ ποτε γȣ̃ν δίδωσιν ἀναπνεῦσαι καὶ ἀναθαῤῥῆσαι, τὰς πικρὰς καὶ βαρείας περὶ τȣ̃ θεȣ̃ δόξας ἀπωσαμένῃ [7]. ἀλλ' ὥσπερ ἐν ἀσεβῶν

D 5 χώρῳ,

τείνεα in animo habuisse videri, addens, posse etiam conjici συναναιρεῖ, nisi nimis recedat a συντείνει. Meo sensu συντείνειν h. l. synonymon est τȣ̃ κατεπείγειν, rariori fortassis usu. Mosq. 2. συντείνῃ.

1 Xyl. vertit: cum non minus, quam audacia, rationis sit expers — contra sensum loci. Bene correxit W. cum non minus expers audaciae sit quam rationis. Mosq. 1. in seq. ἄπορον ἔχει καὶ ἄπρακτον.

2 Ald. & Bas. ἢ pro ἦ.

3 abest hoc & proxime seq. loco ὁ a Mosq. 2. Pro Γαλάταις Ald. & Bas. γαλάτταις.

4 Pro γῆν, θάλατταν Turn. τὴν θάλασσαν.

5 Ald. Bas Mosq. 1. τῶν δεσποτικῶν. Mox Mosq. 2. πεδίταις.

6 Eurip. Orest. v. 211. 212. Pro ἐπίκȣρον νόσȣ, ὡς Mosq. 2. μεσσὸς; item τε pro γε

7 Sic cum jot. subscr. dari voluit R. e V. ut redeat ad τῇ ψυχῇ. Idem W. dedit, adsentiente Anon. Vulgo ἀπωσαμένη.

χώρῳ [1], τῷ ὕπνῳ τῶν δεισιδαιμόνων, εἴδωλα φρικώδη καὶ τεράσια φάσματα [2], καὶ ποινάς τινας, ἐγείρουσα καὶ στροβοῦσα [3] τὴν ἀθλίαν ψυχὴν, ἐκ τῶν ὕπνων ἐκδιώκει τοῖς ὀνείροις, μαστιζομένην καὶ κολαζομένην αὐτὴν ὑφ' αὑτῆς, ὡς ὑφ' ἑτέρου [4], καὶ δεινὰ προστάγματα καὶ ἀλλόκοτα [5] λαμβάνουσαν. εἶτ' ἐξαναστάντες οὐ κατεφρόνησαν, οὐδ' ἐγέλασαν, οὐδ' ἥθησαν [6], ὅτι τῶν ταραξάντων οὐδὲν ἦν ἀληθινὸν, ἀλλὰ σκιὰν φεύγοντες ἀπάτης οὐδὲν κακὸν ἐχούσης, ὕπαρ [7] ἐξαπατῶσιν ἑαυτοὺς καὶ δαπανῶσι καὶ ταράττουσιν εἰς ἀγύρτας καὶ γόητας ἀνθρώπους ἐμπεσόντες, λέγοντας·

Ἀλλ'

1 accipiendum, Matth. bene monente, de illis locis, quae post mortem improbis, secundum gentilium opinionem, habitanda assignantur.

2 W. sum secutus, recipiendo ex D. & Xyl. MS. φάσματα pro vulg. φαρμακῶν. Tuetur quidem hoc ipsum R. ut sit: *hominum impurorum, incantatorum* — species horrificae & monstrosae, quales in conspectum adducere solent venefici. Vertendum, W. docente: sed, veluti in impiorum apud inferos regione, in somno superstitiosorum, superstitio excitans simulacra terribilia & monstrosa visa, & furias quasdam, excitans ac versans miseram animam somniis somno exturbat. Mosq. 2. φαρμάκων.

3 Sallier. T. III. Hist. Acad. reg. inscript. voluit στρεβλοῦσα; & ἀγείρουσα pro ἐγείρουσα. R. tuetur στροβοῦσα. Hesych. στροβεῖν· θορυβεῖν.

4 elegantius absuisse ὡς ὑφ' ἑτέρου, Matth. censet.

5 Mosq. 2. καὶ ἀλόκοτα; mox id. cum 1. ἐξανιστάντες.

6 Reliqui, quod est in R. editione, & idem legi voluit, ab ἥδεσθαι, *gaudent*, cum Xyl. idem legerit, vertens: *aut delectantur eo*, nec non in Ald. & Bas. detur ἥσθησαν. Steph. Frft. W. & Matth. ἤθησαν. An usitatum hoc ab αἰθάνομαι? seu unde derivandum?

7 Dedi sic, R. probante, e Xyl. MS. pro vulg. ὑπερεξαπατῶσιν. Idem dedit W. re ipsa postulante. Nondum tamen Matth. judice, locus est sanus. Durior ei videtur verborum ordo καὶ δαπ. καὶ ταρ. quem Xyl. ipse mutavit, vertens: *revera sese decipiunt, ac conturbant, sumtusque faciunt.*

Ἀλλ' εἴτ' ἐνύπνιον φάντασμα φοβῇ,
Χθονίας θ' Ἑκάτης κῶμον ἐδέξω [1].

τὴν περιμάκτριαν κάλει γραῦν [2], καὶ βάπτισον σεαυτὸν εἰς θάλασσαν, καὶ καθίσας ἐν τῇ γῇ διημέρευσον.

Ὦ βάρβαρ' ἐξευρόντες Ἕλληνες κακὰ [3].

τῇ δεισιδαιμονίᾳ, πηλώσεις, καταβορβορώσεις [4], σαββατισμοὺς, ῥίψεις ἐπὶ πρόσωπον αἰσχρὰς, προσκαθίσεις [5], ἀλλοκότους προσκυνήσεις. Δικαίῳ τῷ στόματι τοὺς κιθαρῳδοὺς ἐκέλευον ᾄδειν οἱ τὴν νόμιμον μουσικὴν σώζειν δοκοῦντες· ἡμεῖς δὲ τοῖς θεοῖς ἀξιοῦμεν ὀρθῷ τῷ στόματι καὶ δικαίῳ προσεύχεσθαι, καὶ μὴ τὴν ἐπὶ τῶν σπλάγχνων [6] μὲν γλῶτταν, εἰ καθαρὰ καὶ ὀρθὴ, σκοπεῖν, τὴν δὲ αὐτῶν διαστρέφοντας καὶ μολύνοντας, ἀτόποις ὀνόμασι καὶ ῥήμασι βαρβαρικοῖς καταισχύνειν καὶ παρανομεῖν τὸ θεῖον καὶ πάτριον ἀξίωμα τῆς εὐσεβείας. Ἀλλ' ὅγε [7] κωμι-

1 Hos versus sic distinguendo, cum W. secutus sum Xylandrum. W. comici esse Tragicum imitantis suspicatur.

2 Xyl. vertit: vetulam voca, quae pristino adsidet. W. improbat, corrigens *vetulam voca expiatricem.*

3 Sic Ald. Bas. Xyl. Mosq. 1. 2. & restituit R. pro κατὰ, quod in Steph. & Frft. legitur. Idem recepit W. reliquis A. D. Colleg. Nov. Mez. adsentientibus. Versus est Euripidis Troad. 759. Pro βάρβαρ' Mosq. 1. 2. βάρβαρα.

4 Matth. susp. respexisse Plut. ad morem Aegyptiorum & Judaeorum amputandi praeputii, & dedisse πηρώσεις, i. e. ἀκρωτηριασμοὺς, vulgatam saltim videri tautologicam. At W. monet, ne quis πηρώσεις corrigendum putet, addens, recte vertisse Xyl. — *coeno contaminari, desidere in sterquilinio*; utrumque solitum fuisse Barbaris in luctu; at πήλωσιν fuisse Aegyptiorum. Herodot. II, 85. Sallier. tuetur σαββατισμοὺς contra Anglum quendam, qui legi voluit βαπτισμούς.

5 Subaud. monente R πρὸς τοῖς βωμοῖς καὶ ἀνδριᾶσι θεῶν. Ald. Bas. Xyl. A. C. D. E. G. Mosq. 2. προκαθίσεις, quod W. recepit, licet non improbet alteram lectionem.

6 abest μὲν a Mosq. 1. 2. Matth. Xylandrum *in hostia* vertentem pro σπλάγχνων conjecisse susp. σφαγίων. Durior videtur dictio τὴν ἐπὶ τῶν σπλάγχνων γλῶτταν.

7 R. mavult ὁ μὲν κωμικός.

κωμικὸς ἐκ ἀηδῶς εἴρηκέ πε πρὸς τὲς καταχρυσᾶντας τα κλινίδια καὶ καταργυρᾶντας, ὅ τι [1] μόνον ἔδωκαν ἡμῖν οἱ θεοὶ πρoῖκα, τὸν ὕπνον· τί καὶ [2] τᾶτο πολυτελὲς σεαυτῷ ποιεῖς; ἔτι δὲ καὶ πρὸς τὸν δεισιδαίμονα εἰπεῖν, ὅτι [3] τὸν ὕπνον οἱ θεοὶ λήθην κακῶν ἔδοσαν ἡμῖν, καὶ ἀνάπαυσιν, τί τᾶτον [4] κολαςήριον σαυτῷ ποιεῖς ἐπίμονον καὶ ὀδυνηρὸν, τῆς ἀθλίας ψυχῆς εἰς ἄλλον ὕπνον ἀποδράναι μὴ δυναμένης; Ὁ Ἡράκλειτός φησι, τοῖς ἐγρηγορόσιν ἕνα καὶ κοινὸν κόσμον εἶναι, τῶν δὲ κοιμωμένων ἕκαςον εἰς ἴδιον ἀποςρέφεσθαι· τῷ δὲ δεισιδαίμονι κοινὸς ἐδείς ἐςι κόσμος [5]. ἔτε γαρ ἐγρηγορὼς τῷ φρονᾶντι χρῆται, ἔτε κοιμώμενος ἀπαλλάτ]εται τᾶ ταράτ]οντος, ἀλλ' ὀνειρώτ]ει μὲν ὁ λογισμὸς, ἐγρήγορε δὲ ὁ φόβος ἀεὶ, φυγὴ δ' ἐκ ἔςιν, ἐδὲ μετάςασις.

IV. Ἦν φοβερὸς ἐν Σάμῳ Πολυκράτης τύραννος, ἦν ἐν Κορίνθῳ Περίανδρος, ἀλλ' ἐδεὶς ἐφοβεῖτο [6] τέτες μεταςὰς εἰς πόλιν ἐλευθέραν καὶ δημοκρατεμένην· ὁ δὲ τὴν τῶν θεῶν ἀρχὴν ὡς τυραννίδα φοβέμενος σκυθρωπὴν καὶ ἀπαραίτητον, πᾶ μεταςῇ, πᾶ φύγῃ [7], ποίαν

1 Dedi duobus vocabulis e R. mente pro vulg. ὅτι. — *id, quod dii unicum gratis nobis indulgent, somnum puta, quare sumtuosum tibi facis?*

2 abest καὶ a Mosq. 1. 2. Ald. & Bas.

3 R. susp. ὅτε vel ὅπε.

4 Recepi τᾶτον e V. & Turn. probante R. pro vulg. τᾶτο, ut redeat ad ὕπνον. Etiam Mosq. 1. τᾶτον.

5 Mosq. 2. ἐδὲ εἷς ἐ. κ. Mox idem ὀνειρώτ]ῃ. Ut sententia aptius cohaereat, Matth. leg. susp. τῷ δὲ δεισιδαίμονι κοινὸς ἐδεὶς ἐδὲ ἴδιός ἐςι κόσμος: id quod sic explicat: „ mundum κοινὸν non habere videtur ὁ δ. quia dum nondum dormit, ὁ λογισμὸς ejus tamen dormit: Rursus mundum ἴδιον non habere videtur, quia, dum dormire creditur, ὁ φόβος ejus vigilat. Ergo nec dormit nec vigilat, h. e. nec κοινὸν, nec ἴδιον κόσμον habet."

6 Mosq. 2. φοβεῖτο.

7 R. sic ex Bas. restituisse videtur, cum Steph. & Frst. habeant

ποίαν γῆν ἄθεον εὕρῃ, ποίαν θάλασσαν; εἰς τί καταδὺς τοῦ κόσμου μέρος, καὶ ἀποκρύψας σεαυτὸν, ὦ ταλαίπωρε, πιστεύσεις [1], ὅτι τὸν θεὸν ἀποπέφευγας; ἔστι καὶ δούλοις νόμος ἐλευθερίαν ἀπογνοῦσι, πρᾶσιν αἰτεῖσθαι, καὶ δεσπότην μεταβάλλειν [2] ἐπιεικέστερον· ἡ δὲ δεισιδαιμονία θεῶν ἀλλαγὴν οὐ δίδωσιν, οὐδ' ἔστιν εὑρεῖν, ὃν οὐ φοβήσεται θεὸν, ὁ φοβούμενος τοὺς πατρῴους καὶ γενεθλίους, ὁ φρίττων τοὺς σωτῆρας καὶ τοὺς μειλιχίους [3], τρέμων καὶ δεδοικὼς, παρ' ὧν αἰτούμεθα πλοῦτον, εὐπορίαν, ὁμόνοιαν, εἰρήνην, ὄρθωσιν [4] λόγων καὶ ἔργων τῶν ἀρίστων. εἶτα οὗτοι τὸ δουλεύειν ἀτύχημα ἡγοῦνται, καὶ λέγουσι·

Δεινή τις ἀνδρὶ καὶ γυναικὶ συμφορὰ
Δούλους γενέσθαι, δεσπότας [5] τε δυστυχεῖς
Λαβεῖν.

πόσῳ δὲ δεινότερον οἴεσθε (πάσχειν) αὐτοὺς [6], ἀνεκφεύκτους,

beant φυγῇ, quod Matth. & W. retinent. Ald. φῦγῃ. Etiam Mosq. 1. 2. φύγῃ, quod, Matth. monente, idem censendum est ac φύγῃ.

1 Mosq. 1. πιστεύσεις.

2 Turn. μεταλαμβάνειν.

3 τοὺς ante μειλιχ. abest ab Ald. Bas. Mosq. 2. In seq. R. voluit ὁ τρέμων.

4 R. quaerit, num legendum κατόρθωσιν, cum ὄρθωσις simplex non sit in usu. Me judice, non adeo ab omni usu abhorret vox ὄρθωσις, cum legatur apud Suidam in voce ὀρθωσία. At num bene significet id, quod auctor velle videtur, alia est quaestio. Eandem vocem laudat quoque Matth. ex Hermogene.

5 Mosq. 2. δὲ pro τε.

6 Sensum hujus loci saniorem dedisse mihi videor, partim includendo πάσχειν, ut delendo, nisi malis cum λαβεῖν quod omnino ex praemissis subintelligi necesse est, mutare, partim recipiendo αὐτοὺς pro vulgari αὐτοὺς ex W. mente: *quanto gravius putatis, se ipsos accipere dominos infelices, quos non evitare — licet.* Si quis πάσχειν retineri mavult, e W. conjectura leget, πόσῳ δεῖ δεινότερον οἴεσθαι πάσχειν αὐτοὺς (λαβόντας δυστυχεῖς δεσπότας) *quanto eum graviora putemus pati, qui sibi ipse sit dominus infelix, a quo effugere, transfugere, discedere*

κ]ες, ἀναποδρᾶσες, ἀναποςάτες; ἔςι δέλῳ φεύξιμος βωμὸς, ἔςι καὶ λῃςαῖς ἀβέβηλα [1] πολλὰ τῶν ἱερῶν· καὶ [2] πολεμίες φεύγοντες, ἂν ἀγάλματος λάβωνται ἢ ναῦ, θαῤ-

*dere nequeat.* R. fusp. aut πόσῳ δὲ δεινοτέρες οἴεσθε ὑπάρχειν τὲς ἀνεκφεύκ]ες, fcil. δεσπότας, *quanto saeviores existimatis esse dominos illos, quos effugere datum non est*; aut πόσῳ δὲ δεινότερα οἴεσθε πάσχειν τὲς λαβόντας δεσπότας ἀνεκφ. *quanto graviora pati existimabitis eos, quibus domini obtigere, a quibus aufugere non licet.* Hanc posteriorem conjecturam sequitur Kaltw. A. W. in textu nil mutatur. αὐτὲς (vel αὗτες, quod dedi,) abest ab Ald. Baf Xyl. A. C. Colleg. Nov. Mosq. 1. 2. Pro οἴεσθε dari οἴεσθαι, W. adnotat, nullis tamen codicibus memoratis. Exempl. Turn. πόσῳ δεῖ δεινότερον. Matth. fusp. tria vocabula οἴεσθε πάσχειν αὐτὲς delenda esse, a scriba explicandi caufa inserta, ut commode fubintelligatur λαβεῖν δεσπότας. Mosq. 2. pro ἀνεκφ. dat ἀναφεύκ]ες. Bryan. porro pro ἀναποςάτες reponi voluit ἀνυποςάτες (ad vit. Plut. T. II. p. 567. 1.) at, W. judice, nec necessarium est, nec salutare. Matth. in textu habet ἀνυποςάτες, fed corrigendum monet & legendum ἀναπος. Coll. Nov. ἀναποσπάςες.

1 R. docente, fignificantur templa impuris hominibus & profanis pura, quorum aditu tales homines excluduntur; — quasi ἱερὰ λῃςαῖς ἄβατα, *templa, quorum communione latrones, ut impuri, arcentur.* Mosq. 2. pro ἱερῶν habet ἰατρῶν. Matth. e loci totius nexu, & inprimis vocabulis φεύξιμοι & θαῤῥέσιν, nec non ex opposita sententia de fuperstitioforum continuo timore, hujusmodi in his verbis mentem latere colligit: *funt & templa nonnulla, quae tanta fanctitate coluntur, ut & latrones, qui in ea se receperint, a poena & perfequentibus tuti esse possint.* Cum autem vox ἀβέβηλα hanc explicationem non admittat, cogitavit de ἀβλαβῆ. Sic Kaltw. vertit: es giebt viele Tempel, *wo selbst Räuber Sicherheit finden.* Quid? fi legas ἐδὲ λῃςαῖς ἀβέβηλα, vel λῃςαῖς ἐκ ἀβέβηλα — *multa funt templa, quae adire ne latronibus quidem nefas est.* (Suid. ἀβέβηλα· τὰ μὴ βάσιμα χωρία; βέβηλα τὰ μὴ ὅσια, μηδὲ ἱερὰ, παντὶ δὲ βάσιμα. Cf. quoque nota ad vocem βέβηλον Hefych.) Sic quidem exit fenfus, loco congruus, & ipsa vox ad fingularem de facris ufum relata, a Plutarcho bene ufurpata videtur.

2 R. mavult καὶ οἱ πολ. φεύγ.

θαῤῥοῦσιν· ὁ δὲ δεισιδαίμων ταῦτα μάλιστα φρίττει καὶ φοβεῖται καὶ δέδοικεν, ἐν οἷς οἱ φοβούμενοι τὰ δεινότατα τὰς ἐλπίδας ἔχουσι. μὴ ἀπόσπα [1] τὸν δεισιδαίμονα τῶν ἱερῶν· ἐνταῦθα κολάζεται καὶ τιμωρεῖται. τί δεῖ μακρὰ λέγειν; πέρας ἐστὶ τοῦ βίου [2] πᾶσιν ἀνθρώποις ὁ θάνατος· τῆς δὲ [3] δεισιδαιμονίας, οὐδ' οὗτος· ἀλλ' ὑπερβάλλει τοὺς ὅρους ἐπέκεινα τοῦ ζῆν, μακρότερον τοῦ βίου ποιοῦσα τὸν φόβον, καὶ συνάπτουσα τῷ θανάτῳ κακῶν ἐπίνοιαν ἀθανάτων· καὶ ὅτε παύεται πραγμάτων, ἄρχεσθαι [4] δοκοῦσα μὴ παυομένων. ᾅδου τινὲς [5] ἀνοίγονται πύλαι βαθεῖαι, καὶ ποταμοὶ πυρὸς ὁμοῦ καὶ στυγὸς ἀποῤῥῶγες ἀναπετάννυνται [6]. καὶ σκότος ἐφήπλωται [7] πολυφάντασον, εἰδώλων τινῶν χαλεπὰς μὲν [8] ὄψεις, οἰκτρὰς δὲ ἐπιφερόντων, δικασταὶ δὲ καὶ κολασταὶ, καὶ χάσματα καὶ μυχοὶ, κακῶν μυρίων γέμοντες. οὕτως ἡ κακοδαίμων δεισιδαιμονία, καὶ ὃ τῷ μὴ παθεῖν ἐκπέφευγεν, ἀφύλακτον τῷ προσδοκᾶν αὐτῇ πεποίηκε [9].

V.

1 Dedi, quod R. probavit, & Xyl. vertit, e V. pro vulg. ἀποσπᾶν; licet in hoc infinitivo subaudiri possit δεῖ vel χρὴ, & saepe infinitivus nudus loco imperativi ponatur. W. idem dedit, adsentiente D. & Anon. Suspicatur Matth. μὴ ἀπόσπα ἄν. Pro τῶν ἱερῶν Mosq. 2. τῶν ἱερέων.

2 R. vitiose τῶν βίων. Restitui τοῦ.

3 Ald. & Bas. τοῖς δὲ δεισ.

4 Mosq. 2. ἄρχεται.

5 W. ad hunc locum haec notat: „grandia verba, non tamen ex aliquo poëtae loco sumta, sed quae Auctor suo ipse ingenio ad argumenti gravitatem accommodavit." Pro τινὲς Ald. Bas. Xyl. A. C. E. Colleg. Nov. Mosq. 1. 2. & Joh. Damasc. τινὸς. Mosq. 2. porro ἀνοίγωνται.

6 Maxim. Anton. & Joh. Damasc. qui locum hunc retulerunt, ἀνακεράννυνται.

7 Ald. Bas. Xyl. A. C. E. Colleg. Nov. Max. Anton. item Damasc. Mosq. 1. 2. ἐμπίπλαται.

8 Ald. Bas. Mosq. 1. 2. εἰδώλων μὲν χαλεπὰς ὄψ.

9 Locus hic vulgo sic extat: οὕτως ἡ κ. δ. καὶ θεῷ τὸ μὴ παθεῖν

V. Τούτων οὐδὲν τῇ ἀθεότητι πρόσεστιν· ἀλλ' ἡ μὲν ἄγνοια χαλεπὴ, καὶ τὸ παρορᾶν, καὶ τυφλώττειν περὶ τηλικαῦτα, συμφορὰ μεγάλη [1] ψυχῆς, ὥσπερ ὀμμάτων πολλῶν τὸ φανώτατον καὶ κυριώτατον ἀπεσβεσμένης, τὴν τοῦ θεοῦ νόησιν· ταύτῃ δὲ τὸ ἐμπαθὲς [2], (ὥσπερ εἴρηται) καὶ ἑλκῶδες, καὶ ταρακτικὸν, καὶ καταδε-

θεῖν ἐκπέφευγεν, ἀφύλακτῳ προσδοκᾷν αὐτῇ πεποίηκε. Xyl. jam annotavit, haec verba nullam gignere sententiam, & id, quod nunc dedi, est suspicatus, a W. probatum, & a vulgato textu haud ita multum discrepans. Unum hoc observo, plerumque Xylandri conjecturam sic exhiberi, ut etiam pro οὔτως voluisse videatur ὄντως. At in edit. versionis Basil. 1572. perspicue datur οὔτως, quod in aliis male datur ὄντως. E scripto hanc, a librario haud dubie corruptae lectionis explicandae causae profectam, exhibet lectionem οὔτ. ἡ, κακ. δεισ. τῇ περιττῇ πρὸς ἅπαν τὸ δεινὸν δοκοῦν εὐλαβείᾳ λανθάνει ἑαυτὴν ὑποβάλλουσα παντοίοις δεινοῖς; in margine adscripta fuit vulgata. R. susp. κἂν θεὸν, τὸ μὴ (voluisse videtur τῷ μὴ) παθεῖν, ἐκπέφευγεν, ἀφύλακτον τῷ προσδοκᾷν αὐτὴ ἑαυτῇ πεποίηκε, *etiamsi deum effugiat, ut ab eo mali nihil patiatur, perpetua tamen poenarum exspectatione ipsa sibi eum peperit deum, quem cavere & effugere nequeat.* Matth. susp. καὶ διὰ τοῦ μὴ παθεῖν, ἃ πέφευγεν, ἀφύλακτα (i. e. ἄφυκτα) προσδοκᾷν αὐτῇ πεποίηκε — *ita misera superstitio prae metu, etiam, ne patiatur, quae fugere solet, fecit, ut inevitanda* (mala) *expectet* (& timeat). Kaltw. vertit: *und so macht der unselige Aberglaube dasjenige, dem man würde entgangen seyn, ohne es zu leiden, durch die Erwartung sich selbst unvermeidlich.* Pro τὸ μὴ παθεῖν Mosq. 1. 2. τῷ μ. π. & pro προσδοκᾷν Mosq. 2. προσδοκῶν. Cum vulgata lectione fere omnes codices consentire, W. notat, excepto D. Venet. Pol. Jannot. in quibus legitur, quod e Xyl. MS. jam allatum est. Utramque lectionem Venet. & Mez. jungunt.

1 Mosq. 2. συμφορᾷ μεγάλης; mox uterque Mosq. ἀπεσβεσμένη cum Ald. & Bas.

2 Dedi articulum, quem R. & Matth. voluerunt, & W. recepit ex D. & Jannot. Pro ταύτῃ δὲ R. susp. πάλιν δὲ — *rursus vero, ex altera parte.* Ald. Bas. Xyl. A. C. Colleg. Nov. Mosq. 1. 2. τὸ δὲ ἐμπαθὲς, absque ταύτῃ.

παδεδελωμένον, εὐθὺς πρόσεσι [1] τῇ δόξῃ. μεσικὴν [2] φησιν ὁ Πλάτων, ἐμμελείας καὶ εὐρυθμίας δημιεργὸν, ἀνθρώποις ὑπὸ θεῶν ἐ τρυφῆς ἕνεκα καὶ κνήσεως ὤτων δοθῆναι, ἀλλὰ τὸ τῶν τῆς ψυχῆς [3] περιόδων καὶ ἁρμονιῶν ταραχῶδες καὶ πεπλανημένον ἐν σώματι, μέσης τε καὶ χάριτος ἐνδείᾳ πολλαχῇ δι' ἀκολασίαν καὶ πλημμέλειαν ἐξυβρίζον, αὖθις εἰς τάξιν ἀνελίττεσαν οἰκείως καὶ περιάγεσαν παρεῖναι [4].

"Οσα γὰρ [5] μὴ πεφίληκε
Ζεὺς (ἔφη Πίνδαρος) ἀτύζονται βοὰν
Πιερίδων ἀΐοντα.

καὶ γὰρ διαγριαίνεται καὶ ἀγανακτεῖ· καὶ τὰς τίγρις φασὶ περιτυμπανιζομένας ἐκμαίνεσθαι καὶ ταράττεσθαι, καὶ τέλος αὐτὰς διασπᾶν. ἔλαττον ἐν κακὸν, οἷς διὰ κωφότητα καὶ πήρωσιν ἀκοῆς ἀπάθεια πρὸς μεσικὴν καὶ ἀναισθησία συμβέβηκεν. ὁ Τειρεσίας ἐχρῆτο δυστυχίᾳ, μὴ βλέπων τὰ τέκνα, μηδὲ τὲς συνήθεις· ὁ δ' Ἀθάμας μείζονι, καὶ ἡ Ἀγαύη, βλέποντες ὡς λέοντας καὶ ἐλάφες. καὶ τῷ Ἡρακλεῖ δήπε μανέντι τὲς υἱεῖς ἐλυσιτέλει μήτ' ἰδεῖν, μήτ' αἰσθέσθαι παρόντας [6], ἢ χρῆσθαι τοῖς φιλτάτοις ὡς πολεμίοις.

VI.

1 Steph. & rell. edd. ἐ πρόσεσι, quod habent Exempl. Turn. Pol. Leonic. Schott. Anon. At delevi cum W. auctoritate Ald. Baſ. Xyl. A. C. D. D. G. Mosq. 1. 2. Colleg. Nov. ut ſententia redeat ad *ſuperſtitionem*.

2 Mosq. 1. μεσικὴ φησιν.

3 Mosq. 1. omittit τῆς cum Ald. & Baſ. In margine MS. Xyl. ἀλλὰ τὸ τὸν ψυχῆς, in textu ἀλλ' ὥςε τὸν. Mox Mosq. 2. ἐξυβρίζων. Locus eſt ex Timaeo Platonis.

4 MS. Xyl. καθιςᾶν in textu, παρεῖναι in margine.

5 Ald. Baſ. Mosq. 1. 2. δὲ pro γάρ; Mosq. 2. φίληκε pro πεφίλ. item βὰν κερδῶν ἀεὶ ὄντα. Cf. Pind. Pyth. Od. I. v. 25. Mox Mosq 2. τί γράφεις φησὶ pro τίγρις φασι. Ald. & Baſ. τίγρυς; Mosq. 1. αὐτὸς pro αὐτὰς; κωφότητα pro κωφότητα; Mosq. 2. διαπᾶν pro διασπᾶν.

6 Subintell. μᾶλλον, R. monente. Mosq. 2. ἔσεσθαι pro αἰσθ.

VI. Τί ὖν; ὐ δοκεῖ σοι καὶ τὸ τῶν ἀθέων πρὸς τὺς δεισιδαίμονας πάθος ἔχειν τοιαύτην διαφορὰν; οἱ μὲν ὖν ὐχ ὁρῶσι τὺς θεὺς τοπαράπαν, οἱ δὲ [1] ὑπάρχειν νομίζυσιν· οἱ μὲν παρορῶσιν, οἱ δὲ δοξάζυσι φοβερὸν τὸ εὐμενὲς, καὶ τυραννικὸν τὸ πατρικὸν, καὶ βλαβερὸν τὸ κηδεμονικὸν, καὶ τὸ ἀμήνιτον [2] ἄγριον εἶναι καὶ θηριῶδες. εἶτα χαλκοτύποις μὲν [3] πείθονται καὶ λιθοξόοις καὶ κηροπλάσαις, ἀνθρωπόμορφα τῶν θεῶν τὰ σώματα εἶναι, καὶ τοιαῦτα πλάττυσι καὶ κατασκευάζυσι καὶ προσκυνῦσι· φιλοσόφων δὲ καὶ πολιτικῶν ἀνδρῶν καταφρονῦσιν, ἀποδεικνύντων τὴν τῦ θεῦ σεμνότητα μετὰ χρηστότητος καὶ μεγαλοφροσύνης, καὶ εὐμενείας [4] καὶ κηδεμονίας. περίεστιν ὖν τοῖς μὲν ἀναισθησία καὶ ἀπιστία τῶν ὠφελύντων καλῶν [5], τοῖς δὲ ταραχὴ καὶ φόβος πρὸς τὰ ὠφελῦντα. καὶ ὅλως ἡ μὲν ἀθεότης ἀπάθεια πρὸς τὸ θεῖόν ἐστι, μὴ νοῦσα τὸ ἀγαθόν· ἡ δὲ δεισιδαιμονία, πολυπάθεια κακὸν τὸ ἀγαθὸν ὑπονοῦσα· φοβῦνται τὺς θεὺς, καὶ καταφεύγυσιν ἐπὶ τὺς θεύς· κολακεύυσι, καὶ

1 Post haec W. recepit ex D. κακύς. R. susp. οἱ δὲ ἄλλυς (vel ἀλλοίυς vel ὐ τοιύτυς) ὑπάρχειν, *hi vero existimant, deos esse non tales, quales reapse sunt, sed diversi generis.* Matth. ante ὑπάρχειν excidisse conjicit οἵυς ὐ χρὴ, vel ὐχ οἵυς χρὴ sive δεῖ; etiam κακύς, κακοποιύς, κακωτικύς, nisi haec ob ea, quae sequuntur, tautologiam efficerent. Pro seq. οἱ μὲν Mosq. 2. οἱ δὲ.

2 Recepi hanc vocem, Mez. R. & W. probantibus, e corrupta lectione Vulcobiana ἀμίνητον, pro vulg. ἄμικτον — *simultatis injuriarum acceptarum memoris expers.* Ald. Bas. Mosq. 2. ἀμίμητον; idem in margine MS. Xyl. at in textu ἄμικτον. Matth. susp. εὐεπίμικτον. Sallier. post ἄμικτον adjungi voluit τὸ ἥμερον; aut legi τὸ μὴ ἄμικτον, aut τὸ ἄμικτον mutari in τὸ μαλίχιον.

3 abest μὲν ab Ald. Bas. Mosq. 1. 2. Pro λιθοξόοις Mosq. 2. λιξόοις.

4 Sic e MS. reponendum censuit Xyl. dedique cum W. adsentiente D. Idem voluit R. aut μεγαλοφροσύνην μετ' εὐνοίας κ. κηδ. Vulgo μετὰ βίας.

5 Mosq. 1. 2. κακῶν. Mox Mosq. 2. κακόν τε ἀγαθόν.

καὶ λοιδορῦσιν· εὔχονται, καὶ καταμέμφονται. κοινὸν ἀνθρώπων τὸ μὴ πάντα διευτυχεῖν. Κεῖνοι [1] γάρ· ἄνοσοι καὶ ἀγήραοι, πόνων τε ἄπειροι, βαρυβόαν πορθμὸν πεφευγότες [2] Ἀχέροντος, ὁ Πίνδαρος θεὺς φησι· τὰ δ' ἀνθρώπινα πάθη καὶ πράγματα μέμικται συντυχίαις ἄλλοτε ἄλλως ῥεύσαις·

VII. Φέρε δὴ πρῶτον ἐν τοῖς ἀβυλήτοις σκόπει τὸν ἄθεον [3], καὶ καταμάνθανε τὴν διάθεσιν, ἐὰν ᾖ τἄλλα μέτριος, χρωμένυ σιωπῇ τοῖς παρῦσι, καὶ πορίζοντος αὐτῷ βοηθείας καὶ παρηγορίας. ἂν δὲ δυσφορῇ καὶ βαρυπαθῇ, πάντας [4] ἐπὶ τὴν τύχην καὶ τὸ αὐτόματον ἀπερειδομένυ τὺς ὀδυρμὺς, καὶ βοῶντος, ὡς ὐδὲν κατὰ δίκην, ὐδ' ἐκ προνοίας, ἀλλὰ πάντα συγκεχυμένως καὶ ἀκρίτως φέρεται, καὶ σπαθᾶται [5] τὰ τῶν ἀνθρώπων. τῦ δὲ δεισιδαίμονος ὐχ ὕτος ὁ τρόπος, ἀλλ' εἰ καὶ [6] μι-



1 Ald. Bas. κἀκεῖνοι. In MS. Xyl. superpositum fuit κεῖνοι, quod praetulit Xyl. deditque Steph.

2 Xyl. maluit πεφευγότας propter vocem θεὺς, in suo scripto omissam, & a correctore supra notatam. Hanc ipsam Matth. abesse mavult, aut legi περὶ θεῶν. Locus Pindari est e prima Pythiorum.

3 Matth. legendum censet σκόπει καὶ καταμάνθανε τὴν διάθεσιν τῦ ἀθέυ, ut sit, quo genitivi participiorum sequentium referantur. Idem μέτριος, quod sequitur, accipiendum monet de homine mediocris fortunae & conditionis, qui nec inopia laborat nec divitiis abundat.

4 Mosq. 2. δυσφορεῖ καὶ βαρυπαθεῖ; Turn. V. Bong. πάντως. Mox Turn. ἀλλ' ἅπαντα; idem Mosq. 1. 2.

5 Xyl. MS. φέρεται καὶ πράττεται; in margine autem σπαθᾶται, quod praetulit. (Haec ita e Xylandro enotari solent, quasi idem in ulla editione legisset πράττεται, pro quo bene receperit σπαθ. at ubique legitur σπαθᾶται; & id Xylandrum noluisse indicare, apparet ex ejus nota in edit. Bas. ubi post *scriptus* comma datur, non quod vulgo affertur *scriptus in margine*.) τῶν post seq. τὰ omittunt Ald. Bas. Mosq. 2.

6 Legit sic Xyl. e scripto. Ald. & Bas. ἀλλὰ μικρ. omissis εἰ καὶ; idem Mosq. 2. In Mosq. 1. autem pro εἰ καὶ a manu secunda insertum ὐδὲ.

κρότατον αὐτῷ κακὸν τὸ συμπεπτωκός ἐστιν, ἄλλα [1] κάθηται πάθη χαλεπὰ καὶ μεγάλα καὶ δυσαπάλλακτα τῇ λύπῃ προσοικοδομῶν, καὶ προσεμφορῶν αὐτῷ δείματα [2] καὶ φόβους, καὶ ὑποψίας καὶ ταραχὰς, παντὶ θρήνῳ καὶ παντὶ στεναγμῷ καθαπτόμενος [3]. οὔτε γὰρ ἄνθρωπον [4], οὔτε τύχην, οὔτε καιρὸν, οὔθ' αὐτὸν, ἀλλὰ πάντων τὸν θεὸν αἰτιᾶται, κἀκεῖθεν ἐπ' αὐτὸν ἥκειν [5] καὶ φέρεσθαι ῥεῦμα δαιμόνιον ἄτης φησὶ, καὶ, ὡς [6] οὐ δυστυχὴς ὢν, ἀλλὰ θεομισής τις ἄνθρωπος, ὑπὸ τῶν θεῶν κολάζεσθαι, καὶ δίκην διδόναι, καὶ πάντα πάσχειν προσηκόντως δι' αὐτὸν οἴεται [7]. νοσῶν τε ὁ ἄθεος ἐκλογίζεται καὶ ἀναμιμνήσκεται πλησμονὰς αὐτοῦ, καὶ οἰνώσεις, καὶ ἀταξίας περὶ δίαιταν, ἢ κόπους [8] ὑπερβάλλοντας, ἢ μετα-

1 Ald. Baſ. Mosq. 1. 2. ἀλλά. Hinc R. idem deleri voluit, aut cum χαμαὶ mutari. At non opus eſt correctione, ſi ἄλλα legas, quod jam Xyl. legit, vertens: *alios ſibi difficiles affectus.* Bene W. interpretatur: *ſedet otioſus, alias calamitates ad triſtitiam ſuam adjungens.*

2 R. cum Frſt. δείγματα. Reſtitui lectionem edd. priorum, firmatam Mosq. 1. 2. Eandem voluit dari Matth. aut δήγματα.

3 R. voluit aut καταδαπτόμενος, aut ἑαυτῷ καθαπτόμενος. W. παντὸς θρήνῳ καὶ παντὸς στεναγμῷ καθαπτόμενος, *nil non cum ploratu accipiens, nil non cum gemitu.*

4 Dedi ſic ex Ald. & Baſ. pro vulg. ἀνθρώπων. Idem W. recepit, adſentientibus Xyl. Colleg. Nov. A. C. D. Vitioſe Mosq. 2. ἄνθρωπων.

5 Ald. Baſ. ἥκει καὶ φέρεσθαι.

6 abeſt ὡς ab Ald. Baſ. Mosq. 1. 2.

7 W. ſum ſecutus, qui ſic dedit ex D. pro vulg. δι' αὐτὸν τὸν νοῦν. Xyl. notat, a ſcripti textu τὸν νοῦν abfuiſſe, notatum autem in margine pro varia lectione. R. legi voluit aut δι' αὐτῶν τὸ μῖσος, aut δι' αὐτῶν τὸ μισεῖν, aut δι' αὐτόν, *propter ſemetipſum*, absque τὸν νοῦν. Matth. locum emendari poſſe putavit, ſi omiſſis ab initio καὶ ὡς, & in fine τὸν νοῦν, pro δι' αὐτὸν legeretur δοκῶν. Pro ſeq. νοσῶν τε R. maluit νοσῶν μὲν ὁ ἄ.

8 Mosq. 2. σκόπους.

μεταβολὰς ἀέρων ἀήθεις καὶ ἀτόπους [1], ἔπειτα προσκρούσας ἐν πολιτείαις, καὶ περιπεσὼν ἀδοξίαις πρὸς ὄχλον, ἢ διαβολαῖς πρὸς ἡγεμόνα, τὴν αἰτίαν ἐξ αὑτοῦ καὶ τῶν περὶ αὑτὸν ἀνασκοπεῖ [2].

Πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη; τῷ δὲ δεισιδαίμονι καὶ σώματος ἀῤῥωστία πᾶσα, καὶ χρημάτων ἀποβολὴ, καὶ τέκνων θάνατοι, καὶ περὶ πολιτικὰς πράξεις δυσημερίαι καὶ ἀποτεύξεις, πληγαὶ θεοῦ καὶ προσβολαὶ δαίμονος λέγονται. ὅθεν οὐδὲ τολμᾷ βοηθεῖν, οὐδὲ διαλύειν τὸ συμβεβηκὸς, οὐδὲ θεραπεύειν, οὐδ' ἀντιτάττεσθαι, μὴ δόξῃ θεομαχεῖν καὶ ἀντιτείνειν κολαζόμενος· ἀλλ' ὠθεῖται μὲν ἔξω νοσοῦντος ὁ ἰατρὸς, ἀποκλείεται δὲ πενθοῦντος ὁ νουθετῶν καὶ παραμυθούμενος φιλόσοφος. Ἔα με, (φησὶν) ἄνθρωπε, διδόναι δίκην, τὸν ἀσεβῆ, τὸν ἐπάρατον, τὸν θεοῖς καὶ δαίμοσι μεμισημένον. ἔστιν ἀνθρώπου μὴ πεπεισμένου [3] θεὸν εἶναι, λυπουμένου δ' ἄλλως καὶ περιπαθοῦντος, ἀπομάξαι [4] δάκρυον, ἀποκεῖραι κόμην [5], ἀφελέσθαι τὰ ἱμάτιον· τὸν δὲ δεισιδαίμονα πῶς ἂν προσείποις; ἢ πῆ βοηθήσοις [6]; ἔξω κάθηται σακκίον ἔχων, ἢ περιεζωσμένος ῥάκεσι ῥυπαροῖς· πολλάκις δὲ γυμνὸς ἐν πηλῷ καλινδούμενος, ἐξαγο-



1 Xyl. maluit & vertit καὶ τόπων, quod fuit in sui codicis textu, notata in margine vulgata lectione. Mosq. 2. ante ἀήθεις addit καὶ.

2 Mosq. 2. σκοπεῖ. Idem pro seq. πῆ dat τί; δὲ ἄρ' pro δέον; περιπολιταὶ pro περὶ πολιτικὰς; ὠθεῖ pro ὠθεῖται; νομαθετῶν pro νουθετῶν; & omittit τὸν ante θεοῖς.

3 Sic Xyl. MS. legique voluit R. & dedi cum W. adsentiente D. Vulgo πεπαραμένου. De utroque vocabulo, an sanum sit, Matth. dubitat. Etiam W. in tota hac enunciatione aliquid desiderat. Mosq. 2. pro θεὸν habet θεοὺς.

4 Fabri ἀποστάξαι pro ἀπομάξαι non probat W.

5 quam in luctu alebant. Per ἱμάτιον intelligas squalidum & luctuosum.

6 Mosq. 2. πῆ. Mosq. 1. 2. βοηθήσαις. Pro ἔξω Turn. & Mosq. 1. ἔξωθεν. Mox Mosq. 2. κυλινδούμενος.

αγορεύει τινὰς ἁμαρτίας αὑτȣ̃ καὶ πλημμελείας, ὡς τόδε [1] φαγόντος, ἢ πιόντος, ἢ βαδίσαντος ὁδὸν, ἣν ȣ̓κ εἴα τὸ δαιμόνιον. ἂν δ' ἄριϛα πράτῃ, καὶ συνῇ πράῳ [2] δεισιδαιμονίᾳ, περιθυόμενος οἴκοι κάθηται καὶ [3] περιματτόμενος· αἱ δὲ γρᾶες [4], καθάπερ πατ]άλῳ, (φησὶν ὁ Βίων) ὅ τι ἂν τύχωσιν, αὐτῷ περιάπ]ȣσι φέρȣσαι καὶ περιαρτῶσι.

VII. Τὸν Τηρίβαζον [5] φασὶν, ὑπὸ τῶν Περσῶν συλλαμβανόμενον, σπάσασθαί τε τὸν ἀκινάκην, εὔρωϛον ὄντα, καὶ διαμάχεσθαι· μαρτυρομένων δὲ, καὶ βοώντων, ὅτι συλλαμβάνȣσιν αὐτὸν, βασιλέως κελεύσαντος, αὐτίκα τὸ ξίφος καταβαλεῖν [6], καὶ τὼ χεῖρε συνδῆσαι παρασχεῖν. ἆρ' ȣ̃ν ȣ̓χ ὅμοιόν ἐϛι τὸ γινόμενον; οἱ μὲν ἄλλοι διαμάχονται συμφοραῖς [7], καὶ διωθȣ̃νται τὰ πράγματα, φυγὰς ἑαυτοῖς [8] μηχανώμενοι, καὶ παρατροπὰς τῶν ἀβȣλήτων. ὁ δὲ δεισιδαίμων, ȣ̓θενὸς [9] ἀκȣ́σας, αὐτὸς

1 R. fusp. ὡς τόδε καὶ τόδε φ.

2 R. mavult πρᾳείᾳ, cum πρᾷως non sit generis communis.

3 Hoc καὶ, quod facile ob finalem syllabam vocabuli κάθηται excidere potuit, ex R. mente haud dubitavi inferere. Loco περιθυόμενος Matth. monet conjici posse περικυκλȣ́μενος; in fine autem hoc ei ipsi displicet.

4 Mosq. 2. οἱ δὲ γραεῖς. Baf. αἱ γὰρ γρᾶες. Ante φησὶν Matth. excidisse suspicatur ὡς.

5 Mosq. 2. Τηρίβηζον. R. fusp. respicere Plutarchum ad casum, quem Diod. Sic. XV. 8. Tom. II. p. 10. 16. narrat.

6 Dedi sic e R. conjectura pro vulg. μεταβαλεῖν. Idem recepit W. ex D. & codice Xyl. (Ex eo quidem a Xylandro nihil annotatum lego; at ex ejus versione — *abjecto ense*, — ipse legisse videtur καταβ.) Matth. omissis τὸ ξίφος, retineri posse censet μεταβαλεῖν, & accipi quasi *mutatum esse*, *animum abjecisse*. Sallier. fusp. ἀποβαλεῖν. Turn. post seq. συνδῆσαι inserit καί.

7 Matth. mavult ταῖς συμφ.

8 Mosq 2. ἑαυτȣ̀ς. Matth. monente, φυγὴ h. l. est καταφυγὴ, ἔκφευξις.

9 Mosq. 2. ȣ̓θὲν; mox idem ὦ κακοδαίμων, nec non Μήδας; & Μεσηνίων.

τὸς πρὸς αὐτὸν εἰπών· Ταῦτα πάσχεις, ὦ κακόδαιμον, ἐκ προνοίας καὶ θεοῦ κελεύοντος· ἔῤῥιψε πᾶσαν ἐλπίδα, προήκατο ἑαυτὸν, ἔφυγε, διεκρέσατο τοὺς βοηθοῦντας. Πολλὰ τῶν μετρίων κακῶν ὀλέθρια ποιοῦσιν αἱ δεισιδαιμονίαι. Μίδας ὁ παλαιὸς, (ὡς ἔοικεν) ἔκ τινων ἐνυπνίων ἀθυμῶν καὶ ταραττόμενος, οὕτως κακῶς ἔσχε τὴν ψυχὴν, ὥστε ἑκουσίως ἀποθανεῖν, αἷμα ταύρου πιών. ὁ δὲ τῶν Μεσσηνίων βασιλεὺς, Ἀριστόδημος, ἐν τῷ πρὸς Λακεδαιμονίους [1] πολέμῳ, κυνῶν λύκοις ὠρυομένων [2] ὅμοια, καὶ περὶ τὴν ἑστίαν αὐτοῦ τὴν πατρῴαν ἀγρώστεως ἀναβλαστανούσης, καὶ τῶν μάντεων τὰ σημεῖα φοβουμένων, ἐξαθυμήσας καὶ κατασβεσθεὶς ταῖς ἐλπίσιν αὐτὸς ἑαυτὸν ἀπέσφαξεν. Ἦν δ' ἴσως καὶ Νικίᾳ, τῷ [3] Ἀθηναίων στρατηγῷ, κράτιστον [4] οὕτως ἀπαλλαγῆναι τῆς δεισιδαιμονίας, ὡς Μίδας ἢ Ἀριστόδημος, ἢ φοβηθέντι τὴν σκιὰν ἐκλιπούσης τῆς σελήνης, καθῆσθαι περιτειχιζόμενον ὑπὸ τῶν πολεμίων· εἶτα ὁμοῦ τέτταρσι μυριάσιν ἀνθρώπων φονευθέντων, ἢ ζώντων ἁλόντων, ὑποχείριον γενέσθαι, καὶ δυσκλεῶς ἀποθανεῖν. οὐ γὰρ γῆς ἀντίφραξις ἐν μέσῳ γενομένης φοβερὸν, οὐδὲ δεινὸν ἐν καιρῷ περιόδων [5] σκιᾶς



1 Sic ex hiſtoria, a Pauſania in Meſſeniacis copioſe deſcripta, reponendum cenſuit & vertit Xyl. Idem dedit W. adſentiente Mez. Vulgo πρὸς Μεσσηνίους.

2 Sic Steph. dedit, uti & ſeq. ἀγρώστεως, cum in Ald. & Baſ. legeretur ὠρυσομένων & ἀγρώσεως. Xyl. loco prioris voluit ὠρυσαμένων & nomen herbae correxit ἀγρώστεως. In ſcripto invenit ὠρυομένων & ἀγρώστεως. Mosq. 2. ἀγρώστεος.

3 Mosq. 2. νικίᾳ τῶν; Mosq. 1. νικίᾳ τῷ.

4 R. mavult κρεῖττον ob ſeq. ἢ φοβηθ. Cf. Thucyd. VII. 50. Mosq. 2. ὁσμίδας pro ὡς Μίδας, & καθεῖσθαι pro καθῆσθαι.

5 Dedi ſic e Xyl. conjectura, pro vulg. ποδῶν, quod nullo modo eſt probandum. R. ſuſp. πολλῷ *poſt longum interjectum tempus*. Xyl. citat interpretem, qui dedit: *in belli opportunitate*, quod Matth. haud abſurde conjectum cenſet, legendo ἀγώνων, aut ἔργων, aut ἐφόδων. Sallier. probavit Xyl. conjecturam

σκιᾶς πρὸς σελήνην ἀπάντησις [1]. ἀλλὰ δεινὸν τὸ τῆς δεισιδαιμονίας σκότος, ἐμπεσὸν τὸν [2] ἀνθρώπε συγχέαι καὶ τυφλῶσαι λογισμὸν ἐν πράγμασι μάλιςα λογισμῦ δεομένοις.

Γλαῦκε, ὅρα· βαθὺς [3] γὰρ ἤδη κύμασι ταράσσεται
Πόντος, ἀμφὶ δ' ἄκρα γυρεῦον [4] ὀρθὸν ἵςαται νέφος,
Σῆμα χειμῶνος [5].

τῦτο ἰδὼν κυβερνήτης εὔχεται μὲν ὑπεκφυγεῖν, καὶ θεὸς ἐπικαλεῖται σωτῆρας, εὐχόμενος δὲ τὸν οἴακα προσάγει [6], τὴν κεραίαν ὑφίησι,

Φεύγει μέγα λαῖφος ὑποςολίσας ἐρεβώδεος [7] ἐκ θαλάσσης.

ὁ

ſturam περιόδων, loco praemiſſi γενομένης reponendum cenſens κειμένης. Vulgatam tuentur codices, praeter Exempl. Turn. unde enotatur ἐμποδών. Cogitavi, num haec vox omnem loci difficultatem tollat, ſi jungatur cum γενομένης loco ἐν μέσῳ, quod pro gloſſemate haberi poſſet, vel ſi alia quaedam fiat verborum apta transpoſitio. At nimirum fortaſſe jam ſum auſus.

1 W. ſum ſecutus, qui ſic dedit ex D. Venet. Jannot. pro vulg. ἀπαντησάσης. Mosq. 1. ἀπαντῆσαν δὲ; Mosq. 2. ἀπαντῆσαν δέ.

2 Dedi ſic ex R. mente, pro vulg. ἐμπεσόντος ἀνθρώπε, W. idem probante. Poſſis quoque cum Matth. conjicere ἐμπεσὸν τὲς ἀνθρώπε — λογισμές.

3 W. ad haec: „ita Stephanus dedit, credo admonitus a Theod. Cantero Var. Lect. II, 15. qui ita emendavit ex Heraclidis libello de Allegoriis: ubi hic locus, ſanior, nomine Archilochi extat. Vulgo omnes libri Γλαυκεοράβδοις." Mosq. 2. γλαυκεοράβδες. Xyl. adnotat, incertum eſſe, cujus ſint hi verſus, & quomodo diſtinguendi.

4 Xyl. MS. γύρων, in margine πετρῶν; hinc Xyl. in nota memorat Gyras petras Ajacis Oilei exitio nobilitatas, Hom. Odyſſ. IV. 500. — Heraclides γύρεον, melius, W. judice; D. γυρῶν; Mosq. 2. γυρεύων. Pro ὀρθὸν R. quaerit, num ὄρφνιον.

5 Dedi hunc ordinem cum W. firmatum codd. C. D. E. G. Mosq. 1. 2. Poſt ſeq. ἰδὼν Mosq. 2. addit μέν.

6 Subaudi πρὸς ἑαυτὸν, R. monente.

7 Mosq. 2. ἐρεύδεος.

ὁ Ἡσίοδος κελεύει πρὸ ἀρότρε [1] καὶ σπόρε τὸν γεωργὸν εὔχεσθαι Διΐ τε χθονίῳ Δήμητερί θ' ἁγνῇ τῆς ἐχετλῆς ἐχόμενον· Ὅμηρος δὲ τὸν Αἴαντά φησι, τῷ Ἕκτορι μέλλοντα μονομαχεῖν, εὔχεσθαι κελεύειν [2] τὲς Ἕλληνας ὑπὲρ αὐτε τοῖς θεοῖς, εἶτα εὐχομένων ἐκείνων ὁπλίζεσθαι. καὶ ὁ Ἀγαμέμνων, ὅτε τοῖς μαχομένοις [3] προσέταξεν·

Εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ' ἀσπίδα θέσθω [4].

τότε παρὰ τε Διὸς αἰτεῖ·

Δός με κατὰ πρηνὲς βαλέειν Πριάμοιο μέλαθρον.

ἀρετῆς γὰρ ἐλπὶς ὁ θεός ἐςιν, ἐ δειλίας πρόφασις. ἀλλ' Ἰεδαῖοι, σαββάτων ὄντων, ἐν ἀγνάμπτοις [5] καθεζόμενοι, τῶν πολεμίων κλίμακας προστιθέντων, καὶ τὰ τείχη καταλαμβανόντων, ἐκ ἀνέστησαν, ἀλλ' ἔμειναν ὥσπερ ἐν σαγήνῃ μιᾷ τῇ δεισιδαιμονίᾳ συνδεδεμένοι.

VIII. Τοιαύτη μὲν ἐν τοῖς ἀβελήτοις καὶ περιςατικοῖς λεγομένοις πράγμασι καὶ καιροῖς ἡ δεισιδαιμονία, βελτίων δ' ἐδὲν [6] ἐδὲ ἐν τοῖς ἡδίοσι τῆς ἀθεότητος. ἥδιςα δὲ τοῖς ἀνθρώποις ἑορταὶ, καὶ εἰλαπίναι πρὸς ἱεροῖς, καὶ μυήσεις [7] καὶ ὀργιασμοὶ, καὶ κατευχαὶ θεῶν καὶ προσκυνήσεις. ἐνταῦθα τοίνυν σκόπει τὸν ἄθεον, γελῶν-



1 R. mavult ἀρότε. Cf. Op. & d. v. 463—645. Matth. de hoc ipſo loco monet, ſe in tribus codd. Mosq. quos contulerit, inveniſſe ἀρετε, in quarto ἀρότρε. Pro Δημήτερι Ald. & Baſ. μητέρι.

2 Ald. Baſ. κελεύει. In Mosq. 1. additum eſt ν a manu recentiori; in Mosq. 2. vocabulum prorſus deeſt. Pro τοῖς θεοῖς Mosq. 2. τὲς θεὲς. Cf. Iliad. VII. 194.

3 in Mosq. 1. antea fuerat τοῖς μονομάχοις.

4 Iliad. II, 382. 414. Ald. & Baſ. δός μοι, κ. πρ. item Mosq. 1. & 2. Pro βαλέειν Mosq. 2. βελέειν.

5 *in veſtibus ſordidis, non recens pexis, neque creatis.* R.

6 Dedi ἐδὲν, quod W. ex D. recepit, magis tamen loquendi conſuetudini congruum eſſe cenſens ſimplex ἐδὲν. Pro δὲ ἐδὲ antea in Mosq. 1. fuiſſe δὲ, monet Matth.

7 Ald. & Baſ. μνήσεις. Xyl. correxit e ſcripto.

λῶντα μὲν μανικὸν καὶ Σαρδώνιον γέλωτα τούτοις ποιουμένοις, καί που παραφθεγγόμενον ἀτρέμα πρὸς τοὺς συνήθεις, ὅτι τετύφωνται καὶ δαιμονῶσιν οἱ θεοῖς ταῦτα δρᾶσθαι νομίζοντες, ἄλλο δ' οὐδὲν ἔχοντα κακόν. ὁ δὲ δεισιδαίμων βούλεται μὲν, οὐ δύναται δὲ χαίρειν, οὐδὲ ἥδεσθαι. πόλις δὲ ὁμοῦ μὲν θυμιαμάτων γέμει, ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων [1], ἡ ψυχὴ τοῦ δεισιδαίμονος. ἐστεφανωμένος ὠχριᾷ, θύει καὶ φοβεῖται, εὔχεται φωνῇ παλλομένῃ, καὶ χερσὶν ἐπιθυμιᾷ τρεμούσαις· καὶ ὅλως ἀποδείκνυσι τὸν Πυθαγόρου λόγον φλυαρὸν [2], εἰπόντος, ὅτι βέλτιστοι γινόμεθα πρὸς τοὺς θεοὺς βαδίζοντες. τότε γὰρ ἀθλιώτατα καὶ κάκιστα πράττουσιν οἱ δεισιδαίμονες, ὥσπερ ἄρκτων φωλεοῖς, ἢ χειαῖς δρακόντων, ἢ μυχοῖς κητῶν, τοῖς τῶν θεῶν μεγάροις, ἢ ἀνακτόροις, προσιόντες.

IX. Ὅθεν ἔμοιγε καὶ θαυμάζειν ἔπεισι τοὺς τὴν ἀθεότητα φάσκοντας ἀσέβειαν εἶναι, μὴ φάσκοντας δὲ τὴν δεισιδαιμονίαν. Καίτοι γε Ἀναξαγόρας δίκην ἔφυγεν ἀσεβείας ἐπὶ τῷ λίθον [3] εἰπεῖν τὸν ἥλιον. Κιμμερίους δ' οὐδεὶς εἶπεν ἀσεβεῖς, ὅτι τὸν ἥλιον οὐδ' εἶναι τοπαράπαν νομίζουσι. τί σὺ λέγεις; ὁ μὴ νομίζων θεοὺς εἶναι, ἀνόσιός ἐστιν; ὁ δὲ τοιούτους νομίζων, οἵους οἱ δεισιδαίμονες, οὐ μακρῷ δόξαις ἀνοσιωτέραις σύνεστιν; ἔγωγ' οὖν [4] ἂν ἐθέλοιμι μᾶλλον, τοὺς ἀνθρώπους λέγειν περὶ ἐμοῦ, μήτε γεγονέναι τοπαράπαν, μηδ' [5] εἶναι Πλούταρχον, ἢ λέγειν, ὅτι Πλούταρχός ἐστιν ἄνθρωπος ἀβέβαιος, εὐμετάβολος, εὐχερὴς πρὸς ὀργὴν, ἐπὶ τοῖς τυχοῦσι τιμωρη-

1 Sophocl. Oedip. Tyr. v. 4. 5. Cf. Plut. T. VII. p. 294. not. 3.

2 Mosq. 1. φλύαρον λόγον. Ald. quoque & Baf. φλύαρον.

3 Mosq. 1. μύθρον, a manu recentiori fupra fcriptum λίθον.

4 Turn. ἔγω γοῦν. Ald. & Baf. omittunt τοὺς ante ἀνθρώπους.

5 R. voluit aut utroque loco μήτε aut μηδὲ legi, aut primo loco fimplex μή.

μωρητικὸς, μικρόλυπος· ἂν καλῶν ἐπί δεῖπνον ἑτέρους, παραλίπῃς ἐκεῖνον· ἂν, ἀσχολίας σοι γενομένης, ἐπὶ θύραις [1] μὴ ἔλθῃς, εἰ μὴ προσείπῃς, διέδεταί σου τὸ σῶμα προσφὺς, καὶ συλλαβὼν ἀποτυμπανιεῖ τὸ παιδίον· ἢ θηρίον ἔχων τοῖς καρποῖς ἐφήσει, καὶ λυμανεῖται τὴν ὀπώραν. Τοῦ Τιμοθέου [2] τὴν Ἄρτεμιν ᾄδοντος ἐν Ἀθήναις, καὶ λέγοντος· Θυάδα, φοιβάδα, μαινάδα, λυσσάδα· Κινησίας, ὁ μελοποιὸς, ἐκ τῶν θεατῶν ἀναστάς· Τοιαύτη σοὶ (εἶπε) θυγάτηρ γένοιτο. καὶ μὴν ὅμοια τούτοις καὶ χείρονα περὶ Ἀρτέμιδος οἱ δεισιδαίμονες ὑπολαμβάνουσιν, αἵ τε κᾂν [3] ἀπ' ἀγχόνας ἀΐξασα, αἵ τε καλεχόνα κναίσατε, αἵ τε κᾂν ἔκνεκρος μαίουσα ἂν πεφυρμένα ἐσῆλθες, αἵ τε καὶ ἐκ τριπόδων καθ' ἑρμάτευσεν ἐπισπώμενα τῷ παλαμναίῳ συμπλεχθεῖσα. οὐδὲν δὲ τούτων ἐπιεικέστερα φρονοῦσι περὶ Ἀπόλλωνος, περὶ Ἥρας, περὶ Ἀφροδίτης. πάντας γὰρ τούτους τρέμουσι καὶ δεδοίκασι. καίτοι τί τοσοῦτον ἡ Νιόβη περὶ τῆς Λη-

τοῦς

1 R. mavult ἐπὶ θύραις. Matth. pro seq. εἰ μὴ etiam legi posse monet ἢ μή. Pro διέδεται R. mavult διεδεῖται, in fut.

2 Cf. Plutarch. T. VII. p. 81.

3 Versus hi, de Diana ex aliquo poëta desumti, R. & Xyl. judicibus, adeo sunt corrupti, ut conjecturis vix emendari posse videantur. In Xyl. & Kaltw. versione omittuntur. Nec in libris aliquid esse medicinae, W. notat. Ei tamen ad hanc formam sententiamque revocandus videtur locus: Ἥτ' ἐπ' ἀγχόνας ἀΐξασαν, ἥτε καὶ λεχὼ 'νακαύσειεν, Ἥτε κᾂκ νεκροῦ μιανθεῖσα, Κᾂν πεφυρμένα γ' ἐπεισῆλθεν, Ἥτε κᾂν τριόδῳ καθαρμάτεσσιν Ἐμπετωμένα, παλαμναίῳ Συμπλέκοι σέ — *quae & ad suspendium ruentem foeminam, quae & puerperam incendat: Quae & e domo funebri inquinata & conspurcata tibi superveniat: quae & in trivio purgamentis involans, piaculo te implicet.* Xyl. e scripto nil enotat nisi αἵτε μὴν ἀμπεχόνας, & πεφοραμένης; in ind. Frst. absque nota codicis haec lectio varians citatur κᾂν λεχὼ ἀνακαύσασα; item e Turn. & V. τριόδον ἐκ νεκρῶν αἵματι καθάρματα συνεπισκοπουμένα; & Matth. e Mosq. 1. affert ἐπιπλώμενα pro ἐπισπώμενα.

τȣ̃ς ἐβλασφήμησεν, οἷον ἡ δεισιδαιμονία πέπεικε [1] περὶ τῆς Θεȣ̃ τȣ̀ς ἄφρονας; ὡς ἄρα λοιδορηθεῖσα κατετόξευσε τῆς ἀθλίας γυναικὸς

"Εξ μὲν θυγατέρας, ἓξ δ' υἱεῖς ἡβώοντας.

ȣ̃τως ἄπλησος ἀλλοτρίων κακῶν ἦν καὶ ἀνίλασος. εἰ γὰρ ἀληθῶς ἡ Θεὸς χολὴν εἶχε, καὶ μισοπόνηρος ἦν, καὶ ἤλγει κακῶς ἀκȣ̃σα, καὶ μὴ κατεγέλα τῆς ἀνθρωπίνης ἀμαθίας καὶ ἀγνοίας, ἀλλ' ἠγανάκτει, τȣ́τȣς ἔδει τοξεῦσαι [2] τȣ̀ς τοσαύτην ὠμότητα καὶ πικρίαν καταψευδομένȣς αὐτῆς, καὶ τοιαῦτα γράφοντας καὶ λέγοντας. τῆς γȣ̃ν Ἑκάβης προβαλλόμεθα τὴν πικρίαν, ὡς βάρβαρον καὶ θηριώδη, λεγȣ́σης·

— Τȣ̃ ἐγὼ μέσον ἧπαρ ἔχοιμι [3]
Ἐσθέμεναι προσφῦσα.

τὴν δὲ Συρίαν Θεὸν οἱ δεισιδαίμονες νομίζȣσιν, ἂν μαινίδα [4] τις, ἢ ἀφύας, φάγῃ, τὰ ἀντικνήμια διεσθίειν, ἕλκεσι τὸ σῶμα πιμπλάναι [5], συντήκειν τὸ ἧπαρ.

X. Ἆρ' ȣ̃ν τὸ μὲν λέγειν τὰ φαῦλα περὶ τῶν θεῶν, ἀνόσιον, τὸ δὲ δοξάζειν, ȣ̓κ ἀνόσιον [6]; ἢ καὶ τὴν φωνὴν ἄτοπον ἡ δόξα ποιεῖ τȣ̃ βλασφημȣ̃ντος; καὶ γὰρ ἡμεῖς τὴν βλασφημίαν, ὅτι δυσμενείας [7] σημεῖον ἐστι, προβαλλόμεθα· καὶ τȣ̀ς κακῶς ἡμᾶς λέγοντας, ἐχθρȣ̀ς νομίζομεν, ὡς καὶ ἀπίσȣς καὶ κακῶς φρονȣ̃ντας. ὁρᾷς

1 Ald. πέπεικε. Mox υἱέας Turn. & V. pro υἱεῖς; & Mosq. 1. ἡβώοντας. Versus est ex Iliad. XXIV, 604.

2 R. mavult κατατοξεῦσαι. Mosq. 1. ἠγανάκτει ἂν πρὸς τȣ́τȣς, omissis ἔδει τοξεῦσαι τȣ̀ς, & repetita voce ἠγανάκτει, quod Ald. quoque habet. Bas. semel tantum data voce ἠγανάκτει.

3 Sic est in Hom. Il. XXIV, 212. & dari voluit R. pro vulg. ἔδοιμι. Etiam W. id recepit ex D. Mez. Xyl.

4 R. mavult μαινίδας, ob seq. ἀφύας. Pro φάγῃ Ald. φάγοι.

5 D. πιμπράναι; quod W. probat.

6 Dedi sic ex Bas. quod & Matth. exhibet. R. ȣ̓ καὶ ἀνόσιον. Sic Steph. & Frst. cujus vitii causa videtur esse Aldina, exhibens operarum vitio ȣ̓ κανόσιον. W. quoque correxit vulgatam.

7 Turn. δεισιδαιμονίας.

ὁρᾷς δὲ [1], οἷα περὶ τῶν θεῶν οἱ δεισιδαίμονες Φρονοῦσιν, ἐμπλήκτους, ἀπίστους, εὐμεταβόλους, τιμωρητικοὺς, ὠμοὺς, μικρολύπους ὑπολαμβάνοντες· ἐξ ὧν ἀνάγκη καὶ μισεῖν τὸν δεισιδαίμονα καὶ Φοβεῖσθαι τοὺς θεούς. πῶς γὰρ οὐ μέλλει, τὰ μέγιστα τῶν κακῶν αὐτῷ δι' ἐκείνους οἰόμενος γεγονέναι, καὶ πάλιν γενήσεσθαι; μισῶν δὲ θεοὺς καὶ Φοβούμενος, ἐχθρός ἐστι· καίτοι προσκυνεῖ γε, καὶ θύει [2], καὶ κάθηται πρὸς ἱεροῖς; οὐ θαυμαστόν ἐστι. καὶ γὰρ τοὺς τυράννους ἀσπάζονται, περιέπουσι, χρυσοῦς ἀνιστᾶσιν, ἀλλὰ μισοῦσι σιγῇ κάρτα θύοντες [3]. Ἀλέξανδρον [4] Ἑρμόλαος ἐθεράπευσε [5], Παυσανίας ἐδορυΦόρει Φίλιππον, Χαι-

1 Ald. & Baf. omittunt δὲ.

2 Recepi hoc loco, quae W. ex D. annotat, ut fit ex animo objicientis fententia: *at adorat faltim, & facris veneratur, & ad templa affidet?* Refpondetur: *ne mireris, etenim* &c. &c. Vulgo κἂν δέδιε, καὶ προσκυνῇ, καὶ θύῃ, καὶ κάθηται πρὸς ἱεροῖς, οὐ θαυμαστός ἐστι. R. δέδιε fufpectum habuit, non folummodo, quia conftructio conjunctivum poftulat, fed etiam, idque magis, quia fententia requirit ἀσπάζηται, aut προσίῃ. — Prius impedimentum facile tolli potuiffet, fi ex δέδιε effeciffes δεδίῃ. At pofterius gravius mihi eft vifum. Hinc δέδιε omittere haud dubitavi, auctoritate codicis D. Pro κἂν Mofq. 2. καὶ, nec non προσκυνεῖ καὶ θύει, retento δέδιε. W. κἂν δέδιε καὶ προσκυνεῖ καὶ θύει &c. indicativum praeter codd. citatos firmante Coll. Nov. θαυμαστὸν denique recepi ex Turn.

3 κάρτα θύοντες fufpectum fuit Xylandro. Hinc etiam R. quaerit, num κάρτα θεραπεύοντες? Matth. fufp. τὰ (pro ἀλλὰ e Mofq. 2.) i. e. ἅτινα, μ. σ. κάρτα θήποντες aut τεθηπότες. W. retinet vulgatam, a Xyl. in verfione omiffam, & transfert *quamvis facrificantes*, monens, poffe fanum effe, & partem loci poëtici cenferi; poffe etiam veram effe, elegantem certe, lectionem G. & Colleg. Nov. κάρα σείοντες. Habent quoque κάρα C. & Mofq. 2.

4 Significat Alexandrum Pheraeum; at percufforem ejus non Hermolaum, fed Pytholaum, appellat ipfe Plutarchus in Pelopida. Paufanias eft, qui Philippum, Alexandri M. patrem, interemit. De Caffio Charea, qui Cajum Caefarem fuftulit, vid. Dio Caffius. R.

5 Ald. Baf. ἐθεράπευσε; item Mosq. 2.

Χαιρέας Γάϊον· ἀλλ' ἕκαστος τούτων ἔλεγε παρακολουθῶν·

Ἦ σ' ἂν τισαίμην, εἴ μοι δύναμίς γε παρείη [1].

Οὐκ οἴεται θεοὺς εἶναι ὁ ἄθεος, ὁ δὲ δεισιδαίμων οὐ βούλεται, πιστεύει δ' ἄκων· ἀπιστεῖν [2] γὰρ φοβεῖται. καίτοι γε ὥσπερ [3] ὁ Τάνταλος ὑπεκδύναι τὸν λίθον ὑπαιωρούμενος, οὕτω καὶ οὗτος τὸν φόβον, ὡς οὐχ ἧττον ὑπ' αὐτοῦ πιεζόμενος, ἀγαπήσειεν ἄν, καὶ μακαρίσειε τὴν τοῦ ἀθέου διάθεσιν, ὡς ἐλευθερίαν. νυνὶ δὲ τῷ μὲν ἀθέῳ δεισιδαιμονίας οὐδὲν μέτεστιν· ὁ δὲ δεισιδαίμων τῇ προαιρέσει ἄθεος ὤν, ἀσθενέστερός ἐστιν, τοῦ δοξάζειν [4] περὶ θεῶν, ὃ βούλεται.

XI. Καὶ μὴν ὁ ἄθεος δεισιδαιμονίας οὐδαμῇ συναίτιος· ἡ δὲ δεισιδαιμονία τῇ ἀθεότητι καὶ γενέσθαι παρέσχεν ἀρχήν, καὶ γενομένῃ δίδωσιν ἀπολογίαν, οὐκ ἀληθῆ μέν, οὐδὲ καλήν [5], προφάσεως δέ τινος οὐκ ἄμοιρον οὖσαν. οὐ γὰρ ἐν οὐρανῷ τι μεμπτὸν, οὐδ' ἐν ἄστροις, οὐδ' ἐν

1 Iliad. XXII, 20. Mosq. 2. ἦ κε ἀντισαίμην.

2 Sic Xyl. e MS. legi maluit, & dedi. Etiam W. id recepit ex uno D. Vulgo ἀποθανεῖν.

3 Ald. Baf. Mofq. 1. 2. εἰ δὲ ὥσπερ. Vulgatam dedit Steph. Confentiunt Pol. & Jannot. nec diffentit D. item Xyl. e MS. affert. ὑπαιωρούμενος, eft in Ald. Baf. Xyl. MS. Mosq. 1. 2. pro qua voce Steph. ὑπαιωρούμενον. Reftitui priorem lectionem cum W. auctoritate quoque Mez. firmatam. R. voluit ὑπεραιωρούμενον; Matth. ἐπαιωρούμενον conjici poffe monet. οὕτω καὶ οὗτος omittunt Mosq. 1. 2. Iidem in feq. cum Ald. & Baf. τῷ φόβῳ καὶ πιεζόμενος. Sic caeteros omnes habere, notat W. Ad τὸν φόβον R. addendum fufp. εὐχόμενος, vel βουλόμενος; Matth. δυνάμενος. Pro καὶ μακαρίσειε Xyl. MS. καὶ ἀγαπήσειε.

4 Vulgo ἢ τοῦ δοξάζειν. R. aut ἢ aut τοῦ deleri voluit. Delevi prius. W. ex D. ἢ ὥστε δοξάζειν. In ind. Frft. affertur lectio vulgata ἀθενέστερος, quam, ut diverfam lectionem ex Ald. & Baf. laudare Xylandrum, Matth. monet. At mihi operarum errore ea citata videtur pro ἀσθενέστερος, quod in Ald. & Baf. legitur. In feq. Mofq. 2. ἄμοινον pro ἄμοιρον.

5 Turn. οὐκ ἀληθῶς μὲν, οὐδὲ καλῶς.

ἐν ὥραις, ἢ περιόδοις σελήνης [1], ἢ κινήσεσιν ἡλίȣ περὶ γῆν, ἡμέρας καὶ νυκτὸς δημιȣργοῖς, ἢ τροφαῖς ζώων, ἢ καρπῶν γενέσεσι πλημμελὲς καὶ ἄτακτον ἐνιδόντες [2], ȣ῞τως ἀθεότητα τȣ῀ παντὸς κατέγνωσαν· ἀλλὰ τῆς δεισιδαιμονίας ἔργα καὶ πάθη καταγέλαστα, καὶ ῥήματα, καὶ κινήματα, καὶ γοητεῖαι, καὶ μαγεῖαι, καὶ περιδρομαὶ, καὶ τυμπανισμοὶ, καὶ ἀκάθαρτοι μὲν καθαρμοὶ, ῥυπαραὶ δὲ ἁγνεῖαι, βάρβαροι δὲ καὶ παράνομοι πρὸς ἱεροῖς [3] κολασμοὶ καὶ προπηλακισμοί· ταῦτα δίδωσιν ἐνίοις λέγειν, ὡς μὴ εἶναι θεȣ̀ς ἄμεινον, ἢ εἶναι, τοιαῦτα μὲν δεχομένȣς, τοιȣ́τοις δὲ [4] χαίροντας, ȣ῞τω δὲ ὑβριςὰς, ȣ῞τω δὲ μικρολόγȣς, καὶ μικρολύπȣς.

XII. Οὐκ ἄμεινον ȣ῏ν [5] ἦν Γαλάταις ἐκείνοις καὶ Σκύθαις, τοπαράπαν μήτ' ἔννοιαν ἔχειν θεῶν, μήτε φαντασίαν, μήτε ἱςορίαν, ἢ θεȣ̀ς εἶναι νομίζειν, χαίροντας ἀνθρώπων σφαττομένων αἵμασι, καὶ τελεωτάτην θυσίαν καὶ ἱερȣργίαν ταύτην νομίζοντας; τί δὲ Καρχηδονίοις ȣ̓κ ἐλυσιτέλει, Κριτίαν [6] λαβȣ῀σιν, ἢ Διαγόραν, νομοθέτην ἀπ' ἀρχῆς, μήτε τινὰ θεῶν, μήτε δαιμόνων [7], νομίζειν, ἢ τοιαῦτα θύειν, οἷα τῷ Κρόνῳ ἔθυον [8];

ȣ̓κ

1 Recepi σελήνης, quod W. ex uno D. dedit, postulante ipsa ratione ac sententia loci.

2 Mosq. 2. ἐναδόντες; item ἄςακτον, pro ἄτακτον, ex correctione; Matth. susp. forte voluisse aliquem corrigere ἄςατον. Pro seq. ȣ῞τως W. susp. ὅμως, vulgatam tamen nonnihil defensionis habere monens.

3 Mosq. 2. πρὸς ἱερεῖς. Vulgatam non reddendam esse *in templis*, sed *ante templa* s. juxta templa, Matth. monet. Idem de voce κολασμοὶ dubius est. Conjicit κυλισμοί.

4 Mosq. 2. τοιαῦτα δέ.

5 Mosq. 2. ἀλλ' ȣ̓κ ἄμεινον, omisso ȣ῏ν. Idem est in Ald. & Bas.

6 *Critiam* haud dubie putat, Socratis discipulum, de triginta tyrannorum numero. W. non probat Fabri correctionem Θεόδωρον. Diagorae Melii atheismus in vulgus notus est. Vid. Fabric. Bibl. Gr. T. I. p. 817. R.

7 Mosq. 2. δαιμόνων μήτε θεῶν.

8 Diodor. Bibl. XX.

ὀυχ ὥσπερ [1] Ἐμπεδοκλῆς φησι, τῶν τὰ ζῶα θυόντων καθαπ]όμενος·

Μορφὴν δ' ἀλλάξαντα πατὴρ φίλον υἱὸν ἀείρας.
Σφάζει, ἐπευχόμενος μέγα νήπιος.

ἀλλ' εἰδότες καὶ γινώσκοντες αὐτοὶ τὰ αὑτῶν τέκνα καθιέρευον· οἱ δὲ ἄτεκνοι παρὰ τῶν πενήτων ὠνόμενοι παιδία κατέσφαζον [2], καθάπερ ἄρνας, ἢ νεοσσούς. παρειστήκει δὲ ἡ μήτηρ ἄτεγκ]ος καὶ ἀστέναχ]ος· εἰ δὲ στενάξειεν, ἢ δακρύσειεν, ἔδει τῆς τιμῆς στέρεθαι, τὸ δὲ παιδίον ὀυδὲν ἧτ]ον ἐθύετο. κρότου [3] δὲ κατεπίμπλατο πάντα πρὸ τοῦ ἀγάλματος ἐπαυλούντων καὶ τυμπανιζόντων, ἕνεκα τοῦ μὴ γενέθαι τὴν βόησιν τῶν θρήνων [4] ἐξάκουστον. εἰ δὲ Τυφῶνές τινες, ἢ γίγαντες, ἦρχον ἡμῶν [5], τοὺς θεοὺς ἐκβαλόντες, ποίαις ἂν ἥδοντο θυσίαις, ἢ τίνας ἄλλας ἱερουργίας ἀπῄτουν; Ἄμηστρις δὲ, ἡ Ξέρξου γυνὴ, δώδεκα [6] κατώρυξεν ἀνθρώπους ζῶντας ὑπὲρ αὐτῆς τῷ ᾅδῃ· ὃν ὁ Πλάτων φησὶ φιλάνθρωπον ὄντα καὶ σοφὸν καὶ πλούσιον, πειθοῖ καὶ λόγῳ κατέχοντα τὰς ψυχὰς, ᾅδην ὠνομάσθαι. Ξενοφάνης δὲ, ὁ φυσικὸς, τοὺς Αἰγυπ]ίους, κοπ]ομένους ἐν ταῖς ἑορταῖς καὶ θρηνοῦντας ὁρῶν, ὑπέμνησεν οἰκείως· Οὗτοι, (φησὶν) εἰ μὲν θεοί εἰσι, μὴ θρηνεῖτε αὐτούς· εἰ δ' ἄνθρωποι, μὴ θύετε αὐτοῖς [7].

XIII.

1 R. aut hoc loco voluit legi οὐ γὰρ ὥσπερ, aut postea, servata vulgata, καθιερεύοντες pro καθιέρευον. Pro ἀείρας Mosq. 2. αἴρας.

2 deest κατέσφαζον in Ald. Bas. Mosq. 2. Idem hic mox παριστήκει.

3 Ald. & Bas. ἔτι pro κρότου cum Mosq. 2. In iisdem abest sequens πάντα.

4 absunt τῶν θρήνων a Mosq. 2. Ald. & Bas. Mox Mosq. 2. τύφωνες.

5 Turn. ἡμῖν. Pro ἐκβαλόντες Mosq. 2. ἐκβάλλοντες. Ad ποίαις ἂν subaudi, R. monente, μᾶλλον.

6 Quatuordecim nominat Herodot. VII, 14.

7 Turn. αὐτούς.

XIII. Ἀλλ' οὐδὲν οὕτω πολυπλανὲς καὶ πολυπαθὲς νόσημα, καὶ μεμιγμένον ἐναντίαις δόξαις καὶ μαχομέναις μᾶλλον, ὡς τὸ τῆς δεισιδαιμονίας. Φευκτέον οὖν [1] αὐτὴν ἀσφαλῶς τε καὶ συμφερόντως, οὐχ ὥσπερ οἱ λῃστῶν, ἢ θηρίων, ἔφοδον, ἢ πῦρ, ἀπερισκέπτως [2] καὶ ἀλογίστως περιφεύγοντες, ἐμπίπτουσιν εἰς ἀνοδίας βάραθρα καὶ κρημνοὺς ἐχούσας. οὕτως γὰρ ἔνιοι φεύγοντες τὴν δεισιδαιμονίαν, ἐμπίπτουσιν εἰς ἀθεότητα τραχεῖαν καὶ ἀντίτυπον, ὑπερπηδήσαντες ἐν μέσῳ κειμένην τὴν εὐσέβειαν.

1 Mosq. 2. δὲ pro οὖν, omiſſis ἀσφαλῶς τε καὶ συμφερόντως. Eadem lectio eſt in Ald. & Baſ.

2 Sic ex ſcripto repoſuit Xyl. pro περιφέροντες, quod eſt in Ald. & Baſ.

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΑΠΟΦΘΕΓΜΑΤΑ ΒΑΣΙΛΕΩΝ
## ΚΑΙ ΣΤΡΑΤΗΓΩΝ.

### ΠΛΟΥΤΑΡΧΟΣ ΤΡΑΙΑΝΩ ΑΥΤΟΚΡΑΤΟΡΙ ΕΥ ΠΡΑΤΤΕΙΝ [1].

Ἀρταξέρξης, ὁ Περσῶν βασιλεὺς, ὦ μέγιστε αὐτοκράτορ, Καῖσαρ Τραϊανὲ, οὐχ ἧττον οἰόμενος βασιλικὸν καὶ φιλάνθρωπον εἶναι τοῦ μεγάλα διδόναι τὸ μικρὰ λαμβάνειν εὐμενῶς καὶ προθύμως, ἐπείπερ, ἐλαύνοντος αὐτοῦ καθ' ὁδὸν, αὐτουργὸς ἄνθρωπος καὶ ἰδιώτης, οὐδὲν ἔχων ἕτερον, ἐκ τοῦ ποταμοῦ ταῖς χερσὶν ἀμφοτέραις ὕδωρ ὑπολαβὼν προσήνεγκεν, ἡδέως ἐδέξατο, καὶ ἐμειδίασε, τῇ προθυμίᾳ τοῦ διδόντος, οὐ τῇ χρείᾳ τοῦ διδομένου, τὴν χάριν μετρήσας. ὁ δὲ Λυκοῦργος εὐτελεστάτας ἐποίησεν ἐν Σπάρτῃ τὰς θυσίας, ἵνα ἀεὶ τοὺς θεοὺς τιμᾷν ἑτοίμως δύνωνται καὶ ῥᾳδίως ἀπὸ τῶν παρόντων. τοιαύτῃ δή τινι [2] γνώμῃ κἀμοῦ λιτά σοι δῶρα καὶ ξένια [3] καὶ κοινὰς ἀπαρχὰς προσφέροντος ἀπὸ τῆς [4] φιλοσοφίας, ἅμα τῇ προθυμίᾳ καὶ τὴν χρείαν ἀπόδεξαι τῶν ἀπομνημονευμάτων, εἰ [5] ὅρον ἔχει τινὰ πρὸς κατανόησιν

1 Verba, quibus Plutarchus Imperatori Trajano salutem precatur, desunt in cod. Petav. — W. judice, hic & qui proxime sequuntur tres libri, videntur a posteriore quodam homine ex Plutarchi libris compilati esse. Etiam Xyl. adnotat: „Ego neque praefationem hanc, neque opus ipsum magni esse Plutarchi credere possum.“

2 Sic Turn. & V. & dedi pro vulg. δέ τινι. Idem W. recepit, adsentientibus Venet. Cent. Flor. Anon.

3 R. cum Frst. ξένα. Restitui priorem lectionem.

4 Dedi artic. τῆς, qui vulgo deest, e Turn. & Petav.

5 Turn. V. Bong. Petav. καὶ τῇ χρείᾳ ἀπόδεξαι τῶν ἀπομνημάτων, ἣ ὅρον ἔχει. A W. enotatur quoque ἣ e Pol. Schott. Leonic. Anon. At Jun. Cento Flor. εἰ πρόσφορον ἔχει τι.

σιν ἠθῶν καὶ προαιρέσεων ἡγεμονικῶν, ἐμφαινομένων τοῖς λόγοις μᾶλλον, ἢ ταῖς πράξεσιν αὐτῶν. καίτοι καὶ βίως ἔχει τὸ σύνταγμα [1] τῶν ἐπιφανεςάτων παρά τε Ῥωμαίοις καὶ παρ' Ἕλλησιν ἡγεμόνων καὶ νομοθετῶν καὶ αὐτοκρατόρων· ἀλλὰ τῶν μὲν πράξεων αἱ πολλαὶ τύχην ἀναμεμιγμένην ἔχουσιν, αἱ δὲ γινόμεναι [2] παρὰ τα ἔργα, καὶ τὰ πάθη, καὶ τὰς τύχας, ἀποφάσεις καὶ ἀναφωνήσεις, ὥσπερ ἐν κατόπτροις, καθαρῶς παρέχουσι τὴν ἑκάςου διάνοιαν ἀποθεωρεῖν. καὶ Σειράμνης δὲ, ὁ Πέρσης, πρὸς τὰς θαυμαζόντας, ὅτι, τῶν λόγων αὐτοῦ νοῦν ἐχόντων, αἱ πράξεις ὀ κατορθοῦνται, τῶν μὲν λόγων ἔφη κύριος αὐτὸς εἶναι, τῶν δὲ πράξεων τὴν τύχην μετὰ τοῦ βασιλέως. ἐκεῖ μὲν οὖν ἅμα αἱ ἀποφάσεις [3] τῶν ἀνδρῶν τὰς πράξεις παρακειμένας ἔχουσαι, σχολὴν ἄγουσαν φιληκοΐαν περιμένουσιν· ἐνταῦθα δὲ καὶ τοὺς λόγους αὐτοὺς καθ' αὑτοὺς, ὥσπερ δείγματα τῶν βίων καὶ σπέρματα, συνειλεγμένους, οὐδὲν οἴομαί σοι τὸν καιρὸν [4] ἐνοχλήσειν, ἐν βραχέσι πολλῶν ἀναθεώρησιν ἀνδρῶν ἀξίων μνήμης γενομένων λαμβάνοντι.

Κύρου ἀποφθέγματα. Πέρσαι τῶν γρυπῶν ἐρῶσι, καὶ καλλίςους ὑπολαμβάνουσι [5], διὰ τὸ Κῦρον, ἀγαπηθέντα μάλιςα τῶν βασιλέων, γεγονέναι γρυπὸν τὸ εἶδος.

Ἔλεγε δὲ Κῦρος, ἑτέροις ἀναγκάζεσθαι τἀγαθὰ πορίζειν τοὺς αὑτοῖς μὴ θέλοντας· ἄρχειν δὲ μηδενὶ προσήκειν, ὃς οὐ κρείττων ἐςὶ τῶν ἀρχομένων.

Βουλομένους δὲ τοὺς Πέρσας ἀντὶ τῆς ἑαυτῶν, οὔσης ὀρεινῆς καὶ τραχείας, πεδιάδα καὶ μαλακὴν χώραν λαβεῖν,



1 Xyl. de hujus loci integritate dubius, susp. ἔχει τι ἡμέτερον σύνταγμα. W. judice, locus sanus, & perperam vitii suspectus.

2 Turn. & Petav. γινόμεναι.

3 Turn. ταῖς ἀποφάσεσι.

4 W. susp. τὸν κόρον, *satietatem*.

5 absunt a Petav. καὶ καλλίςους ὑπολ.

βεῖν, ὀκ εἴασεν, εἰπὼν, ὅτι καὶ τῶν φυτῶν τα σπέρματα καὶ τῶν ἀνθρώπων οἱ βίοι ταῖς χώραις συνεξομοιῦνται.

Δαρείου. Δαρεῖος, ὁ Ξέρξου πατὴρ, ἑαυτὸν ἐγκωμιάζων, ἔλεγεν, ἐν ταῖς μάχαις καὶ παρὰ τὰ δεινὰ γίγνεσθαι φρονιμώτερος.

Τὰς δὲ φόρους τοῖς ὑπηκόοις τάξας, μετεπέμψατο τὰς πρώτους τῶν ἐπαρχιῶν, καὶ περὶ τῶν φόρων ἠρώτησε, μὴ βαρεῖς εἰσι. Φησάντων δὲ, μετρίως ἔχειν, ἐκέλευσε τελεῖν τὰς ἡμίσεις ἕκαστον.

Ῥοιὰν δὲ μεγάλην ἀνοίξας, πυθομένου τινὸς, τί ἂν ἔχειν βύλοιτο τοσῦτον, ὅσον ἐστὶ τῶν κόκκων τὸ πλῆθος, εἶπε· Ζωπύρους· ἦν δ' ἀνὴρ ἀγαθὸς καὶ φίλος ὁ Ζώπυρος.

Ἐπεὶ δ' αὐτὸς ἑαυτὸν αἰκισάμενος ὁ Ζώπυρος, καὶ τὴν ῥῖνα καὶ τὰ ὦτα περικόψας, ἐξηπάτησε Βαβυλωνίους, καὶ πιστευθεὶς ὑπ' αὐτῶν παρέδωκε Δαρείῳ τὴν πόλιν, πολλάκις ὁ Δαρεῖος εἶπεν, ὀκ ἂν ἐθελῆσαι λαβεῖν ἑκατὸν Βαβυλῶνας ἐπὶ τῷ μὴ Ζώπυρον ἔχειν ὁλόκληρον.

Σεμιράμιδος. Σεμίραμις δὲ, ἑαυτῇ κατασκευάσασα τάφον, ἐπέγραψεν, ὅστις ἂν χρημάτων δεηθῇ βασιλεὺς, διελόντα τὸ μνημεῖον, ὅσα βύλεται, λαβεῖν. Δαρεῖος ὖν διελὼν, χρήματα μὲν ὀχ εὗρε, γράμμασι δὲ ἑτέροις ἐνέτυχε τάδε φράζουσιν· Εἰ μὴ κακὸς ἦσθ' ἀνὴρ καὶ χρημάτων ἄπληστος, ὀκ ἂν νεκρῶν θήκας ἐκίνεις.

Ξέρξου. Ξέρξῃ τῷ Δαρείου περὶ τῆς βασιλείας ἀμφισβητῶν ὁ ἀδελφὸς Ἀριμένης, κατέβαινεν ἐκ τῆς Βακτριανῆς· ἔπεμψεν ὖν αὐτῷ δῶρα, φράσαι κελεύσας τὰς διδόντας [1]. Τύτοις σε τιμᾷ νῦν Ξέρξης, ὁ ἀδελφός· ἐὰν δὲ βασιλεὺς ἀναγορευθῇ, πάντων ἔσῃ παρ' αὐτῷ μέγιστος. ἀποδειχθέντος δὲ τῦ Ξέρξου βασιλέως, ο μὲν Ἀριμένης εὐθὺς προσεκύνησε, καὶ τὸ διάδημα περιέθηκεν·

1 absunt a Petav. τὰς διδόντας.

θηκεν· ὁ δὲ Ξέρξης ἐκείνῳ τὴν δευτέραν μεθ' ἑαυτὸν ἔδωκε τάξιν.

Ὀργισθεὶς δὲ Βαβυλωνίοις ἀποστᾶσι, καὶ κρατήσας, προσέταξεν ὅπλα μὴ φέρειν, ἀλλὰ ψάλλειν καὶ αὐλεῖν καὶ πορνοβοσκεῖν καὶ καπηλεύειν, καὶ φορεῖν κολπωτοὺς [1] χιτῶνας.

Ἀττικὰς δ' ἰσχάδας οὐκ ἂν ἔφη φαγεῖν ὠνίους κομισθείσας, ἀλλ' ὅταν τὴν φέρουσαν κτήσηται χώραν. Ἕλληνας δὲ κατασκόπους ἐν τῷ στρατοπέδῳ λαβὼν, οὐδὲν ἠδίκησεν, ἀλλὰ τὴν στρατιὰν ἀδεῶς ἐπιδεῖν κελεύσας ἀφῆκεν.

Ἀρταξέρξου. Ἀρταξέρξης ὁ Ξέρξου, ὁ μακρόχειρ προσαγορευθεὶς διὰ τὸ τὴν ἑτέραν χεῖρα μακροτέραν ἔχειν, ἔλεγεν, ὅτι τὸ προσθεῖναι τοῦ ἀφελεῖν βασιλικώτερόν ἐστι.

Πρῶτος δὲ πρωτοβολεῖν ἐκέλευσε τῶν συγκυνηγετούντων τοὺς δυναμένους καὶ βουλομένους [2].

Πρῶτος δὲ τοῖς ἁμαρτάνουσι τῶν ἡγεμονικῶν τιμωρίαν ἔταξεν, ἀντὶ τοῦ τὸ σῶμα μαστιγοῦν, μαστιγοῦσθαι μὲν ἀποδυσαμένων τὰ ἱμάτια, καὶ ἀντὶ τοῦ τὴν κεφαλὴν ἀποτίλλεσθαι τὴν τιάραν [3] ἀποθεμένων.

Σατιβαρζάνην δὲ, τὸν κατακοιμιστὴν, αἰτούμενόν τι παρ' αὐτοῦ τῶν μὴ δικαίων, αἰσθόμενος ἐπὶ τρισμυρίοις δαρεικοῖς τοῦτο ποιοῦντα, προσέταξε τῷ ταμίᾳ τρισμυρίους δαρεικοὺς κομίσαι· καὶ διδοὺς [4] αὐτῷ· Λάβε, (εἶπε) ὦ Σατιβαρζάνη. ταῦτα μὲν γὰρ δοὺς οὐκ ἔσομαι πενέστερος· ἐκεῖνα δὲ πράξας, ἀδικώτερος.

F 3 Κύρου

1 Baſ. κόλπῳ τοὺς. Xyl. inepte id legi monuit. Ald. recte κολπωτοὺς — nimirum quales ob laxitatem mollibus conveniunt.

2 Turn. βουλευομένους.

3 Petav. ἱμάτια, τίλλεσθαι δὲ τὴν τιάραν ἀποθεμένων, reliquis intermediis omiſſis.

4 Secutus ſum W. ſic dantem e Voſſ. & Mez. pro vulg. διαδοὺς. Pro praemiſſo κομίσαι Ald. νομίσαι.

Κύρȣ τȣ̃ νεωτέρȣ. Κῦρος ὁ νεώτερος, τȣ̀ς Λακεδαιμονίȣς συμμαχεῖν αὐτῷ [1] παρακαλῶν, ἔλεγε, τȣ̃ ἀδελφȣ̃ καρδίαν ἔχειν βαρυτέραν· καὶ πλείονα πίνειν ἄκρατον αὐτȣ̃ καὶ φέρειν βέλτιον· ἐκεῖνον δὲ μόλις ἐν ταῖς θήραις ἐπὶ τῶν ἵππων μένειν, ἐν δὲ τοῖς δεινοῖς μηδ' ἐπὶ τȣ̃ θρόνȣ. παρεκάλει δ' ἀποςέλλειν ἄνδρας [2] πρὸς αὐτὸν, ἐπαγγελλόμενος τοῖς μὲν πεζοῖς ἵππȣς δώσειν· τοῖς δὲ ἵππȣς ἔχȣσιν, ἅρματα· τοῖς δὲ χωρία κεκτημένοις, κώμας· τȣ̀ς δὲ κώμας ἔχοντας, πόλεων κυρίȣς ποιήσειν. ἀργυρίȣ δὲ καὶ χρυσίȣ ȣ̓κ ἀριθμὸν, ἀλλὰ ςαθμὸν, ἔσεσθαι.

Ἀρταξέρξȣ τȣ̃ Μνήμονος. Ἀρταξέρξης, ὁ τȣ́τȣ μὲν ἀδελφὸς, Μνήμων [3] δὲ καλȣ́μενος, ȣ̓ μόνον τοῖς ἐντυγχάνȣσιν ἑαυτὸν ἀνέδην παρεῖχεν, ἀλλὰ καὶ τὴν γυναῖκα τὴν γνησίαν ἐκέλευσε τῆς ἁρμαμάξης τὰς αὐλαίας περιελεῖν, ὅπως οἱ δεόμενοι κατὰ τὴν ὁδὸν ἐντυγχάνωσι.

Πένητος δ' ἀνθρώπȣ μῆλον ὑπερφυὲς μεγέθει προσενέγκαντος αὐτῷ, δεξάμενος ἡδέως· Νὴ τὸν Μίθραν, (εἶπεν) ȣ̓τός μοι δοκεῖ καὶ πόλιν ἂν ἐκ μικρᾶς μεγάλην πιςευθεὶς ἀπεργάσασθαι. Ἐν δὲ φυγῇ τινι τῆς ἀποσκευῆς αὐτȣ̃ διαρπαγείσης, ξηρὰ σῦκα καταφαγὼν [4] καὶ κρίθινον ἄρτον· Οἵας (εἶπεν) ἡδονῆς ἄπειρος ἤμην.

Παρυσάτιδος. Παρύσατις [5], ἡ Κύρȣ καὶ Ἀρταξέρξȣ μήτηρ, ἐκέλευε [6] τὸν πρὸς βασιλέα μέλλοντα

1 Petav. item Ald. & Baf. αὐτῷ.

2 Petav. ἄνδρας ἀποςέλλειν.

3 Petav. Μνήμην; & mox ἀνέδαν.

4 Xyl. legit ἀπεργάσασθαι.

5 Ald. Baf. Petav. fimplex φαγών. Sic quidem enotatur in ind. Frft. At in Ald. minime extat φαγὼν, fed ταφαγὼν, fyllaba κα, e praecedenti voce iteranda, omiffa.

6 Turn. & Petav. ἐκέλευσε. Porro Ald. & Baf. omittunt πρὸς ante βασιλέα. Steph. addidit. Xyl. jam de fuo fic correxit, &

τα μετὰ παῤῥησίας διαλέγεσθαι βυσσίνοις χρῆσθαι ῥήμασι.

Ὀρόντου. Ὀρόντης, ὁ βασιλέως Ἀρταξέρξου γαμβρὸς, ἀτιμίᾳ περιπεσὼν δι' ὀργὴν, καὶ καταγνωσθεὶς, ἔφη, καθάπερ οἱ τῶν ἀριθμητικῶν δάκτυλοι νῦν μὲν μυριάδας, νῦν δὲ μονάδα [1] τιθέναι δύνανται, τὸ αὐτὸ καὶ τοὺς τῶν βασιλέων φίλους νῦν μὲν τὸ πᾶν δύνασθαι, νῦν δὲ τοὐλάχιστον.

Μέμνονος. Μέμνων, ὁ [2] Ἀλεξάνδρῳ πολεμῶν ὑπὲρ Δαρείου, τοῦ βασιλέως, μισθοφόρον τινὰ, πολλὰ βλάσφημα καὶ ἀσελγῆ περὶ Ἀλεξάνδρου λέγοντα, τῇ λόγχῃ πατάξας· Ἐγώ σε (εἶπε) τρέφω μαχόμενον, ἀλλ' οὐ λοιδορούμενον, Ἀλεξάνδρῳ.

Αἰγυπτίων βασιλέων ἔθος. Οἱ Αἰγυπτίων βασιλεῖς κατὰ νόμον ἑαυτῶν τοὺς δικαστὰς ἐξώρκιζον, ὅτι, κἂν βασιλεύς τι προστάξῃ κρῖναι τῶν μὴ δικαίων, οὐ κρινοῦσι.

Πόλτυος. Πόλτυς, ὁ Θρᾳκῶν βασιλεὺς, ἐν τῷ Τρωϊκῷ πολέμῳ πρεσβευσαμένων πρὸς αὐτὸν ἅμα τῶν Τρώων καὶ τῶν Ἀχαιῶν, ἐκέλευσε τὸν Ἀλέξανδρον, ἀποδόντα τὴν Ἑλένην, δύο παρ' αὐτοῦ λαβεῖν καλὰς γυναῖκας.

Τήρου. Τήρης, ὁ Σιτάλκου πατὴρ, ἔλεγεν, ὁπότε σχολάζοι καὶ μὴ στρατεύοιτο, τῶν ἱπποκόμων οἴεσθαι μηδὲν διαφέρειν.

Κότυος. Κότυς τῷ δωρησαμένῳ πάρδαλιν ἀντεδωρήσατο λέοντα. Φύσει δ' ὢν ὀξὺς εἰς ὀργὴν, καὶ πικρὸς τῶν ἁμαρτανόντων ἐν ταῖς διακονίαις κολαστὴς, σκεύη



& in MS. invenit βασιλεῖ. Hinc error Erasmi est dijudicandus, qui verterat, *ut rex palam & libere locuturus*. E V. & Petav. ad βυσσίνοις enotatur: forsan βυρσίνοις. Pro Παρύσατις Bas. παρούσατις, quod Xyl. improbat, quasi esset παροῦσά τις.

1 Turn. & V. μονάδας.

2 abest ὁ a Petav. Mox idem ἐξώριζον pro ἐξώρκιζον.

σκεύη ποτὲ κεράμεα κομίσαντος ξένυ [1] εὔθραυςα καὶ λεπ]ὰ, πιθανῶς δὲ καὶ περιτ]ῶς εἰργασμένα γλυφαῖς τισι καὶ τορείαις, τῷ μὲν ξένῳ ἔδωκε δῶρα, τὰ δὲ σκεύη πάντα συνέτριψεν· Ὅπως (εἶπε) μὴ δι' ὀργὴν πικρότερον κολάζω τὲς συντρίβοντας.

Ἰδαθύρσε. Ἰδάθυρσος, ὁ Σκυθῶν βασιλεὺς, ἐφ' ὃν διέβη Δαρεῖος, ἔπειθε τὲς Ἰώνων τυράννες τὸ τῆ Ἴςρε ζεῦγμα λύσαντας ἀπαλλάτ]εσθαι· μὴ βεληθέντας δὲ, διὰ τὴν πρὸς Δαρεῖον πίςιν, ἀνδράποδα χρηςὰ καὶ ἄδραςα ἐκάλει.

Ἀτέε. Ἀτέας ἔγραφε πρὸς τὸν Φίλιππον· Σὺ μὲν ἄρχεις Μακεδόνων, ἀνθρώπων [2] μεμαθηκότων πολεμεῖν. ἐγὼ δὲ Σκυθῶν, οἳ καὶ λιμῷ καὶ δίψει [3] μάχεσθαι δύνανται. Τὲς δὲ πρέσβεις τῆ Φιλίππε, ψήχων τὸν ἵππον, ἠρώτησεν, εἰ τῆτο ποιεῖ Φίλιππος. Ἰσμηνίαν δὲ, τὸν ἄριςον αὐλητὴν, λαβὼν αἰχμάλωτον, ἐκέλευσεν αὐλῆσαι. θαυμαζόντων δὲ τῶν ἄλλων, αὐτὸς ὤμοσεν ἥδιον [4] ἀκέειν τῆ ἵππε χρεμετίζ.ντος.

Σκιλλέρε. Σκίλερος ὀγδοήκοντα παῖδας ἄῤῥενας ἀπολιπὼν, ἐπεὶ τελευτᾷν ἔμελλε, δέσμην ἀκοντίων ἑκάςῳ προτείνων, ἐκέλευσε [5] καταθραῦσαι· πάντων δ' ἀπαγορευσάντων, καθ' ἓν αὐτὸς ἐξελὼν ἀκόντι..ν, ἅπαντα ῥᾳδίως συνέκλασε· διδάσκων ἐκείνες, ὅτι συνεςῶτες ἰσχυροὶ διαμενῦσιν, ἀσθενεῖς δ' ἔσονται διαλυθέντες καὶ ςασιάσαντες.

Γέλωνος. Γέλων, ὁ τύραννος, ὅτε Καρχηδονίες πρὸς Ἱμέραν [6] κατεπολέμησεν, εἰρήνην ποιέμενος πρὸς αὐ-

1 Petav. ξένε κομίσαντος.
2 Bene monet W. legendum esse ἀνθρώποις.
3 Turn. & Petav. λοιμῷ καὶ δίψῃ.
4 Petav. Ald. & Bas. ἴδιον. Xyl. e MS. correxit. Idem observat, Ἀτέαν ab aliis dici Ἀντέαν; pro *Ismenia* legi alibi in Plut. *Aminian*, sicuti *Idathyrsum*, Ἰδάνθυρσον, & apud Strabonem *Idanthyrsis*.
5 Turn. ἐκέλευε.
6 V. & Petav. πρὸς ἡμέρᾳ.

αὐτὲς, ἠνάγκασεν ἐγγράψαι ταῖς ὁμολογίαις, ὅτι καὶ τὰ τέκνα παύσονται τῷ Κρόνῳ καταθύοντες.

Ἐξῆγε δὲ πολλάκις τὲς Συρακεσίες ὡς ἐπὶ ϛρατείαν καὶ φυτείαν, ὅπως ἥ τε χώρα βελτίων γένηται γεωργεμένη, καὶ μὴ χείρονες αὐτοὶ σχολάζοντες.

Αἰτῶν δὲ χρήματα τὲς πολίτας, ἐπεὶ ἐθορύβησαν, αἰτεῖν εἶπεν, ὡς ἀποδώσων, καὶ ἀπέδωκε μετὰ τὸν πόλεμον.

Ἐν δὲ συμποσίῳ λύρας περιφερομένης, ἁρμοζομένων τῶν ἄλλων ἐφεξῆς καὶ ᾀδόντων, αὐτὸς τὸν ἵππον εἰσαγαγεῖν κελεύσας, ἐλαφρῶς καὶ ῥᾳδίως ἀνεπήδησεν ἐπ' αὐτόν.

Ἱέρωνος. Ἱέρων, ὁ μετὰ Γέλωνα τύραννος, ἔλεγε, μηδένα τῶν παῤῥησιαζομένων πρὸς αὐτὸν ἄκαιρον εἶναι.

Τὲς δ' ἀπόῤῥητον λόγον ἐκφέροντας ἀδικεῖν ᾤετο καὶ τὲς [1] πρὸς ὃς ἐκφέρεσι· μισῶμεν γὰρ ἐ μόνον τὲς ἐκφέροντας, ἀλλὰ καὶ τὲς ἀκέσαντας, ἃ μὴ βελόμεθα.

Λοιδορηθεὶς δὲ ὑπό τινος εἰς τὴν δυσωδίαν τῆ ϛόματος, ᾐτιᾶτο τὴν αὐτῆ γυναῖκα μηδέποτε περὶ τέτε φράσασαν· ἡ δ' εἶπεν· Ὤμην γὰρ, τοιῆτον ἅπαντας τὲς ἄνδρας ὄζειν.

Πρὸς δὲ Ξενοφάνην, τὸν Κολοφώνιον, εἰπόντα, μόλις οἰκέτας δύο τρέφειν· Ἀλλ' Ὅμηρος, (εἶπεν) ὃν σὺ διασύρεις, πλείονας, ἢ μυρίες, τρέφει τεθνηκώς.

Ἐπίχαρμον δὲ, τὸν κωμῳδοποιὸν, ὅτι, τῆς γυναικὸς αὐτῆ παρέσης, εἶπέ τι τῶν ἀπρεπῶν, ἐζημίωσε [2].

Διονυσίε τῆ πρεσβυτέρε. Διονύσιος, ὁ πρεσβύτερος, κληρεμένων κατὰ γράμμα [3] τῶν δημηγορέντων,

F 5 ὡς

1 abest vulgo τὲς. Dedit id W. ex I. & Venet. Idem haud dubie a V. & Turn. datum fuit, sed falso notatum καὶ πρὸς τὲς ὃς.

2 Petav. ἐζημίωσαν.

3 Turn. & Petav. κατὰ γράμματα. Mox Petav. μοναρχήσομεν pro μοναρχήσω μέν.

ὡς ἔλαχε τὸ M, πρὸς τὸν εἰπόντα· Μωρολογεῖς, Διονύσιε· Μοναρχήσω μὲν οὖν, εἶπε· καὶ δημηγορήσας, εὐθὺς ᾑρέθη στρατηγὸς ὑπὸ τῶν Συρακουσίων.

Ἐπεὶ δ' ἐν ἀρχῇ τῆς τυραννίδος ἐπολιορκεῖτο, συστάντων ἐπ' αὐτὸν τῶν πολιτῶν, οἱ μὲν φίλοι συνεβούλευον ἀπαλλαγῆναι τῆς ἀρχῆς, εἰ μὴ βούλεται κρατηθεὶς ἀποθανεῖν· ὁ δὲ, βοῦν ἰδὼν σφαττόμενον ὑπὸ μαγείρου, καὶ πίπτοντα ταχέως· Εἶτ' οὐκ ἀηδές [1] ἐστιν, (εἶπεν) οὕτω βραχὺν ὄντα τὸν θάνατον φοβηθέντας ἡμᾶς ἀρχὴν ἐγκαταλιπεῖν τηλικαύτην [2];

Τὸν δὲ υἱὸν αἰσθόμενος, ᾧ τὴν ἀρχὴν ἀπολιπεῖν ἔμελλεν, ἀνδρὸς ἐλευθέρου διαφθείραντα γύναιον, ἠρώτησε μετ' ὀργῆς, τί τοιοῦτον αὐτῷ σύνοιδεν. εἰπόντος δὲ τοῦ νεανίσκου· Σὺ γὰρ οὐκ εἶχες πατέρα τύραννον· Οὐδὲ σὺ (εἶπεν) υἱὸν ἕξεις, ἐὰν μὴ παύσῃ ταῦτα ποιῶν.

Πάλιν δὲ πρὸς αὐτὸν εἰσελθὼν, καὶ θεασάμενος ἐκπωμάτων χρυσῶν καὶ ἀργυρῶν πλῆθος, ἀνεβόησεν· Οὐκ ἔστιν ἐν σοὶ τύραννος· ὃς, ἀφ' ὧν λαμβάνεις ἀπ' ἐμοῦ ποτηρίων τοσούτων, φίλον οὐδένα σεαυτῷ πεποίηκας.

Χρήματα δ' εἰσπράσσων τοὺς Συρακουσίους, εἶτα ὁρῶν ὀδυρομένους καὶ δεομένους, καὶ λέγοντας, ὡς οὐκ ἔχουσιν, ἐκέλευσεν ἕτερα πράττειν· καὶ δὶς, ἢ τρὶς, τοῦτο ἐποίησεν. ἐπεὶ δὲ προστάξας πλείονα, γελῶν ἤκουσεν αὐτοὺς καὶ σκώπτειν ἐν ἀγορᾷ περιϊόντας, ἐκέλευσε παύσασθαι. Νῦν γὰρ οὐδὲν ἔχουσιν, (εἶπεν) ὅτε [3] καταφρονοῦσιν ἡμῶν.

Τῆς δὲ μητρὸς αὐτοῦ παρήλικος μὲν οὔσης, δοθῆναι δ' ἀνδρὶ βουλομένης, ἔφη, τοὺς μὲν τῆς πόλεως βιάσασθαι νόμους δύνασθαι, τοὺς δὲ τῆς φύσεως μὴ δύνασθαι.

Πι-

1 Bene monet W. corrigendum esse εὐηθὲς, vel αἰδῶς cum Mez. — Xyl. vertit *indignum*.

2 Turn. & Petav. τοσαύτην.

3 Turn. ὅτι.

Πικρῶς δὲ τὲς ἄλλες κακέργες κολάζων, ἐφείδετο τῶν λωποδυτῶν· ὅπως παύσωνται [1] οἱ Συρακέσιοι τῦ δειπνεῖν καὶ μεθύσκεσθαι μετ' ἀλλήλων.

Ξένε δέ τινος ἰδίᾳ φράσειν [2] φάσκοντος αὐτῷ καὶ διδάξειν, ὅπως προειδῇ τὲς ἐπιβελεύοντας, ἐκέλευσεν εἰπεῖν. ἐπεὶ δὲ προσελθών· Δός (εἶπε) μοι τάλαντον, ἵνα δόξῃς ἀκηκοέναι τὰ σημεῖα τῶν ἐπιβελευόντων. ἔδωκε προσποιέμενος ἀκηκοέναι, καὶ ἐθαύμαζε τὴν μέθοδον [3] τῦ ἀνθρώπε.

Πρὸς δὲ τὸν πυθόμενον, εἰ σχολάζοι· Μηδέποτε (εἶπεν) ἐμοὶ τῦτο συμβαίη.

Δύο δ' ἀκέσας νεανίσκες πολλὰ βλάσφημα περὶ αὐτῦ καὶ τῆς τυραννίδος εἰρηκέναι παρὰ πότον, ἀμφοτέρες ἐκάλεσεν ἐπὶ δεῖπνον. ὁρῶν δὲ τὸν μὲν παροινῦντα καὶ ληρῦντα πολλὰ, τὸν δὲ σπανίως καὶ μετ' εὐλαβείας ταῖς πόσεσι χρώμενον, ἐκεῖνον μὲν ἀπέλυσεν, ὡς φύσει παροινήσαντα καὶ διὰ μέθην κακολογήσαντα· τῦτον δ' ἀνεῖλεν, ὡς δύσνεν καὶ πολέμιον ἐκ προαιρέσεως.

Αἰτιωμένων δέ τινων, ὅτι τιμᾷ καὶ προάγεται πονηρὸν ἄνθρωπον καὶ δυσχεραινόμενον ὑπὸ τῶν πολιτῶν· Ἀλλὰ καὶ βέλομαι (εἶπεν) εἶναι τὸν ἐμῦ [4] μᾶλλον μισέμενον.

Ἐπεὶ δὲ, Κορινθίων τοῖς πρέσβεσι δῶρα διδόντος αὐτῦ, παρῃτῦντο διὰ τὸν νόμον, ὃς ἐκ εἴα δῶρα λαμβάνειν παρὰ δυνάστε πρεσβεύοντας, δεινὸν ἔφη πρᾶγμα ποιεῖν αὐτὲς, ὃ μόνον αἱ τυραννίδες ἀγαθὸν ἔχεσιν ἀναιρῦντας [5], καὶ διδάσκοντας, ὅτι τὸ εὐπαθεῖν ὑπὸ τυράννε φοβερόν ἐστιν.

Ἀκέ-

1 Petav. παύσονται; & mox τὸ pro τῦ.

2 abest φράσειν a Petav.

3 Ald. & Bas. τὴν μέθον. Xyl. correxit e MS. — μῦθον dant Turn. & Bong. Infra Petav. ταῖς πόλεσι pro ταῖς πόσεσι.

4 absunt a Turn. & Petav. εἶπεν εἶναι τὸν ἐμῦ.

5 Verba δεινὸν ἔφ. πρ. usque ad ἀναιρῦντας absunt a Petav. Mox idem ὅτι καὶ τὸ pro ὅτι τό.

Ἀκέσας δέ τινα τῶν πολιτῶν χρυσίον ἔχειν οἴκοι κατορωρυγμένον, ἐκέλευσεν ἀνενεγκεῖν πρὸς αὐτόν. ἐπεὶ δὲ παρακλέψας ὀλίγον ὁ ἄνθρωπος, καὶ μεταςὰς εἰς ἑτέραν πόλιν, ἐωνήσατο χωρίον, μεταπεμψάμενος αὐτὸν, ἐκέλευσε πᾶν ἀπολαβεῖν, κεχρημένον [1] τῷ πλέτῳ, καὶ μηκέτι ποιϐντα τὸ χρήσιμον ἄχρηςον.

Διονυσίϐ τϐ νεωτέρϐ. Ὁ δὲ νεώτερος Διονύσιος ἔλεγε, πολλὺς τρέφειν σοφιςὰς, ϐ θαυμάζων ἐκείνϐς, ἀλλὰ δι' ἐκείνων [2] θαυμάζεσθαι βϐλόμενος.

Πολυξένϐ δὲ, τϐ διαλεκτικϐ, φήσαντος, αὐτὸν ἐξελέγχειν· Ἀμέλει τοῖς λόγοις, (εἶπεν) ἐγὼ δέ σε τοῖς ἔργοις ἐλέγχω· τὰ γὰρ σεαυτϐ καταλιπὼν, ἐμὲ καὶ τὰ ἐμὰ θεραπεύεις.

Ἐκπεσὼν δὲ [3] τῆς ἀρχῆς, πρὸς μὲν τὸν εἰπόντα· Τί σε Πλάτων καὶ φιλοσοφία ὠφέλησε; Τὸ τηλικαύτην (ἔφη) τύχης μεταβολὴν ῥᾳδίως ὑπομένειν.

Ἐρωτηθεὶς δὲ, πῶς ὁ μὲν πατὴρ αὐτϐ, πένης ὢν καὶ ἰδιώτης, ἐκτήσατο τὴν Συρακϐσίων ἀρχὴν, αὐτὸς δ' ἔχων, καὶ τυράννϐ παῖς ὢν, πῶς ἀπέβαλεν· Ὁ μὲν πατὴρ, (ἔφη) μισϐμένης δημοκρατίας, ἐπέςη τοῖς πράγμασιν· ἐγὼ δὲ, φθονϐμένης τυραννίδος.

Ὑπ' ἄλλϐ δὲ τὸ αὐτὸ τϐτο ἐρωτηθείς· Ὁ πατὴρ (ἔφη) μοι τὴν τυραννίδα τὴν ἑαυτϐ κατέλιπεν, ϐ τὴν τύχην.

Ἀγαθοκλέϐς. Ἀγαθοκλῆς υἱὸς ἦν κεραμέως· γενόμενος δὲ κύριος Σικελίας, καὶ βασιλεὺς ἀναγορευθεὶς, εἰώθει κεράμεα ποτήρια τιθέναι παρὰ τὰ χρυσᾶ, καὶ τοῖς νέοις ἐπιδεικνύμενος λέγειν, ὅτι τοιαῦτα ποιῶν πρότερον, νῦν ταῦτα ποιεῖ διὰ τὴν ἐπιμέλειαν καὶ τὴν ἀνδρίαν.

Πο-

1 Turn. & Petav. ἠργμαῖνον χρῆσθαι.

2 Turn. δι' ἐκείνϐς.

3 Turn. & Petav. δ' ἐκ τῆς ἀρχῆς. Mox Petav. μεταβολὴν τύχης pro τύχ. μεταβ.

Πολιορκȣ̃ντος δὲ πόλιν αὐτȣ̃, τῶν ἀπὸ τȣ̃ τείχȣς τινὲς ἐλοιδορȣ̃ντο, λέγοντες, ὅτι, Ὦ κεραμεῦ, τὸν μισθὸν πόθεν [1] ἀποδώσεις τοῖς ςρατιώταις; ὁ δὲ πρᾴος [2] καὶ μειδιῶν εἶπεν· Αἴκα ταύταν ἕλω. λαβὼν δὲ κατὰ κράτος [3], ἐπίπρασκε τȣ̀ς αἰχμαλώτȣς, λέγων· Ἐὰν με πάλιν λοιδορῆτε [4], πρὸς τȣ̀ς κυρίȣς ὑμῶν ἔςαι μοι ὁ λόγος.

Ἐγκαλȣ́ντων δὲ τοῖς ναύταις αὐτȣ̃ τῶν Ἰθακησίων, ὅτι τῇ νήσῳ προσβαλόντες, τῶν θρεμμάτων τινὰ ἀπέσπασαν· Ὁ δὲ ὑμέτερος (ἔφη) βασιλεὺς ἐλθὼν πρὸς ἡμᾶς, ȣ̓ μόνον τὰ πρόβατα λαβὼν, ἀλλὰ καὶ τὸν ποιμένα προσεκτυφλώσας ἀπῆλθε.

Δίωνος. Δίων, ὁ Διονύσιον ἐκβαλὼν ἐκ τῆς τυραννίδος, ἀκȣ́σας, ἐπιβȣλεύειν αὐτῷ Κάλλιππον, ᾧ μάλιςα τῶν φίλων καὶ ξένων [5] ἐπίςευεν, ȣ̓χ ὑπέμεινεν ἐλέγξαι, βέλτιον εἶναι φήσας ἀποθανεῖν, ἢ ζῆν, μὴ μόνον τȣ̀ς πολεμίȣς, ἀλλὰ καὶ τȣ̀ς φίλȣς, φυλαττόμενον.

Ἀρχελάȣ. Ἀρχέλαος, αἰτηθεὶς παρὰ πότον ποτήριον χρυσȣ̃ν ὑπό τινος τῶν συνήθων, ȣ̓ μὴν ἐπιεικῶν, ἐκέλευσεν Εὐριπίδῃ τὸν παῖδα δȣ̃ναι. θαυμάσαντος δὲ τȣ̃ ἀνθρώπȣ· Σὺ μὲν γὰρ (εἶπεν) αἰτεῖν, ȣ̃τος δὲ λαμβάνειν ἄξιός ἐςι καὶ μὴ αἰτῶν.

Ἀδολέσχȣ δὲ κȣρέως ἐρωτήσαντος αὐτόν· Πῶς σε κείρω; Σιωπῶν, ἔφη.

Τȣ̃ δ' Εὐριπίδȣ τὸν καλὸν Ἀγάθωνα περιλαμβάνοντος ἐν τῷ συμποσίῳ καὶ καταφιλȣ̃ντος ἤδη γενειῶντα,

1 Turn. & Petav. πῶς. Sic & J. Venet. Voss. — W. susp. veram esse lectionem πότε.

2 Petav. πρᾴως. Mox idem ταῦτα pro ταύταν; Turn. ταύταν.

3 R. cum Frst. absque κατά. Restitui e lectione priorum edd.

4 Turn. & Petav. ἐάν μοι πάλιν λοιδορεῖται.

5 Petav. τῶν ξένων καὶ φίλων.

τα, πρὸς τὰς φίλες εἶπε· Μὴ θαυμάσητε· τῶν γὰρ καλῶν καὶ τὸ μετόπωρον καλόν ἐστιν.

Ἐπεὶ δὲ Τιμόθεος, ὁ κιθαρῳδὸς, ἐλπίσας πλείονα, λαβὼν δ' ἐλάττονα, δῆλος ἦν ἐγκαλῶν αὐτῷ [1], καί ποτε ᾄδων τατὶ τὸ κομμάτιον· Σὺ δὲ τὸν γηγενέταν ἄργυρον αἰνεῖς· ἀπεσήμανεν εἰς ἐκεῖνον· ὑπέκρουσεν ὁ Ἀρχέλαος αὐτῷ· Σὺ δὲ γ' αἰτεῖς.

Ὕδωρ δέ τινος αὐτῷ καταδκεδάσαντος, ὑπὸ τῶν φίλων παροξυνόμενος ἐπὶ τὸν ἄνθρωπον· Ἀλλ' ἐκ ἐμὲ, (φησὶν) ἀλλ' ἐκεῖνον κατεσκέδασεν, ὃν ἔδοξεν ἐμὲ [2] εἶναι.

Φιλίππου, τοῦ Ἀλεξάνδρου πατρός. Φίλιππον, τὸν Ἀλεξάνδρου πατέρα, Θεόφραστος ἱστόρηκεν, τῶν μεταξὺ βασιλέων οὐ μόνον τῇ τύχῃ μείζονα, ἀλλὰ καὶ τῷ τρόπῳ γενέσθαι μετριώτερον [3].

Ἀθηναίους μὲν οὖν μακαρίζειν [4] ἔλεγεν, εἰ καθ' ἕκαστον

1 Turn. αὐτόν. Mox id. cum Petav. ἀπεσήμαινεν & ἀπέκρουσεν.

2 abest ἐμὲ a Petav. Omisit etiam Philelphus: *sed illum, quem esse existimavit.*

3 Vulgo hic locus sic exstat: οὐ μόνον μεταξὺ τῶν βασιλέων, ἀλλὰ καὶ τῇ τύχῃ καὶ τῷ τρόπῳ, μείζονα γενέσθαι καὶ μετριώτερον. Sola Henr. Steph. editio mutatum vocum ordinem sistit, post τῶν βασιλέων dans τῇ τύχῃ, & in seqq. haec habens ἀλλὰ καὶ τῷ τρόπῳ μείζονα γενέσθαι καὶ μετριώτερον. Hinc eo minus dubitavi, W. sequi, & ex ejus mente reliqua ordinare, quantum necesse videbatur. Xyl. de voce μεταξὺ dubius, sententiam flagitare monet μεγαλειότητι, δόξῃ, δυνάμει, idque vertendo exprimit: non majestate modo regni aliis regibus praestitisse, sed fortuna etiam, moribusque & moderatione. Ad eundem fere modum Philelphus: non solum genere & dignitate regia, sed & fortuna & moribus majorem ceteris regibus moderatioremque extitisse: — nec non Raph. Regius: non solum dignitate, sed etiam prudentia & moribus aliis regibus praestitisse. Voss. pro μεταξὺ in margine μὲν τάξει; & Mez. τῇ τάξει.

4 Ald. & Bas. μακαρίζων. Xyl. correxit.

σον ἐνιαυτὸν αἱρεῖσθαι δέκα στρατηγὲς εὑρίσκεσιν· αὐτὸς γὰρ ἐν πολλοῖς ἔτεσιν ἕνα μόνον στρατηγὸν εὑρηκέναι, Παρμενίωνα.

Πολλῶν δὲ κατορθωμάτων αὐτῷ καὶ καλῶν ἐν μιᾷ ἡμέρᾳ προσαγγελθέντων· Ὦ τύχη, (εἶπεν) μικρόν τι μοι κακὸν ἀντὶ [1] τοσέτων καὶ τηλικέτων ἀγαθῶν ποίησον.

Ἐπεὶ δὲ νικήσαντι τὰς Ἕλληνας αὐτῷ συνεβέλευον ἔνιοι φρεραῖς τὰς πόλεις κατέχειν, ἔφη, μᾶλλον πολὺν χρόνον ἐθέλειν χρηστὸς, ἢ δεσπότης ὀλίγον, καλεῖσθαι.

Τὸν δὲ λοίδορον ἐξελάσαι τῶν φίλων κελευόντων, ἐκ ἔφη ποιήσειν, ἵνα μὴ περιϊὼν ἐν πλείοσι κακῶς λέγῃ.

Σμικύθε δὲ Νικάνορα διαβάλλοντος [2], ὡς ἀεὶ κακῶς λέγοντα τὸν Φίλιππον, καὶ τῶν ἑταίρων οἰομένων, δεῖν μεταπέμπεσθαι καὶ κολάζειν· Ἀλλὰ μὴν (ἔφη) Νικάνωρ ἐ φαυλότατός ἐστι Μακεδόνων· ἐπισκεπτέον ἖ν, μή τι γένηται παρ' ἡμᾶς. ὡς ἖ν ἔγνω τὸν Νικάνορα θλιβόμενον ἰσχυρῶς ὑπὸ πενίας, ἠμελημένον δὲ ὑπ' αὐτἕ, προσέταξε δωρεάν τινα αὐτῷ δοθῆναι. Πάλιν ἖ν τἕ Σμικύθε λέγοντος, ὅτι θαυμαστὰ περὶ αὐτἕ πρὸς ἅπαντας ἐγκώμια λέγων ὁ Νικάνωρ διατελεῖ· Ὁρᾶτε ἖ν, (εἶπεν) ὅτι πρὸς ἡμᾶς αὐτὲς ἐστι καὶ τὸ κακῶς ἀκέειν.

Τοῖς δὲ τῶν Ἀθηναίων δημαγωγοῖς ἔφη χάριν ἔχειν, ὅτι λοιδορἕντες αὐτὸν, βελτίονα ποιἕσι καὶ τῷ λόγῳ καὶ τῷ ἤθει. Πειρῶμαι γὰρ αὐτὲς ἅμα καὶ τοῖς λόγοις καὶ τοῖς ἔργοις ψευδομένες ἐλέγχειν.

Τῶν δ' Ἀθηναίων, ὅσοι περὶ Χαιρώνειαν ἑάλωσαν, ἀφεθέντων ὑπ' αὐτἕ δίχα λύτρων, τὰ δὲ ἱμάτια καὶ στρώματα προσαπαιτέντων, καὶ τοῖς Μακεδόσιν ἐγκαλέντων,

1 Post ἀντὶ inferunt τῶν Turn. & Petav.

2 Petav. διαβαλλόντος; uti paulo ante τὸν φίλον pro τῶν φίλων; & mox γίνηται pro γένηται.

των, γελάσας ὁ Φίλιππος εἶπεν· Οὐ δοκοῦσιν ὑμῖν Ἀθηναῖοι νομίζειν ἐν ἀστραγάλοις ὑφ' ἡμῶν νενικῆσθαι;

Τῆς δὲ κλειδὸς αὐτῷ κατεαγείσης ἐν πολέμῳ, καὶ τοῦ θεραπεύοντος ἰατροῦ πάντως τι καθ' ἡμέραν αἰτοῦντος· Λάμβανε [1], (ἔφη) ὅσα βούλει· τὴν γὰρ κλεῖν ἔχεις.

Δυεῖν δ' ἀδελφοῖν, Ἀμφοτεροῦ καὶ Ἑκατεροῦ [2], τὸν μὲν Ἑκατερὸν ἔμφρονα καὶ πρακτικὸν ὁρῶν, τὸν δ' Ἀμφοτερὸν εὐήθη καὶ ἀβέλτερον, ἔφη, τὸν μὲν Ἑκατερὸν, Ἀμφότερον εἶναι, τὸν δ' Ἀμφοτερὸν, οὐδέτερον.

Τοὺς δὲ συμβουλεύοντας αὐτῷ, πικρῶς χρῆσθαι τοῖς Ἀθηναίοις, ἀτόπους ἔλεγεν εἶναι, κελεύοντας ἄνθρωπον ὑπὲρ δόξης πάντα ποιοῦντα καὶ πάσχοντα, ἀποβαλεῖν τὸ τῆς δόξης θέατρον.

Γενόμενος δὲ κριτὴς δυεῖν πονηροῖν [3], ἐκέλευσε τὸν μὲν φεύγειν ἐκ Μακεδονίας, τὸν δὲ ἕτερον, διώκειν.

Μέλλων δὲ καταστρατοπεδεύειν ἐν χωρίῳ καλῷ, καὶ πυθόμενος, ὅτι χόρτος οὐκ ἔστι τοῖς ὑποζυγίοις· Οἷος (εἶπεν) ἡμῶν ὁ βίος [4] ἐστὶν, εἰ καὶ πρὸς τὸν τῶν ὄνων καιρὸν ὀφείλομεν ζῆν.

Φρούριον δέ τι βουλόμενος λαβεῖν ὀχυρὸν, ὡς ἀπήγγειλαν οἱ κατάσκοποι, χαλεπὸν εἶναι παντάπασι καὶ ἀνάλωτον, ἠρώτησεν, εἰ χαλεπὸν οὕτως ἐστὶν, ὥστε μηδ' ὄνον προσελθεῖν χρυσίον κομίζοντα;

Τῶν δὲ περὶ Λασθένην τὸν Ὀλύνθιον ἐγκαλούντων καὶ ἀγανακτούντων, ὅτι προδότας αὐτοὺς ἔνιοι τῶν περὶ τὸν

1 Petav. post λάμβανε addit γάρ.

2 Turn. ἀδελφῶν ἀμφοτέρου καὶ κρατεροῦ; Petav. ἑκατεροῦ καὶ κρατεροῦ. Etiam Xyl. notat, alterum fratrum duorum in scripto constanter dici Κρατερὸς; sed praefert Ἑκατερός. *Raph. Reg.* retinet *Craterus*. Sic & Turn. mox τὸ μὲν κρατερὸν. Quae post ἔφη sequuntur, desunt in cod. Petav.

3 Petav. πονηρῶν.

4 Petav. ὁ βίος ἡμῶν.

τὸν Φίλιππον ἀποκαλοῦσι, σκαιοὺς ἔφη φύσει καὶ ἀγροίκους εἶναι Μακεδόνας, καὶ τὴν σκάφην, σκάφην [1] λέγοντας.

Τῷ δὲ υἱῷ παρῄνει πρὸς χάριν ὁμιλεῖν τοῖς Μακεδόσι, κτώμενον ἑαυτῷ τὴν παρὰ τῶν πολλῶν δύναμιν [2], ἕως ἔξεστι, βασιλεύοντος ἄλλου, φιλάνθρωπον εἶναι.

Συνεβούλευε δὲ τῶν ἐν ταῖς πόλεσι δυνατῶν [3] καὶ τοὺς ἀγαθοὺς φίλους κτᾶσθαι καὶ τοὺς πονηρούς, εἶτα οἷς μὲν χρῆσθαι, οἷς δ' ἀποχρῆσθαι.

Πρὸς δὲ Φίλωνα, τὸν Θηβαῖον, εὐεργέτην αὐτοῦ γενόμενον καὶ ξένον, ὁπηνίκα διῆγεν ἐν Θήβαις, ὁμηρεύων, ὕστερον δὲ μηδεμίαν παρ' αὐτοῦ δωρεὰν προσδεχόμενον· Μή με (εἶπεν) ἀφαιροῦ τὸ ἀνίκητον, εὐεργεσίας καὶ χάριτος ἡττώμενον.

Ληφθέντων δὲ [4] πολλῶν αἰχμαλώτων, ἐπίπρασκεν αὐτοὺς ἀνεσταλμένῳ τῷ χιτῶνι καθήμενος οὐκ εὐπρεπῶς· εἷς οὖν τῶν πωλουμένων ἀνεβόησε· Φεῖσαί μου, Φίλιππε· πατρικὸς [5] γάρ εἰμί σου φίλος. ἐρωτήσαντος δὲ τοῦ Φιλίππου· Πόθεν, ὦ ἄνθρωπε, γενόμενος, καὶ πῶς; Ἐγγὺς (ἔφη) φράσαι σοι βούλομαι προσελθών. ὡς οὖν προσήχθη· Μικρὸν (ἔφη) κατωτέρω τὴν χλαμύδα ποίησον· ἀσχημονεῖς γὰρ οὕτω καθήμενος. καὶ ὁ Φίλιππος· Ἄφετε αὐτόν· (εἶπεν) ἀληθῶς γὰρ εὔνους ὢν καὶ φίλος ἐλάνθανεν.

Ἐπεὶ δὲ ὑπό τινος ξένου κληθεὶς ἐπὶ δεῖπνον, ἐν ὁδῷ πολλοὺς ἐπήγετο, καὶ τὸν ξένον ἑώρα θορυβούμενον, (ἦν γὰρ οὐχ ἱκανὰ τὰ παρεσκευασμένα) προπέμπων τῶν φίλων ἑκάστῳ, πλακοῦντι χώραν ἐκέλευεν ἀπολιπεῖν. οἱ δὲ

1 Posterius σκάφην omittit W.

2 W. susp. εὐμένειαν vel εὔνοιαν.

3 Petav. τὸν ἐν ταῖς πόλεσι δυνατόν.

4 R. cum Frst. & Maitt. καὶ pro δέ. Restitui hoc ex consensu priorum edd.

5 Petav. πατρικῆς.

δὲ πειθόμενοι καὶ προσδοκῶντες, οὐκ ἥδιον πολλὰ, καὶ πᾶσιν οὕτως ἤρεσεν [1].

Ἱππάρχου, τοῦ Εὐβοέως, ἀποθανόντος, δῆλος ἦν βαρέως φέρων· εἰπόντος δέ τινος· Ἀλλὰ μὴν ὡραῖος ὢν ἐκεῖνος ἀποτέθνηκεν· Ἑαυτῷ γε, (εἶπεν) ἐμοὶ δὲ ταχέως. ἔφθη γὰρ τελευτῆσαι, πρὶν ἢ παρ' ἐμοῦ χάριν ἀξίαν τῆς φιλίας ἀπολαβεῖν.

Πυθόμενος δ' ἐγκαλεῖν αὐτῷ τὸν Ἀλέξανδρον, ὅτι παῖδας ἐκ πλειόνων ποιεῖται γυναικῶν· Οὐκοῦν (ἔφη) πολλοὺς ἔχων περὶ τῆς βασιλείας ἀνταγωνιστὰς γένου καλὸς κἀγαθὸς, ἵνα μὴ δι' ἐμὲ τῆς βασιλείας τύχῃς, ἀλλὰ διὰ σεαυτόν· ἐκέλευε [2] δ' αὐτὸν Ἀριστοτέλει προσέχειν, καὶ φιλοσοφεῖν· Ὅπως (ἔφη) μὴ πολλὰ τοιαῦτα πράξῃς, ἐφ' οἷς ἐγὼ πεπραγμένοις μεταμέλομαι.

Τῶν δ' Ἀντιπάτρου φίλων τινὰ κατατάξας εἰς τοὺς δικαστὰς, εἶτα τὸν πώγωνα βαπτόμενον αἰσθανόμενος καὶ τὴν κεφαλὴν, ἀνέστησεν, εἰπὼν, τὸν ἄπιστον ἐν θριξὶ, μὴ νομίζειν ἀξιόπιστον ἐν πράγμασι.

Μαχαίτᾳ δέ τινι κρίνων δίκην καὶ ὑπονυστάζων, οὐ πάνυ προσεῖχε τοῖς δικαίοις, ἀλλὰ κατέκρινε. ἐκείνου δ' ἀναβοήσαντος ἐκκαλεῖσθαι τὴν κρίσιν, διοργισθείς· Ἐπὶ τίνα; εἶπε· καὶ ὁ Μαχαίτας· Ἐπί σε, βασιλεῦ, αὐτὸν, ἂν ἐγρηγόρως καὶ προσέχων ἀκούῃς. τότε μὲν οὖν ἀνέστη. γενόμενος δὲ μᾶλλον ἐφ' ἑαυτῷ [3], καὶ γνοὺς ἀδικούμενον τὸν Μαχαίταν, τὴν μὲν κρίσιν οὐκ ἔλυσε, τὸ δὲ τίμημα τῆς δίκης αὐτὸς ἐξέτισεν.

Ἐπεὶ δὲ Ἅρπαλος ὑπὲρ συγγενοῦς καὶ οἰκείου Κράτητος, ἀδικημάτων δίκην ἔχοντος, ἠξίου τὴν ζημίαν εἰσενεγκεῖν, ἀφεθῆναι δὲ τῆς κρίσεως, ἵνα μοι λοιδορηθῇ· Βέλτιόν ἐστιν (εἶπε) τοῦτον αὐτὸν, ἢ ἡμᾶς διὰ τοῦτον, κακῶς ἀκούειν.

Ἀγα-

1 Turn. & Bong. ἤκεσεν; Ald. & Bas. ἤρεσκεν.

2 Turn. & Petav. ἐκέλευσε; Mox Petav. μεταμέλωμαι.

3 Sic e Turn. & Petav. dandum censui, quod & W. dedit, adsentientibus J. Venet. Voss. Jun. Mez, Vulgo ἐφ' ἑαυτοῦ.

Ἀγανακτέντων δὲ τῶν φίλων, ὅτι συρίττεσιν αὐτὸν ἐν Ὀλυμπίοις εὖ πεπονθότες οἱ Πελοποννήσιοι· Τί ἂν, (εἶπεν) ἐὰν κακῶς πάθωσι;

Κοιμηθεὶς δὲ πλείονα χρόνον ἐπὶ στρατείας, εἶτα διαναστάς· Ἀσφαλῶς (εἶπεν) ἐκάθευδον· Ἀντίπατρος γὰρ ἐγρηγόρει.

Πάλιν δὲ ἡμέρας καθεύδοντος αὐτῦ, καὶ τῶν ἠθροισμένων ἐπὶ θύραις Ἑλλήνων ἀγανακτέντων καὶ ἐγκαλέντων, ὁ Παρμενίων· Μὴ θαυμάσητε, (εἶπεν) εἰ [1] καθεύδει νῦν Φίλιππος· ὅτε γὰρ ἐκαθεύδετε ὑμεῖς, ἔτος ἐγρηγόρει.

Ψάλτην δέ τινα βελομένε παρὰ δεῖπνον ἐπανορθῦν αὐτῦ καὶ λαλεῖν περὶ κρεμάτων, ὁ ψάλτης· Μὴ γένοιτό σοι (εἶπεν) κακῶς ἔτως, ὦ βασιλεῦ [2], ἵνα ταῦτα ἐμῦ βέλτιον εἰδῇς.

Ἐπεὶ δὲ, διενεχθέντος αὐτῦ πρὸς Ὀλυμπιάδα, τὴν γυναῖκα, καὶ τὸν υἱὸν, ἧκε Δημάρατος ὁ Κορίνθιος, ἐπυνθάνετο, πῶς πρὸς ἀλλήλες ἔχεσιν οἱ Ἕλληνες. καὶ ὁ Δημάρατος· Πάνυ γῦν (ἔφη) σοὶ περὶ τῆς τῶν Ἑλλήνων ὁμονοίας ὁ λόγος ἐστὶν, ἔτω πρός σε τῶν οἰκειοτάτων ἐχόντων· ὁ δὲ συμφρονήσας ἐπαύσατο τῆς ὀργῆς, καὶ διηλλάγη πρὸς αὐτές.

Πρεσβύτιδος δὲ πενιχρᾶς ἀξιέσης ἐπ᾽ αὐτῦ κριθῆναι, καὶ πολλάκις ἐνοχλέσης, ἔφη, μὴ σχολάζειν. ἡ δὲ πρεσβῦτις ἐγκραγῦσα· Καὶ μὴ βασίλευε, εἶπεν. ὁ δὲ θαυμάσας τὸ ῥηθὲν, ἐ μόνον ἐκείνης, ἀλλὰ καὶ τῶν ἄλλων, εὐθὺς διήκεσεν.

Ἀλεξάνδρε. Ἀλέξανδρος, ἔτι παῖς ὢν, πολλὰ τῦ Φιλίππε κατορθῦντος, ἐκ ἔχαιρεν, ἀλλὰ πρὸς τὲς συντρεφομένες ἔλεγε παῖδας· Ἐμοὶ δὲ ὁ πατὴρ ἐδὲν [3] απο-



1 abest hoc εἰ ab Ald. & Baſ. Addidit Xyl. e MS.

2 Petav. μὴ γένοιτό σοι, βασιλεῦ, κακῶς ἔτως.

3 Ald. & Baſ. ἐθὲν; Mox Petav. ὅτι σοι ταῦτα; & ἔχομεν pro ἔχω μὲν; deinde idem cum Turn. μηδὲν pro ἐδὲν.

ἀπολείψει. τῶν δὲ παίδων λεγόντων, ὅτι Ταῦτα σοὶ κτᾶται· Τί δ' ὄφελος, (εἶπεν) ἐὰν ἔχω μὲν πολλὰ, πράξω δὲ οὐδέν;

Ἐλαφρὸς δ' ὢν καὶ ποδώκης, καὶ παρακαλούμενος ὑπὸ τοῦ πατρὸς Ὀλύμπια δραμεῖν στάδιον· Εἴγ', ἔφη, βασιλεῖς ἕξειν ἔμελλον ἀνταγωνιστάς.

Ἀχθείσης δὲ παιδίσκης πρὸς αὐτὸν, ὡς συναναπαυσομένης περὶ ἑσπέραν βαθεῖαν, ἠρώτησεν, ὅτι τηνικαῦτα. τῆς δ' εἰπούσης· Περιέμενον γὰρ τὸν ἄνδρα κατακλῖναι· πικρῶς ἐπετίμησε τοῖς παισὶν, ὡς μικροῦ δι' αὐτοὺς μοιχὸς γενόμενος.

Ἐπιθυμιῶντι δὲ τοῖς θεοῖς ἀφειδῶς αὐτῷ, καὶ πολλάκις ἐπιδραττομένῳ [1] τοῦ λιβανωτοῦ, παρὼν Λεωνίδης, ὁ παιδαγωγός· Οὕτως, εἶπεν, ὦ παῖ, δαψιλῶς ἐπιθυμιάσεις, ὅταν τῆς λιβανωτοφόρου κρατήσῃς. ὡς οὖν ἐκράτησεν, ἔπεμψεν ἐπιστολὴν πρὸς αὐτόν· Ἀπέσταλκά σοι τάλαντα ἑκατὸν [2] λιβανωτοῦ καὶ κασίας, ἵνα μηκέτι μικρολογῇ πρὸς τοὺς θεοὺς, εἰδὼς, ὅτι καὶ τῆς ἀρωματοφόρου κρατοῦμεν.

Μέλλων δὲ τὴν ἐπὶ Γρανίκῳ μάχην μάχεσθαι, παρεκάλει τοὺς Μακεδόνας ἀφθόνως δειπνεῖν, καὶ πάντα φέρειν εἰς μέσον, ὡς αὔριον δειπνήσοντας [3] ἐκ τῶν πολεμίων.

Περίλλου δέ τινος τῶν φίλων αἰτήσαντος προῖκα τοῖς θυγατρίοις, ἐκέλευσε πεντήκοντα τάλαντα λαβεῖν. αὐτοῦ δὲ φήσαντος, ἱκανὰ εἶναι δέκα. Σοί γε, ἔφη, λαβεῖν· ἐμοὶ δ' οὐχ ἱκανὰ δοῦναι.

Ἀναξάρχῳ δὲ, τῷ φιλοσόφῳ, δοῦναι τὸν διοικητὴν ἐκέλευσεν, ὅσον ἂν αἰτήσῃ. τοῦ δὲ διοικητοῦ φήσαντος, ὡς ἑκατὸν αἰτεῖται τάλαντα· Καλῶς, ἔφη, ποιεῖ, γινώ-

1 Petav. ἐπιδραττομένου.
2 abest ἑκατὸν a Petav. Mox idem μικρολογεῖ; Turn. περὶ pro πρός.
3 Petav. δειπνήσοντας.

γινώσκων, ὅτι φίλον ἔχει καὶ δυνάμενον [1] τηλικαῦτα δωρεῖσθαι καὶ βελόμενον.

Ἐν δὲ τῇ Μιλήτῳ πολλὰς ἀνδριάντας ἀθλητῶν θεασάμενος Ὀλύμπια καὶ Πύθια νενικηκότων· Καὶ πῦ τὰ τηλικαῦτα ἦν σώματα, (ἔφη) ὅτε [2] οἱ βάρβαροι ὑμῶν τὴν πόλιν ἐπολιόρκυν;

Τῆς δὲ τῶν Καρῶν βασιλίσσης, Ἄδας, ὄψα καὶ πέμματα παρεσκευασμένα περιττῶς διὰ δημιυργῶν καὶ μαγείρων φιλοτιμυμένης ἀεὶ πέμπειν πρὸς αὐτὸν, ἔφη, κρείττονας ἔχειν αὐτὸν ὀψοποιὺς, πρὸς μὲν ἄριςον τὴν νυκτοπορίαν· πρὸς δὲ δεῖπνον τὴν ὀλιγαριςίαν.

Ἐπεὶ δὲ, παρεσκευασμένων πάντων πρὸς μάχην, ἠρώτησαν οἱ ςρατηγοί· Μή τι πρὸς τύτοις ἕτερον· Οὐδὲν, (εἶπεν) ἢ ξυρᾷν τὰ γένεια τῶν Μακεδόνων· θαυμάσαντος δὲ τῦ Παρμενίωνος· Οὐκ οἶδας, εἶπεν, ὅτι βελτίων ὑκ ἔςιν ἐν μάχῃ λαβὴ πώγωνος;

Δαρείυ διδόντος αὐτῷ μυρία τάλαντα καὶ τὴν Ἀσίαν νείμασθαι πρὸς αὐτὸν ἐπίσης, καὶ Παρμενίωνος εἰπόντος· Ἔλαβον ἂν, εἰ Ἀλέξανδρος ἤμην· Κἀγὼ, νὴ Δία, εἶπεν, εἰ Παρμενίων ἤμην. ἀπεκρίνατο δὲ Δαρείῳ, μήτε τὴν γῆν ἡλίυς δύο, μήτε τὴν Ἀσίαν δύο βασιλεῖς ὑπομένειν.

Μέλλοντι δ' αὐτῷ περὶ τῶν ὅλων ἐν Ἀρβήλοις κινδυνεύειν πρὸς ἑκατὸν μυριάδας ἀντιτεταγμένας, προσέςησαν [3] οἱ φίλοι, τῶν ςρατιωτῶν κατηγορῦντες, ὡς ἐν ταῖς σκηναῖς διαλαλύντων καὶ συντιθεμένων, ὅπως μηδὲν τῶν λαφύρων εἰς τὸ βασιλικὸν ἀνοίσυσιν, ἀλλ' αὐτοὶ κερδανῦσιν· ὁ δὲ μειδιάσας· Ἀγαθὰ, φησὶν, ἀγγέλλετε, νικᾷν γὰρ ἀνδρῶν, ὐ φεύγειν, παρεσκευασμένων ἀκέω διαλογισμύς. Καὶ προσιόντες αὐτῷ πολλοὶ τῶν ςρα-



1 Ald. & Baf. δυνάμενοι.
2 Petav. ἔφη, ἦν σώματα, ὅτε.
3 Petav. προσῄεσαν. Eft in edit. peculiari H. Steph. προσήεσαν.

ϛρατιωτῶν ἔλεγον· Ὦ βασιλεῦ, θάῤῥει, καὶ μὴ φοβῦ τὸ πλῆθος τῶν πολεμίων. αὐτὸν γὰρ ἡμῶν τὸν γράσσον ὐχ ὑπομενῦσι.

Παραταττομένυ δὲ τῦ ϛρατεύματος, ἰδὼν τινα τῶν ϛρατιωτῶν τὸ ἀκόντιον ἐναγκυλώμενον, ἐξέωσε τῆς φάλαγγος, ὡς ἄχρηϛον, ὃς παρασκευάζεται δὴ νῦν, ὅτε δεῖ χρῆσθαι [1] τοῖς ὅπλοις.

Ἐπιϛολὴν δὲ παρὰ τῆς μητρὸς ἀναγινώσκων ἀποῤῥήτυς λόγυς [2] κατ' Ἀντιπάτρυ καὶ διαβολὰς ἔχυσαν, ἅμα τῦ Ἡφαιϛίωνος (ὥσπερ εἰώθει) συναναγινώσκοντος [3], ὐκ ἐκώλυσεν. ὡς δ' ἀνέγνω, τὸν δακτύλιον ἀφελόμενος τὸν ἑαυτῦ, τῷ ϛόματι τῷ ἐκείνυ τὴν σφραγῖδα ἐπέθηκεν [4].

Ἐν δ' Ἄμμωνος ὑπὸ τῦ προφήτυ παῖς Διὸς προσαγορευθείς· Ουδέν γε, ἔφη, θαυμαϛόν. πάντων μὲν γὰρ ὁ Ζεὺς φύσει πατήρ ἐϛιν, ἑαυτῦ δὲ ποιεῖται τὺς ἀρίϛυς.

Τοξεύματι δὲ πληγεὶς εἰς τὸ σκέλος, ὡς πολλοὶ συνέδραμον τῶν πολλάκις εἰωθότων αὐτὸν θεὸν προσαγορεύειν, διαχυθεὶς τῷ προσώπῳ· Τῦτὶ μὲν, αἷμα, εἶπεν, ὡς ὁρᾶτε, καὶ ὐκ ἰχὼρ, — οἷόσπέρ τε ῥέει μακάρεσσι θεοῖσιν.

Ἐπαινύντων δ' ἐνίων τῦ Ἀντιπάτρυ τὴν εὐτέλειαν, ὡς ἀθρύπτως διαιτωμένυ καὶ αὐϛηρῶς· Ἔξωθεν, εἶπεν, Ἀντίπατρος λευκοπάρυφός ἐϛι, τὰ δ' ἔνδον ὁλοπόρφυρος.

Ἐν δὲ χειμῶνι καὶ ψύχει τῶν φίλων τινὸς ἑϛιῶντος αὐτὸν, ἐσχάραν δὲ μικρὰν καὶ πῦρ ὀλίγον εἰσενέγκαντος, ἢ ξύλα, ἢ λιβανωτὸν, εἰσενεγκεῖν ἐκέλευεν.

Ἀντι-

1 Petav. ὅτε χρῆσθαι δεῖ.

2 ἀποῤῥήτυς αἰτίας Turn. V. Petav. apud quem poſtremum tamen αἰτίας praeponitur voci ἀποῤῥήτυς.

3 Petav. ἀναγινώσκοντος.

4 Turn. διεπέθηκεν.

'Αντιπατρίδȣ δὲ καλὴν ψάλτριαν ἐπὶ τὸ δεῖπνον ἀγαγόντος, κινηθεὶς τῇ ὄψει [1] πρὸς αὐτὴν ὁ 'Αλέξανδρος, ἠρώτησε τὸν 'Αντιπατρίδην, μή τι τυγχάνει τῆς γυναικὸς ἐρῶν· ἐκείνȣ δὲ ὁμολογήσαντος· Ὦ μιαρὲ, εἶπεν, ȣ̓κ ἀπάξεις εὐθὺς ἐκ τȣ̃ συμποσίȣ τὴν γυναῖκα;

Πάλιν δὲ Πύθωνα τὸν Εὐΐȣ, τȣ̃ αὐλητȣ̃, ἐρώμενον Κάσανδρος ἐβιάζετο φιλῆσαι· τὸν ȣ̃ν Εὔϊον ὁρῶν ἀχθόμενον, ἀνεπήδησε μετ' ὀργῆς ἐπὶ τὸν Κάσανδρον, κεκραγώς· 'Αλλ' ȣ̓δ' ἐρασθῆναί τινος ἔξεστι δι' ὑμᾶς [2];

'Αποσέλλοντος δ' αὐτȣ̃ τῶν Μακεδόνων τȣ̀ς νοσώδεις καὶ ἀναπήρȣς ἐπὶ θάλασσαν, ἐνεδείχθη τις εἰς τȣ̀ς νοσȣ̃ντας ἀπογεγραμμένος ἑαυτὸν ȣ̓ νοσῶν. ἐπεὶ ȣ̃ν εἰς ὄψιν αχθεὶς καὶ ἀνακρινόμενος ὡμολόγησε προφασίζεσθαι δι' ἔρωτα Τελεσίππας ἀπιȣ́σης ἐπὶ θάλασσαν, ἠρώτησεν ὁ 'Αλέξανδρος, πρὸς τίνα δεῖ περὶ τῆς Τελεσίππης [3] διαλέγεσθαι. πυθόμενος δ' ἐλευθέραν ȣ̃σαν· Οὐκȣ̃ν, (ἔφη) ὦ 'Αντιγένη, πείθωμεν τὴν Τελεσίππαν, ἵνα μένῃ μεθ' ἡμῶν· βιάζεσθαι γὰρ ἐλευθέραν ȣ̃σαν, ȣ̓χ ἡμέτερον.

Τῶν δὲ μισθοφορȣ́ντων 'Ελλήνων παρὰ τοῖς πολεμίοις ὑποχειρίων γενομένων, τȣ̀ς μὲν 'Αθηναίȣς ἐκέλευσεν ἐν πέδαις φυλάττειν, ὅτι τροφὴν ἔχοντες ἐκ δημοσίȣ, μισθοφορȣ̃σι· καὶ τȣ̀ς Θεσσαλȣ̀ς, ὅτι τὴν ἀρίστην κεκτημένοι ȣ̓ γεωργȣ̃σι. τȣ̀ς δὲ Θηβαίȣς ἀφῆκεν, εἰπὼν, ὅτι Μόνοις τȣ́τοις ȣ̓́τε πόλις, ȣ̓́τε χώρα, δι' ἡμᾶς ἀπολέλειπται.

Τῶν δ' 'Ινδῶν τὸν ἄριστα τοξεύειν δοκȣ̃ντα, καὶ λεγόμενον διὰ δακτυλίȣ τὸν οἰστὸν ἀφιέναι, λαβὼν αἰχμάλωτον ἐκέλευσεν ἐπιδείξασθαι· καὶ μὴ βȣλόμενον ὀργισθεὶς [4] ἀνελεῖν προσέταξεν. ἐπεὶ δ' ἀγόμενος ὁ ἄνθρω-



1 Turn. & Petav. τὴν ὄψιν.
2 Ald. & Bas. δι' ἡμᾶς.
3 Turn. Τελεσίππας; Mox Petav. μείνῃ pro μένῃ.
4 abest ὀργισθεὶς a Petav. Idem mox εἰπέμενεν pro ὑπέμ.

θρωπος ἔλεγε πρὸς τὰς ἄγοντας, ὅτι πολλῶν ἡμερῶν ἐ μεμελέτηκε, καὶ ἐφοβήθη διαπεσεῖν, ἀκέσας ὁ Ἀλέξανδρος ἐθαύμασε, καὶ ἀπέλυσε μετὰ δώρων αὐτὸν, ὅτι μᾶλλον ἀποθανεῖν ὑπέμεινεν, ἢ τῆς δόξης ἀνάξιος Φανῆναι.

Ἐπεὶ δὲ Ταξίλης, εἷς τῶν [1] Ἰνδῶν βασιλεὺς ὢν, ἀπαντήσας πρέκαλεῖτο μὴ μάχεσθαι, μηδὲ πολεμεῖν Ἀλέξανδρον, ἀλλ' εἰ μέν ἐσιν ἥττων, εὖ πάσχειν, εἰ δὲ βελτίων, εὖ ποιεῖν, ἀπεκρίνατο, περὶ αὐτῦ τέτε μαχητέον εἶναι, πότερος εὖ ποιῶν περιγένηται.

Περὶ δὲ τῆς λεγομένης ἀόρνε πέτρας ἐν Ἰνδοῖς ἀκέσας, ὅτι τὸ μὲν χωρίον δυσάλωτόν ἐσιν, ὁ δ' ἔχων αὐτὸ δειλός ἐσι· Νῦν (ἔφη) τὸ χωρίον εὐάλωτόν ἐσιν.

Ἐπεὶ δ' ἄλλος, ἔχων πέτραν ἄληπτον δοκῦσαν εἶναι, ἐνεχείρισεν ἑαυτὸν μετὰ τῆς πέτρας τῷ Ἀλεξάνδρῳ, καὶ τῆς δυνάμεως ἐκέλευσεν ἄρχειν, καὶ προσέθηκε χώραν, εἰπὼν, ὅτι Φρονεῖν μοι δοκεῖ ὁ ἄνθρωπος, ἀνδρὶ μᾶλλον ἀγαθῷ πισεύσας ἑαυτὸν, ἢ ὀχυρῷ τόπῳ.

Μετὰ δὲ τὴν τῆς πέτρας ἅλωσιν τῶν Φίλων λεγόντων, ὑπερβεβληκέναι τὸν Ἡρακλέα ταῖς πράξεσιν· Ἀλλ' ἐγὼ (εἶπε) τὰς ἐμὰς πράξεις μετὰ τῆς ἡγεμονίας, ἑνὸς ἐ νομίζω ῥήματος ἀνταξίας εἶναι τῦ Ἡρακλέες.

Τῶν δὲ Φίλων τινὰς αἰσθόμενος ἐν τῷ κυβεύειν ἐ παίζοντας, ἐζημίωσε.

Τῶν δὲ πρώτων Φίλων καὶ κρατίσων τιμᾶν μὲν ἐδόκει Κρατερὸν μάλισα πάντων, Φιλεῖν δὲ Ἡφαισίωνα. Κρατερὸς μὲν γὰρ (ἔφη) Φιλοβασιλεύς ἐσιν· Ἡφαισίων δὲ Φιλαλέξανδρος.

Ξενοκράτῃ [2] δὲ, τῷ Φιλοσόφῳ, πεντήκοντα τάλαντα

1 abest τῶν a Petav. Mox idem μαχετέον pro μαχητέον; δυσάλωτον pro εὐάλωτον; ἄλλο pro ἄλλος; ἀντάξιος pro ἀνταξίας.

2 V. & Petav. Ξενοκράτει.

τα πέμψας, ὡς ἐκ ἐδέξατο, μὴ δεῖσθαι φήσας, ἠρώτησεν, εἰ μηδὲ φίλον ἔχει Ξενοκράτης. Ἐμοὶ μὲν γὰρ (ἔφη) μόλις ὁ Δαρείε πλῦτος εἰς τὲς φίλες ἤρκεσεν.

Ἐπεὶ δὲ Πῶρος ἐρωτηθεὶς ὑπ' αὐτῦ μετὰ τὴν μάχην· Πῶς σοι χρήσομαι; Βασιλικῶς, εἶπε· καὶ προσερωτηθεὶς, μή τι ἄλλο· Πάντα (εἶπεν) ἐν τῷ Βασιλικῶς ἔνεστι· θαυμάσας καὶ τὴν σύνεσιν αὐτῦ καὶ τὴν ἀνδραγαθίαν, πλείονα χώραν, ἧς πρότερον εἶχε, προσέθηκε.

Πυθόμενος δὲ ὑπό τινος λοιδορεῖσθαι· Βασιλικὸν (ἔφη) ἐστὶν εὖ ποιῦντα, κακῶς ἀκέειν.

Ἀποθνήσκων δὲ, πρὸς τὲς ἑταίρες ἰδὼν [1], ἔφη· Μέγαν ὁρῶ με τὸν ἐπιτάφιον ἐσόμενον.

Τελευτήσαντος δ' αὐτῦ, Δημάδης ὁ ῥήτωρ, ὅμοιον, ἔφη, διὰ τὴν ἀναρχίαν ὁρᾶσθαι τὸ στρατόπεδον τῶν Μακεδόνων ἐκτετυφλωμένῳ τῷ Κύκλωπι.

Πτολεμαίε τῦ Λάγε. Πτολεμαῖος ὁ Λάγε τὰ πολλὰ παρὰ τοῖς φίλοις ἐδείπνει καὶ ἐκάθευδεν· εἰ δέ ποτε δειπνίζοι, τοῖς ἐκείνων ἐχρῆτο, μεταπεμπόμενος ἐκπώματα καὶ στρώματα καὶ τραπέζας. αὐτὸς δ' ἐκ ἐκέκτητο [2] πλείω τῶν ἀναγκαίων, ἀλλὰ τῦ πλετεῖν ἔλεγε τὸ πλετίζειν εἶναι βασιλικώτερον.

Ἀντιγόνε. Ἀντίγονος εἰσέπραττε χρήματα συντόνως· εἰπόντος δέ τινος· Ἀλλ' ἐκ Ἀλέξανδρος ἦν τοιῦτος· Εἰκότως, εἶπεν. ἐκεῖνος μὲν γὰρ ἐθέριζε τὴν Ἀσίαν, ἐγὼ δὲ καλαμῶμαι.

Τῶν δὲ στρατιωτῶν ἰδών τινας ἐν τοῖς θώραξι καὶ τοῖς κράνεσι σφαιρίζοντας, ἥσθη· καὶ τὲς ἡγεμόνας αὐτῶν μετεπέμπετο, ἐπαινέσαι βελόμενος. ὡς δ' ἤκεσεν, ὅτι πίνεσιν, τὰς ἐκείνων ἡγεμονίας τοῖς στρατιώταις ἔδωκε.



1 Turn. & V. ἀπιδών.
2 Petav. ἔκτητο, & mox τῦ πλετίζειν pro τὸ πλετίζ.

Θαυμαζόντων δὲ πάντων, ὅτι γέρων γενόμενος ἠπίως ἐχρῆτο καὶ πράως τοῖς πράγμασι· Πρότερον μὲν γὰρ (εἶπε) δυνάμεως ἐδεόμην, νῦν δὲ δόξης καὶ εὐνοίας.

Πρὸς δὲ τὸν υἱὸν Φίλιππον, πυθόμενον, πλειόνων παρόντων· Πότε μέλλομεν ἀναζευγνύναι; Τί δέδοικας, (εἶπε) μὴ [1] μόνος τῆς σάλπιγγος ἐκ ἀκέσῃς;

Σπεδάσαντος δὲ τῦ νεανίσκε λαβεῖν κατάλυσιν παρὰ γυναικὶ χήρᾳ τρεῖς ἐχέσῃ θυγατέρας εὐπρεπεῖς, καλέσας τὸν ἐπὶ τῶν ξενίων, εἶπεν· Οὐκ ἐξάξεις με τὸν υἱὸν ἐκ [2] τῆς ςενοχωρίας;

Νοσήσας δὲ μακρὰν [3] νόσον, ὡς ἀνέῤῥωσεν· Οὐδὲν (ἔφη) χεῖρον· ὑπέμνησε γὰρ ἡμᾶς ἡ νόσος, μὴ μέγα φρονεῖν, ὡς ὄντας θνητές.

Ἑρμοδότε [4] δ' αὐτὸν ἐν τοῖς ποιήμασιν Ἡλίε παῖδα γράψαντος· Οὐ ταῦτά μοι (ἔφη) σύνοιδεν ὁ λασανοφόρος.

Εἰπόντος δέ τινος, ὅτι πάντα καλὰ καὶ δίκαια τοῖς βασιλεῦσι· Ναὶ μὰ Δία (εἶπε) τοῖς τῶν βαρβάρων [5]. ἡμῖν δὲ μόνα καλὰ, τὰ καλά· καὶ μόνα δίκαια, τὰ δίκαια.

Μαρσύε, τῦ ἀδελφῦ, δίκην ἔχοντος, ἀξιῦντος δὲ τὴν κρίσιν αὐτῷ [6] γενέσθαι κατ' οἰκίαν· Ἔςαι μὲν ἔν (εἶπεν) ἐν τῇ ἀγορᾷ, καὶ πάντων ἀκεόντων, εἰ μηδὲν ἀδικῦμεν.

Ἐπεὶ

1 Turn. *εἶπε μοὶ μόνος*; Petav. *εἰπέ μοι, μὴ μόνος*; & mox *ἀκέσῃ* pro *ἀκέσῃς*.

2 Turn. V. & Petav. *ἀπὸ* pro *ἐκ*.

3 Sic e Turn. V. & Petav. dedi, ut sententiae convenientius pro vulg. *μικρὰν*. Philelph. quoque vertit post *longam aegrotationem*; item Raph. Reg *morbo diuturno*. Dedit quoque W. *μακρὰν* ex J. Voss. Schott. Anon. Jun.

4 Turn. *Ἑρμοδότε*.

5 Petav. *νὴ μὰ Δία τοῖς τῶν βαρβάρων εἶπεν*.

6 Turn. Petav. *αὐτῶν*.

Ἐπεὶ δέ ποτε χειμῶνος ἐν τόποις σπανίζουσι τῶν ἐπιτηδείων ἠνάγκασε καταζεῦξαι, καὶ τῶν στρατιωτῶν τινες ἐλοιδόρουν αὐτὸν, ἀγνοοῦντες, ὅτι πλησίον ἐστὶ, τῇ βακτηρίᾳ τὴν σκηνὴν διαστείλας· Οἰμώξετε, (εἶπεν) εἰ μὴ μακρότερον ἀποστάντες λοιδορήσετε [1] ἡμᾶς.

Ἀριστοδήμου δὲ, τῶν φίλων τινὸς, ἐκ μαγείρου γεγονέναι δοκοῦντος, συμβουλεύοντος δ' αὐτῷ τῶν ἀναλωμάτων καὶ τῶν δωρεῶν ἀφαιρεῖν· Οἱ λόγοι σου, (εἶπεν) ὦ Ἀριστόδημε, περιζώματος [2] ὄζουσιν.

Ἀθηναίων δὲ δοῦλον αὐτῷ [3] τιμώμενον εἰς τὴν πολιτείαν, ὡς ἐλεύθερον, ἐγγραψάντων· Οὐκ ἂν (εἶπεν) ἐβουλόμην ἕνα Ἀθηναίων ὑπ' ἐμοῦ μαστιγοῦσθαι.

Νεανίσκου δέ τινος τῶν Ἀναξιμένους, τοῦ ῥήτορος, μαθητῶν, λόγον ἐσκεμμένον ἐκ παρασκευῆς εἰπόντος ἐπ' αὐτοῦ, βουλόμενός τι μαθεῖν, ἠρώτησεν. ἀποσιωπήσαντος δὲ τοῦ νεανίσκου· Τί λέγεις; εἶπεν· Ταῦτ' ἐστι τὰν [4] δέλτοισιν ἐγγεγραμμένα;

Ἑτέρου δὲ ῥήτορος ἀκούων λέγοντος, ὅτι χιονοβόλος ἡ ὥρα γενομένη λειποβατανεῖν [5] ἐποίησε τὴν χώραν· Οὐ παύσῃ μοι (εἶπεν) ὡς ὄχλῳ χρώμενος;

Θρασύλλου δὲ, τοῦ κυνικοῦ, δραχμὴν αἰτήσαντος αὐτόν· Ἀλλ' οὐ βασιλικὸν, εἶπε [6], τὸ δόμα· τοῦ δ' εἰπόντος· Οὐκοῦν τάλαντον δός μοι· Ἀλλ' οὐ κυνικὸν, ἔφη, τὸ λῆμμα.

Πέμπων δὲ Δημήτριον, τον υἱον, μετὰ νεῶν πολλῶν

1 Petav. λοιδορήσητε.

2 Philelph. & Regius vertunt *jus*. Non probat hoc Xyl. qui intelligit *cinctum culinarium*, *eines Kochs Schurztuch*. Ejd. MS. male περὶ ζώματος.

3 Petav. αὐτοῦ. Sic est in edit. H. Steph. peculiari. Post εἰς omittit idem τὴν. Mox Ἀθηναῖον idem pro Ἀθηναίων.

4 Bas. τὰ. Hinc Xyl. e scripto notat τάν. Turn. & V. τᾶν.

5 H. Steph. in ed. pecul. λαποβοτανεῖν, quod in Thesauro quoque reposuisse eam, monet Mait. & probat.

6 Turn. ἔφη.

λῶν καὶ δυνάμεων ἐλευθερώσοντα τὰς Ἕλληνας, ἔλεγε, τὴν δόξαν ὥσπερ ἀπὸ σκοπῆς τῆς Ἑλλάδος εἰς τὴν οἰκεμένην πυρσεύεσθαι.

Ἀνταγόρα [1] δὲ, τῦ ποιητῦ, γόγγρον ἕψοντος, καὶ αὐτῦ τὴν λοπάδα σείοντος, ἐπιςὰς ἐξόπιθεν· Οἴει, (Φησί) τὸν Ὅμηρον, ὦ Ανταγόρα, γόγγρον ἕψειν τὰς τῦ Ἀγαμέμνονος γράφοντα πράξεις; καὶ ὁ Ἀνταγόρας· Σὺ δὲ, εἶπεν, ὦ βασιλεῦ, τὸν Ἀγαμέμνονα νομίζεις πράττοντα τὰς πράξεις ἐκείνας πολυπραγμονεῖν, εἴ τις ἐν τῷ ςρατοπέδῳ γόγγρον ἕψει;

Ἐπεὶ δ' ὄναρ ἰδὼν χρυσῦν θέρος ἐξαμῶντα Μιθριδάτην, ἐβυλεύσατο κτεῖναι, καὶ Δημητρίῳ, τῷ υἱῷ, Φράσας ὥρκωσε σιωπῆσαι. ὁ δὲ παραλαβὼν τὸν Μιθριδάτην ὁ Δημήτριος, καὶ συμπεριπατῶν παρὰ [2] θάλασσαν, ἐν τῷ αἰγιαλῷ κατέγραψε τῷ σαυρωτῆρι τῦ δόρατος· Φεῦγε, Μιθριδάτα. ἐκεῖνος δὲ νοήσας, ἔΦυγεν εἰς Πόντον, κἀκεῖ βασιλεύων διετέλεσε.

Δημητρίυ. Ῥοδίυς δὲ πολιορκῶν ὁ Δημήτριος, ἔλαβεν ἔν τινι προαςείῳ πίνακα Πρωτογένυς, τῦ ζωγράφυ, τὸν Ἰάλυσον [3] γράφοντος· ἐπικηρυκευσαμένων δὲ τῶν Ῥοδίων, καὶ Φείσασθαι τῦ πίνακος παρακαλύντων, ἔΦη, μᾶλλον τὰς τῦ πατρὸς εἰκόνας, ἢ τὴν γραΦὴν ἐκείνην, διαΦθείρειν [4]. Σπεισάμενος δὲ τοῖς Ῥοδίοις, τὴν ἐλέπολιν ἀπέλιπε παρ' αὐτοῖς, ὑπόδειγμα τῆς αὐτῦ μεγαλυργίας, ἐκείνων δ' ἀνδρίας ἐσομένην.

Ἀποςάντων δὲ τῶν Ἀθηναίων, ἑλὼν τὴν πόλιν ἤδη κακῶς ὑπὸ σιτοδείας ἔχυσαν, εὐθὺς ἐκκλησίας αὐτῷ συναχθείσης, ἐπέδωκε δωρεὰν σῖτον αὐτοῖς. δημηγορῶν

1 Ald. Ἀντιγόρα; Bas. Ἀντιγόρα. Xyl. legendum monuit Ἀνταγόρα e scripto (licet falso ple umque nomen hoc ex eodem profertur) & sic habent Philelph. & Reg.

2 Turn. περὶ

3 Ald. τὸν Ἰάλυσι.

4 Turn. & Petav. διαΦθεῖραι. Mox Petav. Ἑλέπολιν.

γορῶν δὲ περὶ τούτων, ἐβαρβάρισε· τῶν δὲ καθημένων τινὸς, ὡς ἔδει τὸ ῥῆμα λεχθῆναι, παραφωνήσαντος· Οὐκοῦν (ἔφη) καὶ τῆς ἐπανορθώσεως ταύτης ἄλλους ὑμῖν [1] πεντακισχιλίους ἐπιδίδωμι μεδίμνους.

Ἀντιγόνου τοῦ δευτέρου. Ἀντίγονος ὁ δεύτερος, Δημητρίου τοῦ πατρὸς ἁλόντος, καὶ πέμψαντος τινὰ τῶν φίλων, κελεύοντος μὴ προσέχειν, ἄν τι γράφῃ, βιασθεὶς ὑπὸ Σελεύκου, μηδὲ παραχωρεῖν τῶν πόλεων, αὐτὸς ἔγραψε πρὸς Σέλευκον, ἐξιςάμενος [2] αὐτῷ τῆς ἀρχῆς ἁπάσης, καὶ παραδιδοὺς ὅμηρον ἑαυτὸν ἐπὶ τῷ τὸν πατέρα Δημήτριον ἀπολυθῆναι.

Μέλλων δὲ ναυμαχεῖν πρὸς τοὺς Πτολεμαίου ςρατηγοὺς, εἰπόντος τοῦ κυβερνήτου, πολὺ πλείονας εἶναι τὰς τῶν πολεμίων ναῦς· Ἐμὲ δὲ (ἔφη) αὐτὸν παρόντα πρὸς πόσας ἀντιτάττεις;

Ὑποχωρῶν δέ ποτε τοῖς πολεμίοις ἐπερχομένοις, οὐκ ἔφη φεύγειν, ἀλλὰ διώκειν τὸ συμφέρον ὀπίσω κείμενον.

Ἐπεὶ δὲ νεανίσκος ἀνδρείου πατρὸς, αὐτὸς δὲ μὴ πάνυ δοκῶν ἀγαθὸς εἶναι ςρατιώτης, ἠξίου τὰς τοῦ πατρὸς λαμβάνειν ἀποφοράς· Ἀλλ' ἐγὼ, εἶπεν, ὦ μειράκιον, ἀνδραγαθίας, οὐ πατραγαθίας, μισθοὺς καὶ δωρεὰς δίδωμι.

Ζήνωνος δὲ, τοῦ Κιτιέως [3] ἀποθανόντος, ὃν μάλιςα τῶν φιλοσόφων ἐθαύμασεν, ἔλεγε, τὸ θέατρον αὐτοῦ τῶν πράξεων ἀνῃρῆσθαι.

Λυσιμάχου. Λυσίμαχος, ἐν Θρᾴκῃ κρατηθεὶς ὑπὸ Δρομιχαίτου [4], καὶ διὰ δίψαν ἑαυτὸν καὶ τὸ ςράτευμα παραδοὺς, ὡς ἔπιεν αἰχμάλωτος γενόμενος· Ὦ θεοὶ,

1 Petav. ἡμῖν.
2 Turn. & Petav. ἐξανιςάμενος.
3 Turn. & Petav. Κιτλιέως.
4 Sic Xyl. legit, & est in Plut. Demetrio. Cf. T. IV. p. 65. Vulgo Δρομαχίτου.

θεοὶ, εἶπεν, ὡς μικρᾶς ἡδονῆς ἕνεκα δῦλον ἐμαυτὸν ἐκ βασιλέως πεποίηκα.

Πρὸς δὲ Φιλιππίδην, τὸν κωμῳδοποιὸν [1], φίλον ὄντα καὶ συνήθη· Τίνος σοι, εἶπε, τῶν ἐμῶν μεταδῶ· κἀκεῖνος· Οὗ βέλει, πλὴν τῶν ἀποῤῥήτων.

Ἀντιπάτρȣ. Ἀντίπατρος, ἀκέσας τὴν Παρμενίωνος ὑπ' Ἀλεξάνδρȣ τελευτὴν, εἶπεν· Εἰ μὲν ἐπεβέλευσε Παρμενίων Ἀλεξάνδρῳ [2], τίνι πιςευτέον; εἰ δὲ μὴ, τί πρακτέον;

Δημάδȣ δὲ, τȣ̃ ῥήτορος, ἤδη πρεσβύτȣ [3] γεγονότος, ἔφη, καθάπερ ἱερεία διαπεπραγμένȣ, καταλείπεσθαι μόνην τὴν γαςέρα καὶ τὴν γλῶτταν.

Ἀντιόχȣ τȣ̃ τρίτȣ [4]. Ἀντίοχος ὁ τρίτος ἔγραψε ταῖς πόλεσιν, ἄν τι γράψῃ παρὰ τὰς νόμȣς κελεύων γενέσθαι, μὴ προσέχειν ὡς ἠγνοηκότι.

Τὴν δὲ τῆς Ἀρτέμιδος ἱέρειαν ἰδὼν ὑπερβολῇ καλὴν φανεῖσαν [5], εὐθὺς ἀνέζευξεν ἐξ Ἐφέσȣ, φοβȣ́μενος, μὴ παρὰ γνώμην ἐκβιασθῇ πρᾶξαί τι τῶν ȣ̓χ ὁσίων.

Ἀντιόχȣ τȣ̃ Ἱέρακος. Ἀντίοχος, ὁ ἐπικληθεὶς Ἱέραξ, ἐπολέμει περὶ [6] βασιλείας πρὸς τὸν ἀδελφὸν, Σέλευκον· ἐπεὶ δὲ ὁ Σέλευκος ἡττηθεὶς ὑπὸ Γαλατῶν, ȣ̓δαμȣ̃ φανερὸς ἦν, ἀλλ' ἐδόκει κατακεκόφθαι, θεὶς τὴν πορφύραν ὁ Ἀντίοχος, φαιὸν ἱμάτιον ἀνέλαβε [7]. Μετ' ὀλίγον δὲ πυθόμενος, τὸν ἀδελφὸν σώζεσθαι, εὐαγγέλια τοῖς

1 Ald. Baf. τὸν κωμῳδοποιὸς φίλον.

2 Poft hanc demum vocem Petav. habet εἶπε.

3 Turn. & Petav. πρεσβυτέρȣ.

4 Xyl. cum nulla fiat in hiftoria *Antiochi tertii* mentio, fufp. pro τρίτος reponendum Γρυπὸς, nifi fortaffis ad *Antiochorum* fucceffionem referatur, aut potius fcribendum fit *Antigonus* pro *Antiochus*, facta paulo ante fecundi mentione. Hoc poftremum in verfione eft fecutus.

5 Turn. ὑπερβολὴν καλὴν φανεῖ ἦσαν; Petav. ὑπερβολὴν καλὴν ἦσαν.

6 Turn. & Petav. περὶ τῆς βασιλ.

7 Turn. & V. αντέλαβε.

τοῖς θεοῖς ἔθυσε, καὶ τὰς πόλεις τὰς ὑφ' ἑαυτοῦ [1] στεφανηφορεῖν ἐποίησεν.

Εὐμενοῦς. Εὐμενὴς, ἐπιβουλευθεὶς ὑπὸ Περσέως, ἔδοξε τεθνάναι. τῆς δὲ φήμης εἰς Πέργαμον κομισθείσης, Ἄτταλος, ὁ ἀδελφὸς αὐτοῦ, περιθέμενος τὸ διάδημα, καὶ τὴν γυναῖκα γήμας, ἐβασίλευσε· πυθόμενος δὲ, προσιόντα ζῶντα τὸν ἀδελφὸν, ἀπήντησεν, ὥσπερ εἰώθει, μετὰ τῶν σωματοφυλάκων δοράτιον ἔχων· ὁ δ' Εὐμενὴς, φιλοφρόνως ἀσπασάμενος αὐτὸν, καὶ πρὸς τὸ οὖς εἰπών· Μὴ σπεῦδε γῆμαι, πρὶν τελευτήσαντ' ἴδῃς· οὐδὲν ἄλλο παρὰ πάντα τὸν βίον οὔτ' εἶπεν ὕποπτον, οὔτ' ἐποίησεν, ἀλλὰ καὶ τελευτῶν ἐκείνῳ τὴν γυναῖκα καὶ τὴν βασιλείαν ἀπέλιπεν. ἀνθ' ὧν ἐκεῖνος οὐδὲν ἐξ ἑαυτοῦ τέκνον ἔθρεψε, πολλῶν γενομένων, ἀλλὰ τῷ Εὐμενοῦς υἱῷ τὴν βασιλείαν ἔτι ζῶν, ἐνηλίκῳ γενομένῳ, παρέδωκε.

Πύῤῥου τοῦ Ἠπειρώτου. Πύῤῥον οἱ υἱοὶ, παῖδες ὄντες, ἠρώτων, τίνι καταλείψει τὴν βασιλείαν· καὶ ὁ Πύῤῥος εἶπεν [2]. Ὃς ἂν ὑμῶν ὀξυτέραν ἔχῃ τὴν μάχαιραν.

Ἐρωτηθεὶς δὲ, πότερον Πύθων, ἢ Καφείσιος, αὐλητὴς ἀμείνων· Πολυπέρχης [3] (ἔφη) ὁ [4] στρατηγός.

Ἐπεὶ δὲ συμβαλὼν Ῥωμαίοις, δὶς ἐνίκησε, πολλοὺς τῶν φίλων καὶ τῶν ἡγεμόνων ἀπολέσας· Ἂν ἔτι μίαν (ἔφη) μάχην [5] Ῥωμαίους νικήσωμεν, ἀπολώλαμεν.

Ἐπεὶ

1 Sic e Turn. & Petav recepi. quod W. quoque rectius censuit, adsentiente Venet. Vulgo ὑφ' ἑαυτόν.

2 absunt a Petav. καὶ ὁ Πύ. εἶπ.

3 Pro Καφείσιος Xyl. MS. & Petav. Καφίσιος; Pro Πολυπέρχης Petav. πολυσπέρχης; Xyl. legit Πολυπέρχων, uti nota indicat, voluisse autem Πολυσπέρχων, e versione patet.

4 abest ὁ a Petav. & J. Probare id videtur W. retinet tamen vulgatam.

5 Petav. ἂν μίαν ἔτι μάχην, ἔφη. Mox idem ἀπολείπομεν

Ἐπεὶ δὲ Σικελίας ἀποτυχὼν ἐξέπλει, μεταςραφεὶς ὀπίσω πρὸς τὰς φίλας· Οἵαν (ἔφη) Ῥωμαίοις καὶ Καρχηδονίοις ἀπολείπομεν παλαίςραν.

Τῶν δὲ ςρατιωτῶν Ἀετὸν αὐτὸν προσαγορευόντων· Τί γὰρ (εἶπεν) ἐ μέλλω, τοῖς ὑμετέροις ὅπλοις, ὥσπερ ὠκυπτέροις, αἰρόμενος;

Ἀκέσας δὲ, ὅτι νεανίσκοι πολλὰ βλάσφημα [1] περὶ αὐτῦ πίνοντες εἰρήκασιν, ἐκέλευσεν ἀχθῆναι μεθ' ἡμέραν πρὸς αὐτὸν ἅπαντας. ἀχθέντων δὲ, τὸν πρῶτον ἠρώτησεν, εἰ ταῦτα εἰρήκασι περὶ αὐτῦ· καὶ ὁ νεανίσκος· Ταῦτα, (εἶπεν) ὦ βασιλεῦ. πλείονα δ' ἂν τύτων εἰρήκειμεν, εἰ πλείονα οἶνον [2] εἴχομεν.

Ἀντιόχυ. Ἀντίοχος, ὁ ςρατεύσας δεύτερον ἐπὶ Πάρθυς, ἔν τινι κυνηγεσίῳ καὶ διωγμῷ τῶν φίλων καὶ θεραπόντων ἀποπλανηθεὶς, εἰς ἔπαυλιν πενήτων ἀνθρώπων [3] ἀγνοέμενος εἰσῆλθε· καὶ παρὰ τὸ δεῖπνον ἐμβαλὼν λόγον περὶ τῦ βασιλέως, ἤκυσεν, ὅτι τἆλλα χρηςός ἐςι, φίλοις δὲ μοχθηροῖς [4] ἐπιτρέπων τὰ πλεῖςα παρορᾷ, καὶ πολλάκις ἀμελεῖ τῶν ἀναγκαίων διὰ τὸ λίαν φιλόθηρος εἶναι. τότε μὲν ἦν ἐσιώπησεν· ἅμα δὲ ἡμέρᾳ τῶν δορυφόρων παραγενομένων ἐπὶ τὴν ἔπαυλιν, φανερὸς γενόμενος, προσφερομένης τῆς πορφύρας αὐτῷ καὶ τῦ διαδήματος· Ἀλλὰ ἀφ' ἧς (εἶπεν) ἡμέρας ὑμᾶς ἀνείληφα, πρῶτον ἐχθὲς ἀληθινῶν λόγων [5] ἤκυσα περὶ ἐμαυτῦ. Τῶν δ' Ἰυδαίων, πολιορκῦντος αὐτῦ τὰ Ἱεροσόλυμα, πρὸς τὴν μεγίςην ἑορτὴν αἰτησαμένων ἑπτὰ ἡμερῶν ἀνοχὰς, ὐ μόνον ἔδωκε ταύτας, ἀλλὰ καὶ ταύρυς χρυσόκερως παρασκευασάμενος, καὶ θυμιαμάτων καὶ ἀρωμάτων πλῆθος, ἄχρι τῶν πυλῶν ἐπόμπευσε· καὶ παραδ-

1 Petav. πολλὰ βλάσφημα νεανίσκοι. Idem mox ὁ νεανίσκος εἶπεν, ταῦτα ὦ β.

2 Ald. & Baſ. πλείονα οἶον. Xyl. correxit.

3 Petav. ἀνθρώπων πενήτων, & mox παρὰ τῦ β. pro περὶ τῦ β.

4 Petav. μοχθηρῶς, & mox παρορῶν pro παρορᾷ.

5 Petav. ἀληθινὸν λόγον.

παραδὲς τοῖς ἐκείνων ἱερεῦσι τὴν θυσίαν, αὐτὸς ἐπανῆλθεν εἰς τὸ ςρατόπεδον. οἱ δ' Ἰȣδαῖοι θαυμάσαντες, εὐθὺς ἑαυτȣ̀ς μετὰ τὴν ἑορτὴν ἐνεχείρισαν.

Θεμιςοκλέȣς. Θεμιςοκλῆς, ἔτι μειράκιον ὤν, ἐν πότοις ἐκυλινδεῖτο καὶ γυναιξίν· ἐπεὶ δὲ Μιλτιάδης ςρατηγῶν ἐνίκησεν ἐν Μαραθῶνι τȣ̀ς βαρβάρȣς, ȣ̓κ ἔτι ἦν ἐντυχεῖν ἀτακτȣ̃ντι [1] Θεμιςοκλεῖ. πρὸς δὲ τȣ̀ς θαυμάζοντας τὴν μεταβολὴν ἔλεγεν ὡς, Οὐκ ἐᾷ με καθεύδειν, ȣ̓δὲ ῥᾳθυμεῖν τὸ Μιλτιάδȣ τρόπαιον.

Ἐρωτηθεὶς δέ, πότερον Ἀχιλλεὺς ἐβȣ́λετ' ἄν, ἢ Ὅμηρος εἶναι· Σὺ δ' αὐτὸς (ἔφη) πότερον ἤθελες ὁ νικῶν ἐν Ὀλυμπιάσιν, ἢ ὁ [2] κηρύσσων τȣ̀ς νικῶντας εἶναι;

Ξέρξȣ δὲ καταβαίνοντος ἐπὶ τὴν Ἑλλάδα τῷ μεγάλῳ ςόλῳ, φοβηθεὶς Ἐπικύδην, τὸν δημαγωγόν, αἰσχροκερδῆ καὶ δειλὸν ὄντα, μὴ ςρατηγὸς γενόμενος ἀπολέσῃ τὴν πόλιν, ἔπεισεν ἀργυρίῳ τῆς ςρατηγίας ἀποςῆναι.

Ἀδειμάντȣ [3] δέ, ναυμαχεῖν μὴ τολμῶντος, εἰπόντος πρὸς τὸν Θεμιςοκλέα τȣ̀ς Ἕλληνας παρακαλȣ̃ντα καὶ προτρέποντα· Ὦ Θεμιςόκλεις, τȣ̀ς ἐν τοῖς ἀγῶσι προεξανιςαμένȣς μαςιγȣ̃σιν (ἀεί [4])· Ναί, (εἶπεν) ὦ Ἀδείμαντε· τȣ̀ς δὲ λειπομένȣς ȣ̓ ςεφανȣ̃σιν.

Ἐπ-

1 Turn. ἀγανακτȣ̃ντι. Mox reſtitui ὡς poſt ἔλεγεν, quod abeſt a R.

2 Neſcio, cur in R. vulgata appareat mutata ἐν Ὀλυμπικοῖς, ἢ κηρύσσων. Reſtitui priorem lectionem. Mox in eadem fuit ἀργυρίᾳ; Dedi ἀργυρίῳ.

3 V. Ἀδειμάντȣ δὲ Εὐρυβιάδȣ δέ; Turn. & Bong. Εὐρυβάδȣ δέ. Sic & mox V. ὦ Εὐριβιάδη; Turn. & Bong. Εὐρυβάδης. Hiſtoria quoque flagitante *Eurybiadis* nomen praeferendum eſt, quod, W. notante, in utroque loco ab Anon. datur. Cf. Plut. in Themiſt. Tom. I. pag. 291.

4 W. bene monet, hoc ἀεὶ delendum eſſe, ortum e ſequenti Ναί, & recte abeſſe apud Plut. in Them. l. c. Bryanus ad eun-

Ἐπαραμένȣ δὲ τȣ̃ Εὐρυβιάδȣ τὴν βακτηρίαν ὡς πατάξοντος· Πάταξον μὲν ȣ̃ν, εἶπεν, ἄκȣσον δέ.

Μὴ πείθων δὲ τὸν Εὐρυβιάδην ἐν τοῖς ςενοῖς ναυμαχῆσαι, κρύφα πρὸς τὸν βάρβαρον ἔπεμψε, παραινῶν, μὴ δεδιέναι τȣ̀ς Ἕλληνας ἀποδιδράσκοντας. ἐπεὶ δὲ πεισθεὶς ἐκεῖνος ἡττήθη, ναυμαχήσας, ὅπȣ συνέφερε τοῖς Ἕλλησι, πάλιν ἔπεμψε πρὸς αὐτὸν, κελεύων φεύγειν ἐπὶ τὸν Ἑλλήσποντον τὴν ταχίςην, ὡς τῶν Ἑλλήνων διανοȣμένων λύειν τὴν γέφυραν· ἵνα σώζων τȣ̀ς Ἕλληνας, ἐκεῖνον δοκῇ [1] σώζειν.

Τȣ̃ δὲ Σεριφίȣ πρὸς αὐτὸν εἰπόντος, ὡς ȣ̓ δι' αὐτὸν, ἀλλὰ διὰ τὴν πόλιν ἔνδοξός ἐςιν· Ἀληθῆ λέγεις· (εἶπεν) ἀλλ' ȣ̓́τ' ἂν ἐγὼ Σερίφιος ὢν [2] ἐγενόμην ἔνδοξος, ȣ̓́τε σὺ, Ἀθηναῖος.

Ἀντιφάτȣ δὲ, τȣ̃ καλȣ̃, πρότερον μὲν ἐρῶντα τὸν Θεμιςοκλέα φεύγοντος καὶ καταφρονȣ̃ντος, ἐπεὶ δὲ δόξαν ἔσχε μεγάλην καὶ δύναμιν, προσερχομένȣ καὶ κολακεύοντος· Ὦ μειράκιον, (εἶπεν) ὀψὲ μὲν ἀμφότεροι, ἀλλὰ νῦν ἐσχήκαμεν.

Πρὸς δὲ Σιμωνίδην, ἐξαιτȣ́μενον τινὰ κρίσιν ȣ̓ δικαίαν, ἔφη, μήτ' ἂν ἐκεῖνον γενέσθαι ποιητὴν ἀγαθὸν, ᾄδοντα παρὰ μέλος· μήτ' αὐτὸν ἄρχοντα χρηςὸν, δικάζοντα παρὰ τὸν νόμον.

Τὸν δὲ υἱὸν, ἐντρυφῶντα [3] τῇ μητρὶ, πλεῖςον Ἑλλήνων ἔλεγε δύνασθαι. τῶν γὰρ Ἑλλήνων ἄρχειν Ἀθηναίȣς· Ἀθηναίων δὲ ἑαυτόν· ἑαυτȣ̃ δὲ τὴν ἐκείνȣ μητέρα· τῆς δὲ μητρὸς ἐκεῖνον.

Τῶν δὲ τὴν θυγατέρα μνωμένων αὐτȣ̃ τὸν ἐπιεικῆ τȣ̃.

dem locum obſervat, ἀεὶ h. l. eſſe delendum, aut cum καὶ mutandum, ut repetatur. Ald. & Baſ. προεξιςαμένȣ loco praeced. προεξανις.

1 Petav. δοκεῖ. Mox idem Σερίφȣ pro Σεριφίȣ.

2 abeſt ὢν a Petav.

3 Ald. & Baſ. ἐκτρυφῶντα. Mox Petav. πλεῖςων.

τῦ πλȣσίȣ προτιμήσας, ἄνδρα ἔφη ζητεῖν χρημάτων δεόμενον μᾶλλον, ἢ χρήματα ἀνδρός.

Χωρίον δὲ πωλῶν [1], ἐκέλευσε κηρύττειν, ὅτι καὶ γείτονα χρηςὸν ἔχει.

Τῶν δ' Ἀθηναίων αὐτὸν προπηλακιζόντων· Τί κοπιᾶτε (εἶπεν) ὑπὸ τῶν αὐτῶν πολλάκις εὐχρηςȣ́μενοι; καὶ ταῖς πλατάνοις [2] ἀπείκαζεν αὐτὸν, αἷς ὑποτρέχȣσι χειμαζόμενοι, γενομένης δ' εὐδίας τίλλȣσι παρερχόμενοι καὶ λοιδορȣ̃σι.

Τȣ̀ς δ' Ἐρετριεῖς ἐπισκώπτων, ἔλεγεν, ὥσπερ τευθίδας μάχαιραν μὲν ἔχειν, καρδίαν δὲ μὴ ἔχειν.

Ἐπεὶ δ' ἐξέπεσε τῶν Ἀθηναίων τὸ πρῶτον, εἶτα καὶ τῆς Ἑλλάδος, ἀναβȣ̀ς πρὸς βασιλέα, καὶ κελευόμενος λέγειν, ἔφη, τὸν λόγον ἐοικέναι τοῖς ποικίλοις ςρώμασιν. ὡς γὰρ ἐκεῖνα, καὶ τȣ̃τον ἐκτεινόμενον μὲν, ἐπιδεικνύναι τὰ εἴδη· συςελλόμενον δὲ, κρύπτειν καὶ διαφθείρειν.

Ἠτήσατο δὲ καὶ χρόνον, ὅπως τὴν Περσικὴν διάλεκτον καταμαθὼν [3], ὡς βȣ́λεται, καὶ μὴ δι' ἑτέρȣ, ποιήσαι τὴν πρὸς αὐτὸν ἔνδειξιν.

Πολλῶν δὲ δωρεῶν ἀξιωθεὶς, καὶ ταχὺ πλȣ́σιος γενόμενος, πρὸς τȣ̀ς παῖδας εἶπεν· Ὦ παῖδες, ἀπωλόμεθ' ἂν, εἰ μὴ ἀπολώλειμεν.

Μυρωνίδȣ. Μυρωνίδης παρήγγειλεν ἔξοδον Ἀθηναίοις ἐπὶ Βοιωτȣ̀ς ςρατεύων· ἐνςάσης δὲ τῆς ὥρας, καὶ τῶν λοχαγῶν λεγόντων, μηδέπω πάντας παρεῖναι· Πάρεισιν (εἶπεν) οἱ μέλλοντες μάχεσθαι. καὶ χρησάμενος αὐτοῖς προθύμοις, ἐνίκησε τȣ̀ς πολεμίȣς.

Ἀριςείδȣ. Ἀριςείδης δὲ ὁ δίκαιος ἀεὶ καθ' αὐτὸν ἐπολιτεύετο, καὶ τὰς ἑταιρείας ἔφευγεν, ὡς τῆς ἀπὸ τῶν φίλων δυνάμεως ἀδικεῖν ἐπαιρȣ́σης.



1 Petav. πολλῶν.

2 Petav. τοῖς πλατάνοις. Mox Turn. V. Bong. καλȣ̃σι pro λοιδορȣ̃σι. Collector variarum lectionum susp. κατιȣ̃σι.

3 Turn. & Petav. καταμαθεῖν.

Ἐπεὶ δὲ, τῶν Ἀθηναίων ὁρμωμένων ἐπὶ τὸν ἐξοστρακισμὸν, ἄνθρωπος ἀγράμματος καὶ ἄγροικος ὄστρακον ἔχων προσῆλθεν αὐτῷ, κελεύων ἐγγράψαι τὸ ὄνομα τοῦ Ἀριστείδου· Γινώσκεις γὰρ (ἔφη) τὸν Ἀριστείδην; τοῦ δ' ἀνθρώπου γινώσκειν μὲν οὐ φήσαντος, ἄχθεσθαι δὲ τῇ τοῦ δικαίου προσηγορίᾳ, σιωπήσας ἐνέγραψε [1] τὸ ὄνομα τῷ ὀστράκῳ, καὶ ἀπέδωκεν.

Ἐχθρὸς δ' ὢν τοῦ Θεμιστοκλέους, καὶ πρεσβευτὴς ἐκπεμφθεὶς σὺν αὐτῷ· Βούλει, (φησὶν) ὦ Θεμιστόκλεις, ἐπὶ τῶν ὅρων τὴν ἔχθραν ἀπολίπωμεν; ἂν γὰρ δοκῇ [2], πάλιν αὐτὴν ἐπανιόντες ληψόμεθα.

Τάξας δὲ τοὺς φόρους τοῖς Ἕλλησι, τοσοῦτον [3] πτωχότερος ἐπανῆλθεν, ὅσον εἰς τὴν ἀποδημίαν ἀνήλωσεν.

Αἰσχύλου δὲ ποιήσαντος εἰς Ἀμφιάραον·

Οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι, θέλει,
Βαθεῖαν ἄλοκα [4] διὰ φρενὸς καρπούμενος,
Ἀφ' ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα.

καὶ λεγομένων τούτων, πάντες εἰς Ἀριστείδην ἀπέβλεψαν.

Περικλέους. Περικλῆς, ὁπότε μέλλοι στρατηγεῖν, ἀναλαμβάνων τὴν χλαμύδα, πρὸς ἑαυτὸν ἔλεγε· Πρόσεχε, Περίκλεις. ἐλευθέρων μέλλεις ἄρχειν, Ἑλλήνων [5] καὶ Ἀθηναίων.

Ἐκέλευσε δὲ τοὺς Ἀθηναίους τὴν Αἴγιναν ὥσπερ λήμην ἀφαιρεῖν [6] τοῦ Πειραιῶς.

Πρὸς δὲ φίλον τινὰ μαρτυρίας ψευδοῦς δεόμενον, ᾗ προσῆν καὶ ὅρκος, ἔφησε, μέχρι τοῦ βωμοῦ φίλος εἶναι.

Μέλ-

1 Turn. & Petav. ἀνέγραψε.
2 Petav. δοκεῖ.
3 Turn. V. Petav. τοσούτῳ.
4 Ald. & Baſ. ἄλωκα. Xyl. correxit, qui ſe non probare monet αὔλακα, quod aliis reponendum videbatur.
5 Turn. & V. καὶ praeponunt ante Ἑλλήνων.
6 Petav. ἀφελεῖν; Ald. & Baſ. ἀφαιρεῖν τοῦ πειρεῶς.

Μέλλων δ' ἀποθνήσκειν, αὐτὸς ἑαυτὸν ἐμακάριζεν, ὅτι μηδεὶς Ἀθηναίων μέλαν ἱμάτιον δι' αὐτὸν ἐνεδύσατο.

Ἀλκιβιάδης. Ἀλκιβιάδης ἔτι παῖς ὤν, ἐλήφθη λαβὴν ἐν παλαίστρᾳ· καὶ μὴ δυνάμενος διαφυγεῖν [1], ἔδακε τὴν χεῖρα τοῦ καταπαλαίοντος. εἰπόντος δ' ἐκείνου· Δάκνεις, ὡς αἱ γυναῖκες· Οὔμενουν, (εἶπεν) ἀλλ' ὡς οἱ λέοντες.

Ἔχων δὲ [2] κύνα πάγκαλον ἐωνημένον ἑπτακισχιλίων δραχμῶν, ἀπέκοψεν αὐτοῦ τὴν οὐράν· Ὅπως (ἔφη) τοῦτο λέγωσιν Ἀθηναῖοι περὶ ἐμοῦ, καὶ μηδὲν ἄλλο πολυπραγμονῶσι.

Προσελθὼν δὲ διδασκαλείῳ, ῥαψῳδίαν Ἰλιάδος ᾔτει· τοῦ δὲ διδασκάλου μηδὲν ἔχειν Ὁμήρου φήσαντος, ἐντρίψας αὐτῷ [3] κόνδυλον παρῆλθεν.

Ἐλθὼν δ' ἐπὶ θύρας τοῦ Περικλέους, καὶ πυθόμενος, αὐτὸν μὴ σχολάζειν, ἀλλὰ σκοπεῖν, ὅπως ἀποδώσει λόγους Ἀθηναίοις· Οὐ βέλτιον [4] (ἔφη) σκοπεῖν ἦν, ὅπως μὴ οὐκ ἀποδώσει;

Καλούμενος δ' ἐπὶ κρίσιν θανατικὴν ὑπὸ τῶν Ἀθηναίων ἀπὸ [5] Σικελίας, ἔκρυψεν ἑαυτόν· εἰπὼν, εὐήθη εἶναι τὸν δίκην ἔχοντα, ζητεῖν ἀποφυγὴν [6], ἐξὸν φυγεῖν.

Εἰπόντος δέ τινος· Οὐ πιστεύεις τῇ πατρίδι τὴν περὶ σεαυτοῦ κρίσιν; Ἐγὼ μὲν (ἔφη) οὐδὲ τῇ μητρὶ, μή πως ἀγνοήσασα τὴν μέλαιναν βάλῃ ψῆφον ἀντὶ τῆς λευκῆς.

Ἀκούσας δὲ, ὅτι θάνατος αὐτοῦ καὶ τῶν σὺν αὐτῷ κατ-



1 Petav. καταφυγεῖν. Mox idem οὐ μὲν οὖν pro οὔμενουν.

2 Turn. & Petav. post δὲ inferunt καὶ. Mox Petav. ἐωνημένων.

3 Turn. & Petav. τρίψας αὐτόν.

4 Turn. & Petav. οὐ βέλτιον ἔχει.

5 Turn. & Petav. ἐπί.

6 Xyl. ob sensus concinnitatem & e MS. legit ἀποφυγεῖν. Sic quoque Turn. V. Petav.

κατέγνωσαι· Δείξωμεν [1] ὖν (εἶπεν) αὐτοῖς, ὅτι ζῶμεν. καὶ πρὸς Λακεδαιμονίες τρεψάμενος, τὸν Δεκελικὸν ἤγειρεν ἐπὶ τὰς Ἀθηναίες πόλεμον.

Λαμάχε. Λάμαχος ἐπετίμα τινὶ τῶν λοχαγῶν ἁμαρτόντι [2]· τῦ δὲ φήσαντος, μηκέτι τῦτο ποιήσειν· Οὐκ ἔςιν (εἶπεν) ἐν πολέμῳ δὶς ἁμαρτεῖν.

Ἰφικράτες. Ἰφικράτης, δοκῶν υἱὸς εἶναι σκυτοτόμε, κατεφρονεῖτο· δόξαν δὲ τότε πρῶτον ἔχεν, ὅτε τραυματίας [3] πολέμιον ἄνδρα μετὰ τῶν ὅπλων ζῶντα συναρπάσας, εἰς τὴν ἑαυτῦ τριήρη μετήνεγκεν.

Ἐν δὲ φιλίᾳ καὶ συμμάχῳ χώρᾳ ςρατοπεδεύων, καὶ χάρακα βαλλόμενος, καὶ τάφρον ὀρύττων ἐπιμελῶς, πρὸς τὸν εἰπόντα· Τί γὰρ φοβύμεθα; χειρίςην ἔφησε ςρατηγῦ φωνὴν εἶναι, τήν· Οὐκ ἂν προσεδόκησα.

Παρατατόμενος δὲ τοῖς βαρβάροις, ἔφη δεδιέναι, μὴ τὸν Ἰφικράτην ὐκ ἴσασιν, ᾧ καταπλήττεται τὰς ἄλλες πολεμίες.

Κρινόμενος δὲ θανάτε, πρὸς τὸν συκοφάντην· Οἶα ποιεῖς, ὦ ἄνθρωπε, εἶπε, πολέμε περιεςῶτος, τὴν πόλιν περὶ ἐμῦ πείθων βυλεύεσθαι [4], καὶ μὴ μετ' ἐμῦ;

Πρὸς δὲ Ἁρμόδιον, τὸν τῦ παλαιῦ Ἁρμοδίε ἀπόγονον, εἰς δυσγένειαν αὐτῷ λοιδορύμενον, ἔφη· Τὸ μὲν ἐμὸν ἀπ' ἐμῦ γένος ἄρχεται, τὸ δὲ σὸν ἐν σοὶ παύεται.

Ῥήτορος δέ τινος ἐπερωτῶντος αὐτὸν ἐν ἐκκλησίᾳ· Τίς ὢν μέγα φρονεῖς; πότερον ἱππεὺς, ἢ τοξότης,

1 Frft. Maitt. & R. δείξομεν. Restitui lectionem priorem, e Petav. quoque enotatam. Mox R. retinuit e Frft. vitiosam vocem ἔγειρεν. Correxi.

2 Turn. ἁμαρτάνοντι.

3 Recepi, quod Xyl. Philelph. & Raph. Reg. legerunt, nec non est in Xyl. MS. Turn. V. & Petav. & quod ipsa exhibet Aldina, scriptione quidem abbreviata, &, ut videtur, male ab aliis intellecta aut observata. Quod quidem ipsi W. accidisse, miror. Vulgo τραυματίαν. Paulo ante Petav. hunc habet ordinem vocum υἱὸς εἶναι δοκῶν.

4 Petav. βύλεσθαι.

της, ἢ πελταστὴς, ἢ πεζός [1]; Οὐδεὶς (ἔφη) τούτων, ἀλλ' ὁ πᾶσι τούτοις ἐπιστάμενος ἐπιτάττειν.

Τιμοθέου. Τιμόθεος εὐτυχὴς ἐνομίζετο στρατηγὸς εἶναι· καὶ φθονοῦντες αὐτῷ τινες ἐζωγράφουν τὰς πόλεις εἰς κύρτον αὐτομάτως, ἐκείνου καθεύδοντος, ἐνδυομένας· ἔλεγεν οὖν ὁ Τιμόθεος· Εἰ τηλικαύτας πόλεις λαμβάνω καθεύδων, τί με οἴεσθε ποιήσειν ἐγρηγορότα;

Τῶν δὲ τολμηρῶν στρατηγῶν τινος τραῦμα τοῖς Ἀθηναίοις δεικνύοντος· Ἐγὼ δὲ (εἶπεν) ᾐσχύνθην, ὅτι μου στρατηγοῦντος ὑμῶν ἐν Σάμῳ καταπελτικὸν βέλος ἐγγὺς ἔπεσε.

Τῶν δὲ ῥητόρων τὸν Χάρητα προαγόντων [2], καὶ τοιοῦτον ἀξιούντων εἶναι τὸν Ἀθηναίων στρατηγόν· Οὐ τὸν στρατηγὸν, (εἶπεν ὁ Τιμόθεος) ἀλλὰ τὸν τῷ στρατηγῷ τὰ στρώματα κομίζοντα.

Χαβρίου. Χαβρίας ἔλεγε κάλλιστα στρατηγεῖν τοὺς μάλιστα γινώσκοντας τὰ τῶν πολεμίων.

Δίκην δὲ φεύγων προδοσίας μετὰ Ἰφικράτους, ἐπιτιμῶντος αὐτῷ τοῦ Ἰφικράτους, ὅτι κινδυνεύων εἰς τὸ γυμνάσιον βαδίζει [3] καὶ τὴν εἰωθυῖαν ὥραν ἀριστᾷ· Τοιγαροῦν (εἶπεν) ἂν ἄλλο τι γνῶσι περὶ ἡμῶν Ἀθηναῖοι, σὲ μὲν αὐχμῶντα καὶ ἄσιτον, ἐμὲ δ' ἠριστηκότα καὶ ἀληλιμμένον ἀποκτενοῦσιν.

Εἰώθει δὲ λέγειν, ὅτι φοβερώτερόν ἐστιν ἐλάφων στρατόπεδον, ἡγουμένου λέοντος, ἢ λεόντων, ἐλάφου.

Ἡγησίππου. Ἡγησίππου, τοῦ Κρωβύλου προσαγορευομένου, παροξύνοντος τοὺς Ἀθηναίους ἐπὶ Φίλιππον, ὑπεφώνησέ τις ἐκ τῆς ἐκκλησίας· Πόλεμον εἰσηγῇ; Ναὶ μὰ Δία (εἶπε) καὶ μέλανα ἱμάτια, καὶ δημοσίας ἐκ-



1 Petav. ordinem invertit ἢ πεζὸς, ἢ πελταστής.
2 Dedi sic e Turn. pro vulg. προσαγόντων.
3 Turn. & Petav. βαδίζων; Mox Petav. τί γὰρ οὖν pro τοιγαροῦν.

ἐκφορὰς, καὶ λόγους ἐπιταφίους, εἰ μέλλομεν [1] ἐλεύθεροι βιώσεσθαι, καὶ μὴ ποιήσειν τὸ προσταττόμενον Μακεδόσι.

Πυθέου. Πυθέας, ἔτι μειράκιον ὤν, παρῆλθεν ἀντερῶν τοῖς περὶ Ἀλεξάνδρου γραφομένοις ψηφίσμασιν· εἰπόντος δέ τινος· Σὺ νέος ὢν τολμᾷς λέγειν περὶ τηλικούτων; Καὶ μὴν Ἀλέξανδρος, εἶπεν, ὃν ψηφίζεσθε [2] θεόν, ἐμοῦ νεώτερός ἐστι.

Φωκίωνος τοῦ Ἀθηναίου. Φωκίων ὁ Ἀθηναῖος ὑπ' οὐδενὸς οὔτε γελῶν ὤφθη, οὔτε δακρύων.

Ἐκκλησίας δὲ γενομένης [3], πρὸς τὸν εἰπόντα· Σκεπτομένῳ, ὦ Φωκίων, ἔοικας· Ὀρθῶς, ἔφη, τοπάζεις· σκέπτομαι γάρ, εἴ τι δύναμαι περιελεῖν, ὧν μέλλω λέγειν πρὸς Ἀθηναίους.

Μαντείας δὲ γενομένης Ἀθηναίοις, ὡς εἷς ἐστιν ἀνὴρ ἐν τῇ πόλει ταῖς πάντων ἐναντιούμενος γνώμαις, καὶ τῶν Ἀθηναίων ζητεῖν κελευόντων, ὅστις ἐστί, καὶ βοώντων, Φωκίων ἑαυτὸν ἔφησε τοῦτον εἶναι· μόνῳ γὰρ ἑαυτῷ μηδὲν ἀρέσκειν, ὧν οἱ πολλοὶ πράττουσι καὶ λέγουσιν.

Ἐπεὶ δὲ λέγων [4] ποτὲ γνώμην, πρὸς τὸν δῆμον εὐδοκίμει, καὶ πάντας ὁμαλῶς ἑώρα τὸν λόγον ἀποδεχομένους, ἐπιστραφεὶς πρὸς τοὺς φίλους εἶπεν· Οὐ δή που κακόν τι λέγων ἐμαυτὸν λέληθα;

Πρὸς δὲ θυσίαν τινὰ τῶν Ἀθηναίων αἰτούντων ἐπιδόσεις, καὶ τῶν ἄλλων ἐπιδιδόντων, κληθεὶς πολλάκις· Αἰσχυνοίμην ἄν (εἶπεν) ὑμῖν ἐπιδιδούς, τούτῳ δὲ μὴ ἀποδιδούς· ἅμα δεικνύων τὸν δανειστήν.

Δημοσθένους δὲ τοῦ ῥήτορος εἰπόντος· Ἀποκτενοῦσί σε

1 Petav. μέλλωμεν; & in seq. Turn. & Petav. βιώσασθαι.
2 Petav. ζηφίζεσθαι (sic).
3 Ald. & Baf. γινομένης. Mox Petav. μαντίας & εἷς ἀνήρ ἐστιν.
4 Turn. & Petav. λεγόντων.

σε Ἀθηναῖοι, ἐὰν μανῶσι· Ναὶ [1] (εἶπεν) ἐμὲ μὲν, ἂν μανῶσι· σὲ δὲ, ἂν σωφρονῶσιν.

Ἀριστογείτονος δὲ, τοῦ συκοφάντου, μέλλοντος ἀποθνήσκειν ἐν τῷ δεσμωτηρίῳ κατακρίτου γεγονότος, καὶ δεομένου τὸν Φωκίωνα πρὸς αὐτὸν ἐλθεῖν, τῶν δὲ φίλων οὐκ ἐώντων πρὸς ἄνθρωπον πονηρὸν βαδίζειν· Καὶ ποῦ τις ἂν (εἶπεν) ἥδιον Ἀριστογείτονι λαλήσειεν;

Ὀργιζομένων δὲ τοῖς Βυζαντίοις τῶν Ἀθηναίων, μὴ δεξαμένοις [2] τῇ πόλει Χάρητα πεμφθέντα μετὰ δυνάμεως βοηθὸν αὐτοῖς πρὸς Φίλιππον, εἰπὼν ὁ Φωκίων, ὅτι δεῖ μὴ τοῖς ἀπιστοῦσι τῶν συμμάχων, ἀλλὰ τοῖς ἀπιστουμένοις τῶν στρατηγῶν, ὀργίζεσθαι [3], αὐτὸς ᾑρέθη στρατηγός· καὶ πιστευθεὶς ὑπὸ τῶν Βυζαντίων, ἐποίησε τὸν Φίλιππον ἀπελθεῖν ἄπρακτον.

Ἀλεξάνδρου δὲ, τοῦ βασιλέως, ἑκατὸν τάλαντα δωρεὰν αὐτῷ πέμψαντος, ἠρώτησε τοὺς κομίζοντας, τί δή ποτε, πολλῶν ὄντων Ἀθηναίων, αὐτῷ μόνῳ ταῦτα δίδωσιν Ἀλέξανδρος· εἰπόντων δ' ἐκείνων, ὡς μόνον αὐτὸν ἡγεῖται καλὸν κἀγαθὸν εἶναι· Οὐκοῦν (ἔφη) ἐασάτω με καὶ δοκεῖν καὶ εἶναι τοιοῦτον.

Αἰτοῦντος δ' Ἀλεξάνδρου τριήρεις, καὶ τοῦ δήμου κελεύοντος ὀνομαστὶ παριέναι τὸν Φωκίωνα καὶ συμβουλεύειν, ἀναστὰς ἔφη· Συμβουλεύω τοίνυν ὑμῖν, ἢ κρατεῖν τοῖς ὅπλοις αὐτοὺς, ἢ φίλους εἶναι τῶν κρατούντων.

Λόγου δὲ περὶ τῆς Ἀλεξάνδρου τελευτῆς ἐμπεσόντος ἀδεσπότου, καὶ τῶν ῥητόρων ἀναπηδώντων [4] εὐθὺς ἐπὶ τὸ βῆμα, καὶ μὴ μέλλειν, ἀλλὰ πολεμεῖν ἤδη κελευόντων, ὁ Φωκίων ἠξίου περιμεῖναι, καὶ γνῶναι βεβαίως· Εἰ γὰρ τήμερον (ἔφη) τέθνηκε, καὶ αὔριον ἔσται καὶ εἰσέτι τεθνηκώς·



1 Baſ. καὶ. Xyl. hinc probat ναὶ, quod Ald. habet, & ſuit in ejus MS. Voces ἐμὲ μὲν, ἂν μανῶσι, abſunt a Petav.
2 Turn. & Petav. δεξαμένων.
3 Petav. ὀργίζεσθαι τῶν στρατηγῶν.
4 Petav. ἀναπηδόντων; idem omittit mox ſequens καὶ.

Τȣ͂ δὲ Λεωσθένȣς εἰς τὸν πόλεμον [1] ἐμβαλόντος τὴν πόλιν, ἐλπίσι λαμπραῖς πρὸς τὸ τῆς ἐλευθερίας ὄνομα καὶ τῆς ἡγεμονίας ἐπαιρομένην, τȣ̀ς λόγȣς αὐτȣ͂ ταῖς κυπαρίττοις ἀπείκαζε. Καλοὶ γὰρ ὄντες (ἔφη) καὶ ὑψηλοὶ [2], καρπὸν ȣ̓κ ἔχȣσι. Κατωρθωμένων δὲ τῶν πρώτων, καὶ τῆς πόλεως εὐαγγέλια θυȣ́σης, ἐρωτηθεὶς, εἰ ταῦτα ἤθελεν ȣ̔́τω πεπρᾶχθαι [3]. Πεπρᾶχθαι μὲν ȣ͂ν (ἔφη) ταῦτα, βεβȣλεῦσθαι δ' ἐκεῖνα.

Τῇ δ' Ἀττικῇ τῶν Μακεδόνων προσβαλλόντων, καὶ πορθȣ́ντων τὴν παραλίαν, ἐξήγαγε τȣ̀ς ἐν ἡλικίᾳ. πολλῶν δὲ συντρεχόντων πρὸς αὐτὸν, καὶ παρεγκελευομένων [4] ἐκεῖνον τὸν λόφον καταλαβεῖν, καὶ ἐνταῦθα τάξαι τὴν δύναμιν· Ὦ Ἡράκλεις, (εἶπεν) ὡς πολλȣ̀ς ὁρῶ ϛρατηγȣ̀ς, ϛρατιώτας δ' ὀλίγȣς. ȣ̓ μὴν ἀλλὰ συμβαλὼν ἐκράτησε, καὶ διέφθειρε Νικίωνα, τὸν ἄρχοντα τῶν Μακεδόνων.

Μετ' ὀλίγον δὲ χρόνον οἱ μὲν Ἀθηναῖοι τῷ πολέμῳ κρατηθέντες ἐδέξαντο Φρȣρὰν ὑπ' Ἀντιπάτρȣ· Μενύλλȣ δὲ, τȣ͂ τῆς Φρȣρᾶς ἄρχοντος, χρήματα τῷ Φωκίωνι διδόντος, ἀγανακτήσας εἶπε, μήτ' ἐκεῖνον Ἀλεξάνδρȣ βελτίονα εἶναι, καὶ χείρονα τὴν αἰτίαν, ἐφ' ᾗ λήψεται [5] νῦν, τότε μὴ δεξάμενος.

Ἀντίπατρος δ' ἔφη, πῶς, δυεῖν αὐτῷ φίλων Ἀθήνησιν

1 Xyl. fufp. εἰς τὸν Λαμιακὸν πόλεμον.

2 Rarius enallages exemplum, his adjectivis generis mafc. ad ταῖς κυπαρίττοις referendis, nifi dicas, τȣ̀ς λόγȣς fimul iis involvi.

3 Affentior Wyttenbachio, legendum fufpicanti, αὐτῷ πεπρᾶχθαι. Malim q idem αὐτῷ. Cf. Plut. Vol. II. p. 122. not. 4. & Vol. V. p. 124. not 5 Baf. in feq βεβȣλεῦσθαι, vitiofe.

4 Codex, cujus nomen reticetur ἐγκελευομένων. Pro praeced. συντρεχόντων Petav. συνεχόντων. In feq. reftitui ex edd. prioribus ἐκεῖνον pro ἐκείνων, quod R. cum Frft. habet. W. dubie inter utramque lectionem ἐκείνον. Partic. καὶ ante ἐνταῦθα abeft a Petav.

5 Petav. λείψεται.

νῆσιν ὄντων, ὔτε Φωκίωνα λαβεῖν πέπεικεν, ὔτε Δημάδην διδὺς ἐμπέπληκεν.

Ἀξιῦντος δ' Ἀντιπάτρυ, ποιῆσαί τι τῶν μὴ δικαίων αὐτόν· Οὐ δύνασαι, (εἶπεν) Ἀντίπατρε, καὶ φίλῳ Φωκίωνι χρῆσθαι [1], καὶ κόλακι.

Μετὰ δὲ τὴν Ἀντιπάτρυ τελευτὴν δημοκρατίας Ἀθηναίοις γενομένης, κατεγνώσθη [2] θάνατος τῦ Φωκίωνος ἐν ἐκκλησίᾳ, καὶ τῶν φίλων. οἱ μὲν ὖν ἄλλοι κλαίοντες ἤγοντο· τῷ δὲ Φωκίωνι σιωπῇ βαδίζοντι τῶν ἐχθρῶν τις ἐνέπ]υσεν ἀπαντήσας εἰς τὸ πρόσωπον. ὁ δὲ, πρὸς τὺς ἄρχοντας ἀποβλέψας· Οὐ παύσει τις (εἶπε) τῦτον ἀσχημονῦντα;

Τῶν δὲ μελλόντων συναποθνήσκειν ἑνὸς ὀδυρομένυ καὶ ἀγανακ]ῦντος· Οὐκ ἀγαπᾷς, (εἶπεν) ὦ Θύδιππε [3], μετὰ Φωκίωνος ἀποθανύμενος; Ἤδη δὲ τῆς κύλικος αὐτῷ προσφερομένης, ἐρωτηθεὶς, εἴ τι λέγει πρὸς τὸν υἱόν· Ἐγώ σοι [4] (εἶπεν) ἐντέλλομαι καὶ παρακαλῶ μηδὲν Ἀθηναίοις μνησικακεῖν.

Πεισιςράτυ. Πεισίςρατος, ὁ Ἀθηναίων τυραννος, ἐπεὶ τῶν φίλων τινὲς ἀποςάντες αὐτῦ Φυλὴν κατέλαβον, ἦλθε πρὸς αὐτὺς ςρωματόδεσμον αὐτὸς κομίζων. πυνθανομένων δ' ἐκείνων, τί βύλεται· Πείσας ὑμᾶς (εἶπεν) ἀπαγαγεῖν, ἢ μὴ πείσας, μένειν μεθ' ὑμῶν [5], καὶ διὰ τῦτο ἥκω συνεσκευασμένος.

Διαβληθείσης δὲ τῆς μητρὸς πρὸς αὐτὸν, ὡς ἐρῶ τινος

1 Petav. hoc ordine: φίλῳ χρῆσθαι Φωκίωνι.

2 W. obſervat, ſic habere Ald. Baſ. Xyl. Voſſ. κατεγνώθη autem Steph. & ſequentes. In peculiari Steph. edit. huj. lib. eſt κατεγνώσθη; hoc quoque R. dedit; & e Petav. in ind. Var. enotatur.

3 Sic cum W. recepi ex Turn. & Petav. Voſſ. Ven t. & eſt in Plut. vit. Phoc. Vol. V. p. 40. & apud Aelian. V. H. XIII. 41. Vulgo Εὔιππε.

4 Turn. & Petav. σε.

5 Turn. & Petav. μεθ' ἡμῶν. Mox Petav. συνέςη pro σύνεςι

τινος νεανίσκε, καὶ κρύφα σύνεσι φοβεμένῳ καὶ παραιτεμένῳ τὰ πολλά, καλέσας ἐπὶ δεῖπνον τὸν νεανίσκον ἠρώτησε δειπνήσαντα, πῶς γέγονεν· ἡδέως δὲ φήσαντος· Ταῦτά σοι (ἔφη) καθ' ἡμέραν ἔςαι, ἐὰν τῇ μητρί με ἀρέσκῃς.

Ἐπεὶ δὲ Θρασύβελος ἐρῶν αὐτε τῆς θυγατρὸς ἐφίλησεν ἀπαντήσας, παροξυνόμενος ἐπ' αὐτὸν ὑπὸ τῆς γυναικός· Ἂν τὲς φιλεντας (εἶπε [1]) μισῶμεν, τί ποιήσομεν τὲς μισεντας; καὶ ἔδωκε γυναῖκα τῷ Θρασυβέλῳ τὴν παρθένον.

Κωμαςῶν δέ τινων περιτυχόντων αὐτε τῇ γυναικί, καὶ πολλὰ πραξάντων ἀσελγῆ καὶ εἰπόντων, μεθ' ἡμέραν δὲ τε Πεισιςράτε δεομένων καὶ δακρυόντων· Ὑμεῖς μὲν (ἔφη) πειρᾶσθε σωφρονεῖν τὸ λοιπόν· ἡ δ' ἐμὴ γυνὴ τοπαράπαν ἐχθὲς εδαμῇ προῆλθε.

Τῶν παίδων [2], αὐτε γαμεῖν ἑτέραν γυναῖκα μέλλοντος, διαπυνθανομένων, μή τι μεμφόμενος αὐτὲς εἴη· Ἥκιςα, εἶπεν, ἀλλ' ἐπαινῶν, καὶ βελόμενος ἑτέρες μοι παῖδας τοιέτες γενέσθαι.

Δημητρίε τε Φαληρέως. Δημήτριος ὁ Φαληρεὺς Πτολεμαίῳ τῷ βασιλεῖ παρῄνει τὰ περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι καὶ ἀναγινώσκειν. ἃ γὰρ οἱ φίλοι τοῖς βασιλεῦσιν ε θαῤῥεσι παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται.

Λυκέργε. Λυκεργος ὁ Λακεδαιμόνιος εἴθισε τὲς πολίτας κομᾷν, λέγων, ὅτι τὲς μὲν καλὲς ἡ κόμη εὐπρεπεςέρες ποιεῖ, τὲς δ' αἰσχρὲς φοβερωτέρες.

Πρὸς δὲ τὸν κελεύοντα ποιεῖν ἐν τῇ πόλει δημοκρατίαν· Σὺ πρῶτος (εἶπεν) ἐν τῇ οἰκίᾳ σε ποίησον δημοκρατίαν.

Ἐκέλευε δὲ τὰς οἰκίας ποιεῖν ἀπὸ πελέκεως καὶ πρίο-

1 Codex haud nominatus εἶπεν ἂν τὲς φιλεντας μ. & ποιήσωμεν pro ποιήσομεν.
2 Turn. & Petav. τῶν δὲ παίδων.

πρίονος [1] μόνον· αἰσχύνεσθαι γὰρ εἰς οἰκίας λιτὰς ἐκπώματα καὶ στρώματα καὶ τραπέζας πολυτελεῖς εἰσφέροντας.

Πυγμὴν δὲ καὶ παγκράτιον ἀγωνίζεσθαι ἐκώλυσεν, ἵνα μηδὲ παίζοντες ἀπαυδᾷν ἐθίζωνται. Στρατεύειν δὲ πολλάκις ἐπὶ τοὺς αὐτοὺς ἐκώλυσεν, ὅπως μὴ ποιῶσι μαχιμωτέρους. Ὕστερον οὖν τοῦ Ἀγησιλάου τρωθέντος, ὁ Ἀνταλκίδας εἶπε, καλὰ διδασκάλια παρὰ Θηβαίων λαμβάνειν αὐτὸν, ἐθίσαντα καὶ διδάξαντα πολεμεῖν ἄκοντας.

Χαρίλλου. Χάριλλος ὁ βασιλεὺς ἐρωτηθεὶς, διὰ τί νόμους ὀλίγους οὕτω Λυκοῦργος ἔθηκεν, ἀπεκρίνατο, τοὺς χρωμένους ὀλίγοις λόγοις μὴ δεῖσθαι νόμων πολλῶν.

Τῶν δὲ εἱλώτων τινὸς θρασύτερον αὐτῷ προσφερομένου [2]. Νὴ τὼ Σιὼ (εἶπε) κατέκτανον τεῦ, εἰ μὴ ὠργιζόμαν.

Πρὸς δὲ τὸν πυθόμενον, διὰ τί κομῶσιν, εἶπεν, ὅτι τῶν κόσμων ἀδαπανώτατος οὗτός ἐστι.

Τηλέκλου. Τήλεκλος [3], ὁ βασιλεὺς, πρὸς τὸν ἀδελφὸν ἐγκαλοῦντα τοῖς πολίταις, ὡς ἀγνωμονέστερον αὐτῷ προσφερομένοις, ἢ ἐκείνῳ· Σὺ γὰρ, εἶπεν, οὐκ οἶδας ἀδικεῖσθαι.

Θεοπόμπου. Θεόπομπος ἔν τινι πόλει, πρὸς τὸν ἐπιδεικνύμενον τὸ τεῖχος αὐτῷ, καὶ πυνθανόμενον, εἰ δοκεῖ καλὸν καὶ ὑψηλὸν εἶναι· Οὐδ' εἰ γυναικῶν [4], εἶπεν.

Ἀρχι-

1 Petav. πρίονος καὶ πελέκεως, uti paulo ante δαιμοκρατίαν; & mox ἐθίζονται; & γοῦν pro οὖν.

2 Petav. προσφερομένῳ. In seq. Frft. τῷ σκιὸ, pro quo e Pet. enotatur τὼ σιὼ in ind. Var. Mox idem omittit οὗτος ante ἐστί.

3 Xyl. notante, in apophth. Lacon. legitur Τήλεκρος; At apud Pausan. in Lacon. rex Agidarum familiae Τήλεκλος legitur, & sic fuit in ejus MS.

4 Dedi e Petav. MS. Xyl. quod W. quoque ex J. Voss. Pol. Jun. Mez. recepit, & a Philelph. Raph. Reg. & Xyl. vertitur pro vulgari εἰ δεῖ γυναικῶν. Ad hanc vulgatam lectionem Xyl. notat

Ἀρχιδάμου. Ἀρχίδαμος ἐν τῷ Πελοποννησιακῷ πολέμῳ, τῶν συμμάχων ἀξιούντων ὁρίσαι τοὺς φόρους αὐτοῖς, εἶπεν· Ὁ πόλεμος οὐ τεταγμένα σιτεῖται.

Βρασίδου. Βρασίδας ἐν ἰσχάσι συλλαβὼν μῦν, καὶ δηχθεὶς, ἀφῆκεν· εἶτα πρὸς τοὺς παρόντας· Οὐδὲν οὕτως, ἔφη, μικρόν ἐστιν, ὃ μὴ σώζεται [1], τολμῶν ἀμύνεσθαι τοὺς ἐπιχειροῦντας.

Ἐν δὲ μάχῃ διὰ τῆς ἀσπίδος ἀκοντισθεὶς, καὶ τὸ δόρυ τοῦ τραύματος ἑλκύσας, αὐτῷ τούτῳ τὸν πολέμιον ἀπέκτεινεν. ἐπερωτηθεὶς δὲ, πῶς ἐτρώθη· Προδούσης [2] με τῆς ἀσπίδος, εἶπεν.

Ἐπεὶ δὲ συνέβη πεσεῖν αὐτὸν ἐλευθεροῦντα τοὺς ἐπὶ Θρᾴκης Ἕλληνας, οἱ δὲ πεμφθέντες εἰς Λακεδαίμονα πρέσβεις τῇ μητρὶ προσῆλθον αὐτοῦ, πρῶτον μὲν ἠρώτησεν, εἰ καλῶς [3] ὁ Βρασίδας ἀπέθανεν· ἐγκωμιαζόντων δὲ τῶν Θρᾳκῶν αὐτὸν, καὶ λεγόντων, ὡς οὐδεὶς ἄλλος [4] ἔσται τοιοῦτος· Ἀγνοεῖτε, εἶπεν, ὦ ξένοι. Βρασίδας μὲν γὰρ ἦν ἀνὴρ ἀγαθὸς, ἁ δὲ Λακεδαίμων πολλὼς ἔχει τήνω κάῤῥονας [5].

Ἄγι-

notat, si vera sit, Theopompum contemnere eum, qui in muro praesidium & fiduciam locaret, & mulieres vocare tales viros; ad receptam autem, voluisse Theopompum, ne mulieres quidem certas de sua salute esse, muris tantum, non armis, & fortitudine virorum fretas: contra viris fortibus nihil opus esse muris. — Eadem sententia, forma paulo diversa, in Lacon. Apoph. aliquoties extat. Cod. Venet. judice W. aliquanto melius οὐδ. εἰ γυναικῶν, εἶπεν, ἦν.

1 Petav. σώζεσθαι. Mox idem τοῦτο pro τούτῳ.

2 Bas. vitiose προσούσης.

3 Turn. & Petav. κακῶς.

4 Non mutandam censui hanc vocem, auctoritate Aldinae & Basileensis firmatam, & a R. retentam, licet Steph. Maitt. & Frst. habeant ἄλλως, quod W. servavit. In peculiari Steph. edit. est quoque ἄλλος.

5 Turn. & Petav. ἁ δὲ Λακεδαιμονίων πολλὼς ἔχει τήνω κάῤῥονας.

Ἀγιδος. Ἆγις, ὁ βασιλεὺς, ἐκ ἔφη τὰς Λακεδαιμονίυς ἐρωτᾷν, πόσοι εἰσὶν, ἀλλὰ πῦ εἰσὶν οἱ πολέμιοι.

Ἐν δὲ Μαντινέᾳ [1] κωλυόμενος διαμάχεσθαι τοῖς πολεμίοις πλείοσιν ὖσιν, εἶπεν· Ἀνάγκη πολλοῖς μάχεσθαι τὸν ἄρχειν πολλῶν βυλόμενον.

Ἐπαινυμένων δὲ τῶν Ἠλείων ἐπὶ τῷ τὰ Ὀλύμπια καλῶς ἄγειν· Τί δὲ (εἶπε) ποιῦσι θαυμαςὸν, εἰ δι' ἐτῶν τεσσάρων μιᾷ ἡμέρᾳ χρῶνται τῇ δικαιοσύνῃ; ἐπιμενόντων δὲ τοῖς ἐπαίνοις, ἔφη· Τί θαυμαςὸν, εἰ πράγματι καλῷ καλῶς χρῶνται, τῇ δικαιοσύνῃ;

Πρὸς δ' ἄνθρωπον πονηρὸν, ἐρωτῶντα πολλάκις, τίς ἄριςος εἴη Σπαρτιατῶν, εἶπεν· Ὁ τύνῃ ἀνομοιότατος.

Ἑτέρυ δὲ πυνθανομένυ, πόσοι εἰσὶν [2] οἱ Λακεδαιμόνιοι· Ὅσοι (εἶπεν) ἱκανοὶ τὺς κακὺς ἀπείργειν. καὶ τὸ αὐτὸ ἑτέρυ πυνθανομένυ· Πολλοί σοι (ἔφη) δόξυσιν εἶναι, ἐὰν αὐτὺς ἴδῃς μαχομένυς.

Λυσάνδρυ. Λύσανδρος, Διονυσίυ, τῦ τυράννυ, πέμψαντος ἱμάτια ταῖς θυγατράσιν αὐτῦ [3] τῶν πολυτελῶν, ὐκ ἔλαβεν, εἰπὼν δεδιέναι, μὴ διὰ ταῦτα μᾶλλον αἰσχραὶ φανῶσι.

Πρὸς δὲ τὺς ψέγοντας αὐτὸν ἐπὶ τῷ δι' ἀπάτης τὰ πολλὰ πράσσειν, ὡς ἀνάξιον τῦ Ἡρακλέυς, ἔλεγεν, ὅπυ μὴ ἐφικνεῖται ἡ λεοντῆ, προσραπτέον εἶναι ἐκεῖ τὴν ἀλωπεκῆν.

Πρὸς δ' Ἀργείυς δικαιότερα τῶν Λακεδαιμονίων λέγειν περὶ τῆς ἀμφισβητυμένης χώρας δοκῦντας [4], σπασάμε-

1 Turn. & Petav. Μαντινείᾳ.

2 Petav. εἰσὶ Λακεδ. omisso οἱ. Mox idem πολλοί ἐςι.

3 In R. Frft. & Maitt. αὐτῶ. Correxi. Sequens τῶν omittit Petav.

4 Dedi sic ex Turn. V. Petav. & e consensu trium Interpp. loco vulgatae δοκάντων.

σάμενος τὴν μάχαιραν· Ὁ ταύτης (ἔφη) κρατῶν, βέλτιςα περὶ γῆς ὅρων διαλέγεται. Τὰς δὲ Λακεδαιμονίας ὁρῶν ὀκνᾶντας προσμάχεσθαι τοῖς τείχεσι τῶν Κορινθίων, ὡς εἶδε λαγὼν ἐξαλλόμενον ἐκ τῆς τάφρα· Τοιάτας (ἔφη) φοβεῖσθε πολεμίας, ὧν οἱ λαγοὶ δι' ἀργίαν ἐν τοῖς τείχεσιν ἐγκαθεύδασιν;

Μεγάρεως [1] δ' ἀνδρὸς ἐν κοινῷ συλλόγῳ παῤῥησίᾳ χρησαμένα πρὸς αὐτόν· Οἱ λόγοι σα (εἶπε) πόλεως δέονται.

Ἀγησιλάυ. Ἀγησίλαος ἔλεγε, τὰς τὴν Ἀσίαν κατοικᾶντας, ἐλευθέρας μὲν κακὰς εἶναι, δάλας δ' ἀγαθάς.

Εἰθισμένων δ' αὐτῶν τὸν Περσῶν βασιλέα μέγαν προσαγορεύειν· Τί δ' ἐκεῖνος (εἶπεν) ἐμᾶ μείζων, εἰ μὴ δικαιότερος καὶ σωφρονέςερος;

Περὶ ἀνδρείας καὶ δικαιοσύνης ἐρωτηθεὶς, ποτέρα βελτίων· Οὐδὲν ἀνδρείας (ἔφη) χρῄζομεν [2], ἐὰν πάντες ὦμεν δίκαιοι.

Νυκτὸς δὲ μέλλων κατὰ τάχος ἀναζευγνύειν ἐκ τῆς πολεμίας, καὶ τὸν ἐρώμενον ὁρῶν ἀπολειπόμενον δι' ἀσθένειαν, καὶ δακρύοντα· Χαλεπὸν (εἶπεν) ἅμα ἐλεεῖν καὶ φρονεῖν.

Μενεκράτας δὲ, τᾶ ἰατρᾶ, Διὸς προσαγορευομένα, γράψαντος ἐπιςολὴν πρὸς αὐτόν· Μενεκράτης Ζεὺς βασιλεῖ Ἀγησιλάῳ χαίρειν· ἀντέγραψεν· Βασιλεὺς Ἀγησίλαος Μενεκράτει ὑγιαίνειν.

Λακεδαιμονίων δὲ νικησάντων Ἀθηναίας καὶ τὰς συμμάχας ἐν Κορίνθῳ, πυθόμενος τὸ πλῆθος τῶν πολεμίων νεκρῶν· Φεῦ τᾶς Ἑλλάδος, (εἶπεν) ἃ τοσάτας ὑφ' ἑαυτᾶς [3] ἀπολώλεκεν, ὅσοις ἀρκεῖ τὰς βαρβάρας νικῆν ἅπαντας.

Χρησ-

1 Ald. & Baſ. Μεγαρέως.
2 Petav. χρῄζωμεν.
3 Petav. ὑφ' αὐτᾶς.

Χρησμὸν δὲ λαβὼν ἐν Ὀλυμπίᾳ παρὰ τοῦ Διὸς, ὃν ἤθελεν, εἶτα τῶν ἐφόρων κελευόντων καὶ τὸν Πύθιον ἐρωτῆσαι περὶ τῶν αὐτῶν, εἰς Δελφοὺς παραγενόμενος, ἠρώτησε τὸν θεὸν, εἰ, ἅπερ τῷ πατρὶ, δοκεῖ καὶ αὐτῷ.

Παραιτούμενος δέ τινα τῶν φίλων παρὰ τοῦ Καρὸς Ἰκαριέως [1], ἔγραψε πρὸς αὐτόν· Νικίας εἰ μὲν οὐκ ἀδικεῖ, ἄφες [2]· εἰ δ' ἀδικεῖ, ἡμῖν ἄφες, πάντως δ' ἄφες.

Τοῦ δὲ μιμουμένου τὴν τῆς ἀηδόνος φωνὴν ἀκοῦσαι παρακαλούμενος· Αὐτᾶς, εἶπεν, ἄκουσα πολλάκις.

Μετὰ δὲ τὴν ἐν Λεύκτροις μάχην, πάντας τοὺς τρέσαντας ἀτίμους εἶναι τοῦ νόμου κελεύοντος, ὁρῶντες οἱ ἔφοροι τὴν πόλιν ἀνδρῶν ἔρημον οὖσαν, ἐβούλοντο τὴν ἀτιμίαν λῦσαι, καὶ νομοθέτην ἀπέδειξαν τὸν Ἀγησίλαον. ὁ δὲ προελθὼν εἰς τὸ μέσον, ἐκέλευσε τοὺς νόμους ἀπὸ τῆς αὔριον κυρίους εἶναι.

Ἐπεὶ δὲ, πεμφθεὶς τῷ βασιλεῖ τῶν Αἰγυπτίων σύμμαχος, ἐπολιορκεῖτο μετ' αὐτοῦ, πολλαπλασιόνων ὄντων τῶν πολεμίων, καὶ περιταφρευόντων τὸ στρατόπεδον, κελεύσαντος ἐπεξιέναι καὶ διαμάχεσθαι τοῦ βασιλέως, οὐκ ἔφη διακωλύσειν τοὺς πολεμίους ἴσους αὐτοῖς γενέσθαι βουλομένους. ἔτι δὲ μικρὸν ἀπολειπούσης [3] τῆς τάφρου συνάψαι, κατὰ τοῦτο παρατάξας τὸ διαλεῖπον, καὶ πρὸς ἴσους ἴσοι ἀγωνισάμενοι ἐνίκησαν.

Ἀποθνήσκων δὲ, τοὺς φίλους ἐκέλευσε μηδεμίαν πλαστὰν [4], μηδὲ μιμηλὰν ποιήσασθαι, τὰς εἰκόνας οὕτω προσαγορεύων. εἰ γάρ τι καλὸν ἔργον πεποίηκα, τοῦ-

τό

1 Xyl. Ἰδριέως legendum monet, uti est in vita Agesil. (Vol. IV. pag. 91. not. 4.) & in Laconicis.

2 In MS. versionis Philelph. omittuntur εἰ δ' ἀδικεῖ, ἡμῖν ἄφες.

3 Petav. ἀπολιπούσης.

4 Sic Xyl. legit, & dedit Steph. In Ald. Bas. Petav. πλάθαν. V. πλαγάν. Mox pariter Ald. Bas. Petav. οὐδ' εἰ πάντες; Xyl. e Laconicis legendum monuit, οὐδ' οἱ π. quod Steph. dedit.

τό μȣ μνημεῖόν ἐςιν· εἰ δὲ μηδὲν, ȣ̓δ' οἱ πάντες ἀνδριάντες.

Ἀρχιδάμȣ τȣ̃ Ἀγησιλάȣ. Ἀρχίδαμος ὁ Ἀγησιλάȣ, καταπελτικὸν ἰδὼν βέλος τότε πρῶτον ἐκ Σικελίας κομιθέν, ἀνεβόησεν· Ὦ Ἡράκλεις, ἀπόλωλεν ἀνδρὸς ἀρετά.

Ἄγιδος τȣ̃ νεωτέρȣ. Ὁ δὲ νεώτερος Ἄγις, Δημάδȣ λέγοντος, ὅτι τὰ Λακωνικὰ ξίφη διὰ μικρότητα καταπίνȣσιν οἱ θαυματοποιοί· Καὶ μὴν (ἔφη) μάλιςα οἱ Λακεδαιμόνιοι τῶν πολεμίων τοῖς ξίφεσιν ἐφικνȣ̃νται.

Τῷ δὲ προδότῃ παραδȣ̃ναι ςρατιώτας τῶν ἐφόρων κελευόντων, ȣ̓κ ἔφη πιςεύειν τȣ̀ς ἀλλοτρίȣς τῷ προδόντι τȣ̀ς ἰδίȣς.

Κλεομένȣς. Κλεομένης πρὸς τὸν ὑπιςχνȣ́μενον αὐτῷ δώσειν ἀλεκτρυόνας ἀποθνήσκοντας ἐν τῷ μάχεσθαι· Μή σύ γε· (εἶπεν) ἀλλὰ δός μοι τȣ̀ς κατακτείνοντας ἐν τῷ μάχεσθαι [1].

Παιδαρέτȣ. Παιδάρετος, ȣ̓κ ἐγκριθεὶς εἰς τȣ̀ς τριακοσίȣς, ἥτις ἦν ἐν τῇ πόλει πρωτεύȣσα τιμὴ τῇ τάξει, ἱλαρὸς καὶ μειδιῶν ἀπῄει, χαίρειν λέγων, εἰ τριακοσίȣς ἡ πόλις ἔχει πολίτας ἑαυτȣ̃ βελτίονας.

Δαμονίδȣ. Δαμονίδας δὲ ταχθεὶς εἰς τὴν τελευταίαν τȣ̃ χορȣ̃ τάξιν ὑπὸ τȣ̃ τὸν χορὸν ἱςάντος· Εὖγε (εἶπεν) ἐξεῦρες, πῶς καὶ αὐτὸς ἔντιμος γένηται.

Νικοςράτȣ. Νικόςρατος, ὁ τῶν Ἀργείων ςρατηγός, ὑπὸ Ἀρχιδάμȣ χωρίον τι προδȣ̃ναι παρακαλȣ́μενος ἐπὶ χρήμασι πολλοῖς, καὶ γάμῳ Λακαίνης, ἣν βȣ́λεται, δίχα τῶν βασιλικῶν, ἀπεκρίνατο, μὴ εἶναι τὸν Ἀρχίδαμον ἀφ' Ἡρακλέȣς· τὸν μὲν γὰρ Ἡρακλέα περιϊόντα τȣ̀ς κακȣ̀ς κολάζειν, Ἀρχίδαμον δὲ τȣ̀ς ἀγαθȣ̀ς κακȣ̀ς ποιεῖν.

Εὐδαι-

1 Petav. αὐτῷ μάχεσθαι. Ald. & Baf. κατακτείνοντας.

Εὐδαιμονίδȣ. Εὐδαιμονίδας [1] ἰδὼν ἐν ἀκαδημίᾳ Ξενοκράτην πρεσβύτερον ἤδη μετὰ τῶν μαθητῶν φιλοσοφȣ̃ντα, καὶ πυθόμενος, ὅτι τὴν ἀρετὴν ζητεῖ· Πότε ȣ̃ν (εἶπεν) αὐτῇ χρήσεται;

Πάλιν ἀκȣ́σας φιλοσόφȣ διαλεχθέντος, ὅτι μόνος ἀγαθὸς ϛρατηγὸς [2] ὁ σοφός ἐϛιν· Ὁ μὲν λόγος (ἔφη) θαυμαϛὸς, ὁ δὲ λέγων ȣ̓ περισεσάλπιϛαι.

Ἀντιόχȣ. Ἀντίοχος [3] ἐφορεύων, ὡς ἤκȣσεν, ὅτι Μεσσηνίοις Φίλιππος τὴν χώραν ἔδωκεν, ἠρώτησεν, εἰ καὶ τὸ κρατεῖν αὐτοῖς μαχομένοις περὶ τῆς χώρας ἔδωκεν.

Ἀνταλκίδȣ. Ἀνταλκίδας πρὸς τὸν Ἀθηναῖον ἀμαθεῖς ἀποκαλȣ̃ντα τȣ̀ς Λακεδαιμονίȣς· Μόνοι γȣ̃ν (εἶπεν) ἡμεῖς ȣ̓δὲν μεμαθήκαμεν κακὸν παρ᾽ ὑμῶν.

Ἑτέρȣ δ᾽ Ἀθηναίȣ πρὸς αὐτὸν εἰπόντος· Ἀλλὰ μὴν ἡμεῖς ἀπὸ τȣ̃ Κηφισσȣ̃ [4] πολλάκις ὑμᾶς ἐδιώξαμεν· Ἡμεῖς δ᾽ ȣ̓δέποτε (εἶπεν) ὑμᾶς ἀπὸ τȣ̃ Εὐρώτα.

Σοφιϛȣ̃ δὲ μέλλοντος ἀναγινώσκειν ἐγκώμιον Ἡρακλέȣς, ἔφη· Τίς γὰρ αὐτὸν ψέγει;

Ἐπαμινώνδȣ. Ἐπαμινώνδȣ τȣ̃ Θηβαίȣ ϛρατηγȣ̃ντος, ȣ̓δέποτε πανικὸς θόρυβος ἐνέπεσεν εἰς τὸ ϛρατόπεδον.

Ἔλεγε δὲ, τὸν ἐν πολέμῳ θάνατον εἶναι κάλλιϛον.

Τῶν δὲ ὁπλιτῶν δεῖν ἀπέφαινεν εἶναι τὸ σῶμα γεγυμνασμένον ȣ̓κ ἀθλητικῶς μόνον, ἀλλὰ καὶ ϛρατιωτικῶς.



1 Non probat hoc nomen Xyl. Vertit *Eudamidas* e Laconic. apophth. Eum Kaltw. ſequitur. Philelphus habet *Eudaemonidas*.

2 Hanc vocem, a Steph. & ſeqq. omnibus omiſſam, neceſſe duxi, ut ex Ald. Baſ. Petav. & Interpp. tribus reſtituam, cum tota ſententia eam flagitet.

3 Antiochi nomen in Lacone Xylandro eſt ſuſpectum. MS. verſ. Phil. habet *Antilochus*. Petav. mox Μεσηνίοις pro Μεσσηνίοις.

4 Ald. & Baſ. Κηφισȣ̃.

κῶς· διὸ καὶ τοῖς πολυσάρκοις ἐπολέμει, καί τινα τοιοῦτον ἀπήλασε τῆς στρατιᾶς· εἰπὼν [1], ὅτι μόλις αὐτοῦ σκέπουσι τὴν γαστέρα ἀσπίδες τρεῖς, ἢ τέσσαρες, δι' ἣν οὐχ ἑώρακεν αὐτοῦ τὸ αἰδοῖον.

Οὕτω δ' ἦν εὐτελὴς περὶ τὴν δίαιταν, ὥστε κληθεὶς ἐπὶ δεῖπνον ὑπὸ γείτονος, εὑρὼν πεμμάτων καὶ ὄψων καὶ μύρων παρασκευὴν, ἀπῆλθεν εὐθὺς, εἰπών· Ἐγώ σε θύειν ᾤμην [2], οὐχ ὑβρίζειν.

Τοῦ δὲ μαγείρου τοῖς συνάρχουσιν ἡμερῶν τινων δαπάνην ἀπολογιζομένου, πρὸς μόνον ἠγανάκτησε τὸ πλῆθος τοῦ ἐλαίου. θαυμασάντων δὲ τῶν συναρχόντων, οὐ τὸ τῆς δαπάνης ἔφη λυπεῖν αὐτὸν, ἀλλ' εἰ τοσοῦτον ἔλαιον ἐντὸς παραδέδεκται τοῦ σώματος.

Ἑορτὴν δὲ τῆς πόλεως ἀγούσης, καὶ πάντων ἐν πότοις καὶ συνουσίαις ὄντων, ἀπήντησέ [3] τινι τῶν συνήθων αὐχμηρὸς καὶ σύννους βαδίζων· θαυμάζοντος δὲ, καὶ πυνθανομένου, τί δὴ μόνος οὕτως ἔχων περίεισιν· Ὅπως (εἶπεν) ἐξῇ πᾶσιν ὑμῖν μεθύειν καὶ ῥᾳθυμεῖν.

Ἄνθρωπον δὲ Φαῦλον, ἐξημαρτηκότα [4] τι τῶν μετρίων, τοῦ μὲν Πελοπίδου παρακαλοῦντος, οὐκ ἀφῆκε· τῆς δ' ἐρωμένης δεηθείσης, ἀφῆκεν, εἰπὼν, ὅτι τοιαῦτα πρέπει λαμβάνειν ἑταιριδίοις, ἀλλὰ μὴ στρατηγοῖς.

Ἐπεὶ δὲ, Λακεδαιμονίων ἐπιστρατευομένων, ἀνεφέροντο χρησμοὶ τοῖς Θηβαίοις, οἱ μὲν ἧτταν, οἱ δὲ νίκην φράζοντες, ἐκέλευσε τοὺς μὲν ἐπὶ δεξιᾷ [5] τοῦ βήματος θεῖναι, τοὺς δ' ἐπ' ἀριστερᾷ. τεθέντων δὲ πάντων,

ἀνα-

1 Petav. εἰπόντος; Mox idem τρὶς, & Turn. οὐκ ἑωράκαμεν (ſic).

2 W. vitioſe ᾤρμην. Ald. ᾤυμεν; Baſ. ᾠόμην.

3 Ald. & Baſ. ἀπήτησε.

4 In ſuppl. var. lect. Frft. notatur ἁμαρτηκότα. Mox Petav. Πελοπίδα; Turn. Πελόπιδος.

5 Petav. δεξιὰ, & mox θῆναι, & ἀριστερὰ. Deinde Turn. & Petav. τιθέντων πάντων, absque δὲ; & mox Petav. ἐθελήσηται.

ἀναςὰς εἶπεν· Ἐὰν μὲν ἐθελήσητε τοῖς ἄρχουσι πείθεσθαι, καὶ τοῖς πολεμίοις ὁμόσε χωρεῖν, οὗτοι ὑμῖν εἰσιν οἱ χρησμοὶ, δείξας τοὺς βελτίονας· ἐὰν δ' ἀποδειλιάσητε πρὸς τὸν κίνδυνον, ἐκεῖνοι, πρὸς τοὺς χείρονας ἰδών [1].

Πάλιν δὲ προσάγων [2] τοῖς πολεμίοις, βροντῆς γενομένης, καὶ τῶν περὶ αὐτὸν πυνθανομένων, τί σημαίνειν οἴεται τὸν θεὸν, ἐμβεβροντῆσθαι τοὺς πολεμίους εἶπεν, ὅτι, τοιούτων χωρίων ἐγγὺς ὄντων, ἐν τοιούτοις ςρατοπεδεύουσιν.

Ἥδιςον δὲ πάντων αὐτῷ [3] τῶν γεγονότων καλῶν καὶ ἀγαθῶν εἶναι ἔλεγε, τὸ τῶν γειναμένων αὐτὸν τοῦ πατρὸς ζῶντος ἔτι καὶ τῆς μητρὸς, ἐν Λεύκτροις νικῆσαι Λακεδαιμονίους.

Εἰωθὼς δὲ φαίνεσθαι τὸν ἄλλον χρόνον ἀληλιμμένος τὸ σῶμα, καὶ φαιδρὸς τῷ προσώπῳ, μετὰ τὴν μάχην ἐκείνην τῇ ὑςεραίᾳ προῆλθεν αὐχμηρὸς καὶ ταπεινός. τῶν δὲ φίλων ἐρωτώντων, μή τι λυπηρὸν αὐτῷ συμπέπτωκεν· Οὐδὲν (εἶπεν)· ἀλλ' ἐχθὲς ᾐσθόμην ἐμαυτοῦ μεῖζον, ἢ καλῶς ἔχει, φρονήσαντος· διὸ σήμερον κολάζω τὴν ἀμετρίαν τῆς χαρᾶς.

Εἰδὼς δὲ τοὺς Σπαρτιάτας ἐπικρυπτομένους τὰ τοιαῦτα συμπτώματα, καὶ βουλόμενος ἐξελέγξαι τὸ μέγεθος τῆς συμφορᾶς αὐτῶν, οὐχ ὁμοῦ πᾶσι νεκρῶν ἀναίρεσιν, ἀλλ' ἑκάςοις [4] κατὰ πόλιν ἔδωκεν, ὥςε πλείονας, ἢ χιλίους, ὄντας ὀφθῆναι τοὺς Λακεδαιμονίων.

Ἰάσονος δὲ, τοῦ Θεσσαλῶν μονάρχου, συμμάχου μὲν



1 W. ſum ſecutus, qui ſic dedit ex J. Jun. & Raph. Regii verſione. Vulgo εἰπών.

2 Turn. προσαγαγὼν; Petav. corrupte προσαγάγων. Mox poſt πυνθανομ. uterque inſerit μόνον; & deinde ἐμβεβροντῆσαι.

3 Petav. αὐτοῦ. Ab eodem abeſt mox ſeq. εἶναι; dat porro γενομένων pro γειναμ.

4 Petav. ἑκάςῃ; mox idem dat ὡς pro ὥςε, & omittit ὄντας.

μὲν εἰς Θήβας παραγενομένε, διχιλίες δὲ χρυσῦς τῶ Ἐπαμινώνδα πέμψαντος ἰσχυρῶς πενομένῳ, τὸ μὲν χρυσίον ἐκ ἔλαβε, τὸν δ' Ἰάσονα θεασάμενος· Ἀδίκων (ἔφη) χειρῶν ἄρχεις· αὐτὸς δὲ πεντήκοντα δραχμὰς δανεισάμενος παρά τινος τῶν πολιτῶν, ἐφόδιον τῆς ϛρατιᾶς, ἐνέβαλεν εἰς Πελοπόννησον.

Αὖθις δὲ τῦ Περσῶν βασιλέως τρισμυρίες δαρεικὲς ἀποϛείλαντος αὐτῷ [1], καθήψατο πικρῶς Διομέδοντος, ὃς εἰς τοσῦτον πλῦν πέπλευκε διαφθερῶν Ἐπαμινώνδαν. πρὸς δὲ τὸν βασιλέα λέγειν ἐκέλευσεν, ὅτι τὰ συμφέροντα [2] Θηβαίοις φρονῶν, ἕξει προῖκα φίλον Ἐπαμινώνδαν· τὰ δὲ μὴ συμφέροντα, πολέμιον.

Ἐπεὶ δ' Ἀργεῖοι μὲν ἐγένοντο σύμμαχοι Θηβαίων, Ἀθηναίων δὲ πρέσβεις εἰς Ἀρκαδίαν παραγενόμενοι κατηγόρεν ἀμφοτέρων, καὶ Καλλίϛρατος, ὁ ῥήτωρ, ὠνείδισε τὸν Ὀρέϛην καὶ τὸν Οἰδίποδα ταῖς πόλεσιν, ἐπαναϛὰς ὁ [3] Ἐπαμινώνδας· Ὁμολογῦμεν (ἔφη) καὶ παρ' ἡμῖν πατροκτόνων γενέσθαι, καὶ παρ' Ἀργείοις μητροκτόνον· ἀλλὰ τὲς ταῦτα δράσαντας ἡμεῖς μὲν ἐξεβάλομεν [4], Ἀθηναῖοι δὲ ὑπεδέξαντο.

Πρὸς δὲ τὲς Σπαρτιάτας πολλὰ καὶ μεγάλα τῶν Θηβαίων [5] κατηγορήσαντας· Οὗτοι μέντοι (εἶπεν) ὑμᾶς βραχυλογῦντας ἔπαυσαν.

Ἐπεὶ δ' Ἀλέξανδρον, τὸν Φεραίων τύραννον, πολέμιον ὄντα Θηβαίων, Ἀθηναῖοι φίλον ἐποιήσαντο καὶ σύμμαχον, ὑποχόμενον αὐτοῖς ἡμιωβολίε τὴν μνᾶν κρεῶν ὤνιον παρέξειν· Ἡμεῖς δὲ (ἔφη ὁ Ἐπαμινώνδας) ξύλα προῖκα παρέξομεν Ἀθηναίοις ἐπὶ τὰ κρέα ταῦτα· τὴν γὰρ [6] χώραν αὐτῶν τεμῦμεν, ἂν πολυπραγμονῶσι.

Τὲς

1 Petav. αὐτῦ. Partic. δὲ ante τὸν βασ. omittit idem.

2 Turn. & Petav. συμβαίνοντα, & mox φρονεῖν.

3 abest ὁ a Petav. item mox sequens παρ'.

4 Petav. ἐξεβάλλομεν.

5 Turn. & Petav. τὲς Θηβαίες.

6 γὰρ dedi cum W. e Turn. Voss. Mez. versionibus Philelphi & Raph. Regii. Vulgo τὴν δέ.

Τὰς δὲ Βοιωτὰς ὑπὸ χολῆς ἐκλυομένας ἀεὶ βαλόμενος [1] ἐν τοῖς ὅπλοις συνέχειν [2], ὁπότε Βοιωτάρχης αἱρεθείη, παραινῶν ἔλεγε· Ἔτι βαλεύσασθε, ἄνδρες. ἐὰν γὰρ ἐγὼ στρατηγῶ, στρατευτέον ἐστὶν ὑμῖν. καὶ τὴν χώραν ὑπτίαν ἔσαν καὶ ἀναπεπταμένην, πολέμα ὀρχήστραν προσηγόρευεν, ὡς μὴ δυναμένας κρατεῖν αὐτῆς, ἂν μὴ τὴν χεῖρα διὰ πόρπακος ἔχωσι.

Τᾶ δὲ Χαβρία περὶ Κόρινθον ὀλίγας τινὰς τῶν Θηβαίων ὑπὸ τὰ τείχη Φιλομαχᾶντας καταβαλόντος, καὶ στήσαντος τρόπαιον, ὁ Ἐπαμινώνδας καταγελῶν ἔφη, ἐνταῦθα δὴ [3] ἀ τρόπαιον, ἀλλὰ Ἑκατήσιον, ἑστάναι. τὴν γὰρ Ἑκάτην ἐπιεικῶς ἐν ταῖς πρὸ τῶν πυλῶν ἱδρύοντο τριόδοις.

Ἀπαγγείλαντος δέ τινος, ὡς Ἀθηναῖοι στράτευμα καινοῖς κεκοσμημένον ὅπλοις εἰς Πελοπόννησον ἀπεστάλκασι· Τί ἄν (εἶπεν) Ἀντιγενίδας στένει καινὰς Τέλλινος αὐλὰς ἔχοντος; ἦν δ' αὐλητὴς ὁ μὲν Τέλλις, κάκιστος· ὁ δ' Ἀντιγενίδας, κάλλιστος.

Τὸν δὲ ὑπασπιστὴν αἰσθόμενος εἰληφότα χρήματα πολλὰ παρ' ἀνδρὸς αἰχμαλώτα γεγονότος· Ἐμοὶ μὲν (εἶπεν) ἀπόδος τὴν ἀσπίδα, σεαυτῷ δὲ πρίω [4] καπηλεῖον, ἐν ᾧ καταζήσεις. ἀκέτι γὰρ ἐθέλεις κινδυνεύειν ὁμοίως, εἷς τῶν πλασίων γεγονὼς καὶ μακαρίων.

Ἐρωτηθεὶς δὲ, πότερον ἑαυτὸν ἡγεῖται βελτίονα στρατηγὸν, ἢ Χαβρίαν, ἢ Ἰφικράτην· Δύσκριτον, (εἶπεν) ἕως ζῶμεν.

Ἐπεὶ δ' ἐκ τῆς Λακωνικῆς ὑποστρέψας ἔφευγε θανάτα δίκην μετὰ τῶν συστρατηγῶν, ὡς ἐπιβαλὼν τῇ Βοιω-



1 Sic dedi cum W. e Turn. Petav. Voff. Venet. & verfionibus Phil. Raph. & Xyl. Vulgo βαλευόμενος.

2 Turn. & Petav. ἀνέχειν. Iid mox ἡμῖν pro ὑμῖν.

3 Turn. Petav. δεῖ. Idem legiſſe videntur Philelph. & Raph. Regius.

4 Petav. πρίω. Sic quoque Ald.

ταρχίᾳ παρὰ τὸν νόμον τέσσαρας μῆνας, τὲς μὲν συνάρχοντας [1] ἐκέλευεν εἰς ἑαυτὸν ἀναφέρειν τὴν αἰτίαν, ὡς ἐκβιαθέντας, αὐτὸς δ' ἐκ ἔφη βελτίονας ἔχειν τῶν ἔργων λόγες. εἰ δὲ δεῖ τι πάντως εἰπεῖν πρὸς τὲς δικαςὰς, ἀξιῦν, ἂν ἀποκ]είνωσιν αὐτὸν, ἐπιγράψαι τῇ ςήλῃ τὴν καταδίκην, ὅπως οἱ Ἕλληνες εἰδῶσιν, ὅτι μὴ βελομένες Θηβαίες Ἐπαμινώνδας ἠνάγκασε τὴν Λακωνικὴν πυρπολῆσαι, πεντακοσίοις ἐνιαυτοῖς ἀδήωτον ἔσαν· οἰκῆσαι [2] δὲ Μεσήνην δι' ἐτῶν τριάκοντα καὶ διακοσίων· συντάξαι [3] δὲ καὶ συναγαγεῖν εἰς ταυτὸν Ἀρκάδας· ἀποδῦναι δὲ τοῖς Ἕλλησι τὴν αὐτονομίαν. ταῦτα γὰρ ἐπράχθη κατ' ἐκείνην τὴν ςρατείαν. ἐξῆλθον ἦν οἱ δικαςαὶ σὺν πολλῷ γέλωτι, μηδὲ τὰς ψήφες ἐπ' αὐτὸν ἀναλαβόντες.

Ἐν δὲ τῇ τελευταίᾳ μάχῃ τρωθεὶς καὶ κομιθεὶς ἐπὶ σκηνὴν, ἐκάλει Δαΐφαντον, εἶτα μετ' ἐκεῖνον Ἰολλίδαν· τεθνάναι δὲ τὲς ἄνδρας πυθόμενος, ἐκέλευε διαλύεσθαι πρὸς τὲς πολεμίες, ὡς ἐκ ὄντος αὐτοῖς ςρατηγῦ. καὶ τῷ λόγῳ τὸ ἔργον ἐμαρτύρησεν, ὡς εἰδότος ἄριςα τὲς πολίτας.

Πελοπίδε. Πελοπίδας ὁ συςράτηγος Ἐπαμινώνδε [4], τῶν φίλων αὐτὸν ἀμελεῖν λεγόντων πράγματος ἀναγκαίε, χρημάτων συναγωγῆς [5]· Ἀναγκαῖα τὰ χρήματα νὴ Δία (εἶπε) τέτῳ Νικομήδει, δείξας χωλὸν καὶ ἀνάπηρον ἄνθρωπον.

Τῆς δὲ γυναικὸς, ἐπὶ μάχην ἐξιόντος αὐτῦ, δεομένης

1 Vulgatam τὲς μὲν ἦν ἄρχοντας sic corrigere non dubitavi. Vidit idem Mez. reddiderunt interpp. Philelph. Raphael. Amiot. & probavit W. Pro ἐκέλευεν Turn & Pet. ἐκέλευσεν.

2 W. mavult οἰκίσαι, incolis frequentare.

3 Turn. & Pet. συνάξαι; iid. pro Ἀρκάδας dant ἄνδρας. Pro ἐξῆλθον Turn. ἐξήλων. Petav. Εὐολλίδαν pro Ἰολλίδαν; MS. Xyl. Ἰολλ.δαν.

4 Turn. & Petav. Ἐπαμινώνδα.

5 Petav. πράγματος πραγμάτων συναγωγῆς.

μένης σώζειν ἑαυτὸν, ἄλλοις ἔφη δεῖν τοῦτο παραινεῖν, ἄρχοντι δὲ καὶ στρατηγῷ, σώζειν τοὺς πολίτας.

Εἰπόντος δέ τινος τῶν στρατιωτῶν· Ἐμπεπτώκαμεν εἰς τοὺς πολεμίους· Τί μᾶλλον, (εἶπεν) ἢ εἰς ἡμᾶς ἐκεῖνοι;

Ἐπεὶ δὲ παρασπονδηθεὶς ὑπὸ Ἀλεξάνδρου, τοῦ Φεραίων τυράννου, καὶ δεθεὶς [1], κακῶς αὐτὸν ἔλεγεν, εἰπόντος ἐκείνου· Σπεύδεις ἀποθανεῖν; Πάνυ μὲν οὖν (εἶπεν) ἵνα μᾶλλον ἐπί σε [2] παροξυνθῶσι Θηβαῖοι, καὶ σὺ δίκην δῷς τάχιον.

Θήβης δὲ, τῆς τοῦ τυράννου γυναικὸς, ἐλθούσης πρὸς Πελοπίδαν, καὶ λεγούσης θαυμάζειν, ὅτι οὕτως ἱλαρός ἐστι δεδεμένος, αὐτὸς ἔφη μᾶλλον θαυμάζειν ἐκείνην, ὅτι μὴ δεδεμένη ὑπομένει Ἀλέξανδρον.

Κομισαμένου δ' αὐτὸν τοῦ Ἐπαμινώνδου, χάριν, εἶπεν, ἔχειν Ἀλεξάνδρῳ. πεπειρᾶσθαι [3] γὰρ ἑαυτοῦ νῦν μάλιστα οὐ μόνον πρὸς πόλεμον, ἀλλὰ καὶ πρὸς θάνατον εὐθαρσῶς ἔχοντος.

## ΡΩΜΑΙΩΝ ΑΠΟΦΘΕΓΜΑΤΑ.

Μ. Κουρίου. Μάνιος Κούριος [4], ἐγκαλούντων αὐτῷ τινων, ὅτι τῆς αἰχμαλώτου χώρας ὀλίγον ἑκάστῳ μέρος διένειμε, τὴν δὲ πολλὴν [5] ἐποίησε δημοσίαν, ἐπηύξατο, μηδένα γενέσθαι Ῥωμαίων, ὃς ὀλίγην ἡγήσεται γῆν τὴν τρέφουσαν.

Σαυνιτῶν δὲ μετὰ τὴν ἧτταν ἀφικομένων πρὸς αὐτὸν,



1 Turn. & Pet. δειηθεὶς.

2 absunt a Petav. ἐπί σε.

3 Petav. πεπείραται. Sic est in Ald. & Bas. item in pecul. Steph. edit. Mox inserui μόνον, quod vulgo deest, auctoritate suppl. var. lect. in ed. Frft. Idem dedisse video W. nulla tamen allata ratione, sive codicis auctoritate.

4 Turn. & Petav. Κούρτιος. Sic est quoque in Ald.

5 Ald. & Bas. τὴν δὲ πόλιν. Xyl. e MS. correxit.

τὸν, καὶ χρυσίον διδόντων, ἔτυχεν ἐν χύτραις ἕψων γογγυλίδας· ἀπεκρίνατο δὲ τοῖς Σαυνίταις μηδὲν χρυσίου δεῖσθαι τοιοῦτον δεῖπνον δειπνῶν· αὐτῷ δὲ βέλτιον εἶναι τοῦ χρυσίον [1] ἔχειν τὸ κρατεῖν τῶν ἐχόντων.

Γ. Φαβρικίου. Γάϊος Φαβρίκιος, τὴν ὑπὸ Πύῤῥου Ῥωμαίων ἧτταν πυθόμενος, Λαβιήνῳ [2] εἶπεν· Πύῤῥος, οὐκ Ἠπειρῶται Ῥωμαίους νενικήκασιν.

Ἐλθὼν δὲ πρὸς Πύῤῥον περὶ λύσεως αἰχμαλώτων, χρυσίον μὲν πολὺ διδόντος, οὐκ ἔλαβε· τῇ δ' ὑστεραίᾳ τὸν μέγιστον ἐλέφαντα, τοῦ Πύῤῥου παρακελεύσαντος [3] ἐξόπισθεν ἀγνοοῦντι τῷ Φαβρικίῳ ῥήξαντα φωνὴν ἐπιφανῆναι· καὶ τούτου γενομένου, ἐπιστραφεὶς ὁ Φαβρίκιος καὶ μειδιάσας· Ἐμὲ [4] μὲν (εἶπεν) οὔτε τὸ χρυσίον ἐχθὲς, οὔτε σήμερον τὸ θηρίον ἐξέπληξε.

Τοῦ δὲ Πύῤῥου παρακαλοῦντος αὐτὸν εἶναι σὺν αὐτῷ καὶ τὴν μετ' αὐτὸν ἔχειν ἡγεμονίαν· Οὐδέ σοι [5] (ἔφη) τοῦτο λυσιτελές ἐστιν. Ἠπειρῶται γὰρ, ἐὰν ἀμφοτέρους γνῶσιν ἡμᾶς, ὑπ' ἐμοῦ βασιλεύεσθαι μᾶλλον, ἢ σοῦ, ἐθελήσουσιν.

Ὑπατεύοντι δὲ τῷ Φαβρικίῳ προσέπεμψεν ἐπιστολὴν ὁ τοῦ Πύῤῥου ἰατρὸς, ἐπαγγελλόμενος, ἐὰν κελεύῃ, φαρμάκοις τὸν Πύῤῥον ἀποκτενεῖν. ὁ δὲ Φαβρίκιος τὴν ἐπιστολὴν πρὸς Πύῤῥον ἔπεμψεν, αἰσθέσθαι κελεύσας, ὅτι [6] καὶ φίλων κάκιστός ἐστι κριτὴς καὶ πολεμίων. Ἐπεὶ δὲ φωράσας τὴν ἐπιβουλὴν [7] ὁ Πύῤῥος, τὸν μὲν ἰατρὸν ἐκρέμασε, τῷ δὲ Φαβρικίῳ τοὺς αἰχμαλώτους ἄνευ λύτρων ἀπέδωκεν, οὐκ ἐδέξατο δωρεὰν, ἀλλ' ἴσους ἀντέδωκε, μὴ δόξῃ λαμβάνειν μισθόν. οὐδὲ γὰρ χάριτι Πύῤ-ῥου

1 Petav. χρυσίου.
2 Xyl. legit vertitque *Laevino.*
3 Turn. & Petav. παρασκευάσαντος.
4 Turn. & Pet. εἰ pro ἐμὲ; Seq. μὲν abest ab Ald. & Bas.
5 Petav. οὐδέ σου; & mox θελήσουσι.
6 E Turn. recepi ὅτι, pro vulg. διότι.
7 Turn. & Pet. τὴν ἐπιστολήν. Sic & infra iidem.

ρυ μεμηνυκέναι τὴν ἐπιβυλὴν, ἀλλ᾽ ὅπως μὴ δοκῶσι Ῥωμαῖοι δόλῳ κ]είνειν, ὡς φανερῶς [1] νικᾷν ὐ δυνάμενοι.

Φαβίυ Μαξίμυ. Φάβιος Μάξιμος, Ἀννίβᾳ μάχεσθαι μὴ βυλόμενος, ἀλλὰ τρίβειν χρόνῳ τὴν δύναμιν αὐτῦ, καὶ χρημάτων ἐνδεᾶ καὶ σιτίων ὄσαν, ἐπηκολύθει διὰ τῶν τραχέων καὶ ὀρεινῶν ἀντιπαρεξιών. καταγελώντων δὲ τῶν πολλῶν, καὶ παιδαγωγὸν Ἀννίβα καλέντων, μικρὰ φροντίζων ἐχρῆτο τοῖς αὐτῦ λογισμοῖς· καὶ πρὸς τὺς φίλυς ἔλεγεν, ὅτι τὸν σκώμματα φοβύμενον καὶ λοιδορίας δειλότερον ἡγεῖται τῦ φεύγοντος τὺς πολεμίυς.

Ἐπεὶ δὲ, τῦ συνάρχοντος Μινυκίυ καταβαλόντος τινὰς τῶν πολεμίων, πολὺς ἦν λόγος, ὡς ἀνδρὸς ἀξίυ τῆς Ῥώμης, μᾶλλον ἔφη τὴν εὐτυχίαν, ἢ τὴν ἀτυχίαν, τῦ Μινυκίυ φοβεῖσθαι. καὶ μετὰ μικρὸν ἐνέδρᾳ περιπεσόντος [2], κινδυνεύοντος ἀπολέσθαι μετὰ τῆς ἑαυτῦ δυνάμεως, ἐπιβοηθήσας, τῶν τε πολεμίων πολλὺς διέφθειρε, κᾀκεῖνον ἔσωσεν. Ὁ μὲν ὖν Ἀννίβας εἶπε πρὸς τὺς φίλυς· Οὐ πολλάκις ὑμῖν πρὔλεγον ἐγὼ τὴν ἀπὸ τῶν ὀρῶν νεφέλην, ὅτι χειμάσει ποτὲ ἐφ᾽ ἡμᾶς;

Μετὰ δὲ τὴν ἐν Κάνναις ἀτυχίαν τῆς πόλεως, ἄρχων κατασαθεὶς μετὰ Κλαυδίυ Μαρκέλλυ τόλμαν ἔχοντος ἀνδρὸς, καὶ φιλομαχῦντος ἀεὶ πρὸς τὸν Ἀννίβαν, αὐτὸς ἤλπιζεν, εἰ μηδεὶς μάχοιτο, ταχὺ τὴν δύναμιν τῦ Ἀννίβα παρατεινομένην ἀπαγορεύσειν. ἔλεγεν ὖν ὁ Ἀννίβας, ὅτι μᾶλλον φοβεῖται Μαρκέλλυ μαχομένυ Φάβιον μὴ μαχόμενον.

Στρατιώτυ δέ τινος Λευκανῦ κατηγορηθέντος πρὸς αὐτὸν, ὡς νύκ]αρ ἀπὸ τῦ ϛρατοπέδυ πλανῷτο πολλάκις ἐρῶν γυναικὸς, τὰ δ᾽ ἄλλα θαυμαϛὸν ἐν τοῖς ὅπλοις πυνθανό-

1 Petav. φανεροὶ.

2 Petav. πεσόντοι. Pro κινδυνεύοντοι idem cum Turn. κινδυνεύσαντος. Mox Turn. τὺς πολλὺς pro πολλὺς; & Petav. ἡμῖν pro vulg. ὑμῖν; & in seq. Κάναις pro Κάνν.

θανόμενος εἶναι τον ἄνδρα, συλλαβεῖν ἐκέλευσε τὴν ἐρωμένην αὐτȣ͂ κρύφα, καὶ πρὸς αὐτὸν ἀγαγεῖν. ως δ' ἤχθη, μεταπεμψάμενος τὸν ἄνθρωπον· Οὐ λέληθας, ἔφη, παρὰ τὸν νόμον ἀπονυκτερεύων· ἀλλ' ȣ̓δὲ χρηςὸς ὢν πρότερον ἐλελήθεις. τὰ μὲν ȣ͂ν ἡμαρτημένα λελύσθω τοῖς ἠνδραγαθημένοις, τὸ δὲ λοιπὸν ἔσῃ μεθ' ἡμῶν· ἔχω γὰρ ἐγγυητήν. καὶ προαγαγὼν συνέςησεν αὐτῷ τὸ γύναιον.

Ταραντίνȣς δὲ κατέχοντα Φρȣρᾷ τὸν Ἀννίβαν, πλὴν τῆς ἀκροπόλεως, ἀπαγαγὼν πορρωτάτω δι' ἀπάτης, καὶ τὴν πόλιν ἑλὼν καὶ διαρπάσας, τȣ͂ γραμματέως ἐπερωτήσαντος, τί περὶ τῶν ἱερῶν ἔγνωκεν ἀγαλμάτων· Ἀπολείπωμεν [1] (ἔφη) Ταραντίνοις τȣ̀ς θεȣ̀ς κεχολωμένȣς. Μάρκȣ δὲ Λιβίȣ, τȣ͂ τὴν ἀκρόπολιν Φρȣρȣ͂ντος, δι' ἑαυτὸν ἑαλωκέναι τὴν πόλιν λέγοντος, οἱ μὲν ἄλλοι κατεγέλων, ὁ δὲ Φάβιος εἶπεν· Ἀληθῆ λέγεις. εἰ γὰρ μὴ σὺ τὴν πόλιν ἀπέβαλες, ȣ̓κ ἂν ἐγὼ ἀνέλαβον.

Ἤδη δὲ πρεσβύτερος ὢν, ὑπατεύοντος τȣ͂ υἱȣ͂, καὶ χρηματίζοντος ἐν δημοσίῳ, πολλῶν παρόντων, ἀναβὰς ἐφ' ἵππȣ προσῄει [2]. πέμψαντος δὲ τȣ͂ νεανίσκȣ ῥαβδȣ͂χον, καὶ καταβῆναι κελεύσαντος, οἱ μὲν ἄλλοι διετράπησαν, αὐτὸς δὲ ὁ Φάβιος ἀποπηδήσας τȣ͂ ἵππȣ προσέδραμε παρ' ἡλικίαν, καὶ περιβαλὼν τὸν υἱόν· Εὖγε, (εἶπεν) ὦ παῖ, Φρονεῖς, αἰσθόμενος, τίνων ἄρχεις, καὶ πηλίκης ἀρχῆς μέγεθος παρείληφας.

Σκιπίωνος τȣ͂ πρεσβυτέρȣ. Σκιπίων δὲ ὁ πρεσβύτερος, τὴν ἀπὸ τῶν ςρατηγιῶν [3] καὶ τῆς πολιτείας σχολὴν ἐν γράμμασι διατριβὴν ποιέμενος, ἔλεγεν, ὁπότε σχολάζοι, πλείονα πράττειν.

Ἐπεὶ

1 Sic Steph. dedit, & e Petav. enotatur. Ald. & Baf. ἀπολείπομεν. Frft. & R. ἀπολίπωμεν.

2 Sic W. legendum cenfuit, & dedi e Vita Fab. Max. Vol. I. p. 469. Vulgo προῄει.

3 Turn. & Petav. ςρατιῶν. Seq. σχολὴν abeft a Petav.

Ἐπεὶ δὲ Καρχηδόνα κατὰ κράτος εἷλε, καὶ τῶν ϛρατιωτῶν τινες αἰχμάλωτον λαβόντες εὐπρεπῆ παρθένον, ἧκον κομίζοντες, αὐτῷ τ' ἐδίδοσαν· Ἡδέως ἂν (ἔφη) ἔλαβον, εἴπερ ἦν ἰδιώτης, καὶ μὴ [1] ἄρχων.

Πολιορκῶν δὲ πόλιν Βαθεῖαν [2], ἧς ὑπερεφαίνετο ναὸς Ἀφροδίτης, ἐκέλευσεν [3] ἐκεῖ τὰς ἐγγύας ὁμολογεῖν, ὡς εἰς τρίτην ἐν τῷ ἱερῷ τῆς Ἀφροδίτης ἀκουσόμενος τῶν διαδικέντων, καὶ τοῦτ' ἐποίησεν, ὡς προεῖπε, τῆς πόλεως ἁλούσης.

Πυνθανομένου δέ τινος ἐν Σικελίᾳ, τίνι πεποιθὼς [4] ἐπὶ Καρχηδόνα μέλλει τὸν ϛόλον περαιοῦν, δείξας αὐτῷ ἐνόπλους ἄνδρας τριακοσίους γυμναζομένους, καὶ πύργον ὑψηλὸν ὑπὲρ θαλάττης· Οὐθεὶς τούτων (ἔφη) ἐϛὶν, ὅϛις ἐπὶ τὸν πύργον ἀναβὰς τοῦτον, οὐκ ἂν ἑαυτὸν ῥίψειεν ἐπὶ κεφαλὴν, ἐμοῦ κελεύσαντος.

Ἐπεὶ δὲ διαβὰς τῆς τε γῆς ἐκράτει, καὶ τὰ ϛρατόπεδα τῶν πολεμίων κατέκαυσεν [5], οἱ δὲ Καρχηδόνιοι πέμψαντες ἐποιοῦντο συνθήκας, τά τε θηρία καὶ τὰς ναῦς καὶ τὰ χρήματα δώσειν ὁμολογήσαντες· Ἀννίβου δὲ καταπλεύσαντος ἐξ Ἰταλίας, μετεμέλοντο ταῖς ὁμολογίαις [6] διὰ τὸ θαῤῥεῖν· πυθόμενος δὲ ὁ Σκιπίων ἔφη, μηδὲ βουλομένοις αὐτοῖς ἔτι τὰς σπονδὰς φυλάξειν, ἂν μὴ τάλαντα πεντακισχίλια προσεκτίσωσιν, ὅτι μετεπέμψαντο τὸν Ἀννίβαν.

Ἐπεὶ

1 Turn. & Petav. καὶ οὐκ ἄ.

2 Xyl. monet, oppidum Badiam Hiſpaniae, cujus apud Valerium ſiat mentio, eſſe intelligendum, contra priores interpretes, qui vocem βαθεῖαν pro adjectivo ſumſerant. Simul monet, quae Scipioni tribuantur, promiſcue de utroque dicta eſſe hic confuſa.

3 Ald. ἐκέλευσεν. Petav. omittit, quae ſunt inter Ἀφροδίτης & ἀκουσόμενος.

4 Petav. πεποιθὼς; & mox οὐθεὶς, ἔφη, τοῦτον ἐϛὶν.

5 Petav. κατέκαυσε τῶν πολεμίων. Proxime ſequens δὲ malim abeſſe.

6 Petav. μετεμέλοντο (ſic) τῆς ὁμολογίας; & mox μετεπέμψατο.

Ἐπεὶ δὲ νικηθέντες οἱ Καρχηδόνιοι κατὰ κράτος, περὶ σπονδῶν καὶ εἰρήνης πρέσβεις ἀπέστειλαν πρὸς αὐτὸν, ἐκέλευσεν, εὐθὺς ἀπιέναι [1] τοὺς ἥκοντας, ὡς οὐκ ἀκουσόμενος πρότερον αὐτῶν, ἢ Λεύκιον Τερέντιον ἀγάγωσιν· ἦν δὲ Ῥωμαῖος ὁ Τερέντιος, ἐπιεικὴς ἀνὴρ, γεγονὼς αἰχμάλωτος ὑπὸ Καρχηδονίων. ἐπεὶ δὲ ἧκον ἄγοντες τὸν ἄνδρα, καθίσας ἐν τῷ συμβουλίῳ παρ' αὐτὸν ἐπὶ τοῦ βήματος, οὕτως ἐχρημάτισε τοῖς Καρχηδονίοις, καὶ κατέλυσε τὸν πόλεμον.

Ὁ δὲ Τερέντιος ἐπηκολούθησεν αὐτῷ θριαμβεύοντι πίλιον ἔχων, ὥσπερ ἀπελεύθερος. ἀποθανόντος δὲ, τοῖς ἐπὶ τὴν ἐκφορὰν παραγινομένοις ἐνέχει πίνειν οἰνόμελι, καὶ τὰ ἄλλα περὶ τὴν ταφὴν ἐφιλοτιμήθη. ταῦτα μὲν οὖν ὕστερον.

Ἀντιόχου δὲ, τοῦ βασιλέως, μετὰ τὸ διαβῆναι Ῥωμαίους ἐπ' αὐτὸν, εἰς Ἀσίαν πέμψαντος πρὸς Σκιπίωνα [2] περὶ διαλύσεως· Ἔδει πρότερον, (εἶπεν) ἀλλὰ μὴ νῦν, ὁπότε καὶ τὸν χαλινὸν καὶ τὸν ἀναβάτην προσδέδεξαι.

Χρήματα δὲ τῆς συγκλήτου λαβεῖν αὐτὸν ἐκ τοῦ ταμείου ψηφισαμένης, τῶν δὲ ταμιῶν οὐ βουλομένων ἀνοῖξαι τῆς ἡμέρας ἐκείνης, αὐτὸς ἀνοίξειν ἔφη. καὶ γὰρ κλείεσθαι δι' αὐτὸν, πλήσαντα χρημάτων τοσούτων τὸ ταμιεῖον [3].

Πετιλλίου δὲ καὶ Κοΐντου [4] πολλὰ πρὸς τὸν δῆμον αὐτοῦ κατηγορησάντων, εἰπὼν, ὅτι τῇ σήμερον ἡμέρᾳ Καρχηδονίους καὶ Ἀννίβαν ἐνίκησεν, αὐτὸς μὲν ἔφη στεφανωσάμενος ἀναβαίνειν εἰς τὸ Καπετώλιον θύσων, τὸν

δὲ

1 Petav. ἀπεῖναι; Mox idem cum Turn. ἐγείρωσιν pro ἀγάγωσιν.

2 Turn. πρὸς τὸν Σκιπ. Petav. Σκηπίωνα, & sic passim.

3 Petav. τὸ ταμεῖον.

4 Xyl. ad haec ita: „Duos fuisse Petillios, liquet cum ex aliis, tum abundantissime ex duodequadragesimo Livii libro. Quinti praenomen hic exstat: alterius nondum inveni."

δὲ βȣλόμενον τὴν ψῆφον ἐκέλευσε φέρειν περὶ αὐτȣ̃· καὶ ταῦτα εἰπὼν, ἀνέβαινεν. ὁ δὲ δῆμος ἐπηκολȣ́θησε τȣ̀ς κατηγόρȣς ἀπολιπὼν λέγοντας.

Τίτȣ Κοΐντȣ. Τίτος Κοΐντος [1] ȣ̔́τως ἦν εὐθὺς ἐξ ἀρχῆς ἐπιφανὴς, ὥςε πρὸ δημαρχίας καὶ ςρατηγίας καὶ ἀγορανομίας ὕπατος αἱρεθῆναι. πεμφθεὶς δὲ ςρατηγὸς ἐπὶ Φίλιππον, εἰς λόγȣς ἐπείσθη συνελθεῖν αὐτῷ. τȣ̃ δὲ Φιλίππȣ λαβεῖν ὁμήρȣς ἀξιȣ̃ντος, ἐκεῖνον μὲν γὰρ εἶναι μετὰ πολλῶν Ῥωμαίοις [2], ἑαυτὸν δὲ μόνον Μακεδόσι· Σὺ γὰρ μόνον (ὁ Κοΐντος ἔφη) ἑαυτὸν ἐποίησας, ἀποκτείνας τȣ̀ς φίλȣς καὶ συγγενεῖς.

Νικήσας δὲ μάχῃ τὸν Φίλιππον, ἐκήρυξεν ἐν Ἰσθμίοις, ὅτι τȣ̀ς Ἕλληνας ἐλευθέρȣς καὶ αὐτονόμȣς ἀφίησιν. Ὅσοι δὲ Ῥωμαίων αἰχμάλωτοι γενόμενοι ἐν τοῖς κατ' Ἀννίβαν χρόνοις ἐδȣ́λευον παρὰ τοῖς Ἕλλησι, τȣ́των ἕκαςον οἱ Ἕλληνες [3] ἐξωνησάμενοι δραχμῶν πεντακοσίων, δωρεὰν ἔδωκαν αὐτῷ, κἀκεῖνοι θριαμβεύοντι συνηκολȣ́θησαν ἐν Ῥώμῃ, πίλια [4] περὶ ταῖς κεφαλαῖς ἔχοντες, ὥσπερ ἔθος ἐςὶ τοῖς ἐλευθερωθεῖσι.

Τȣ̀ς δ' Ἀχαιȣ̀ς ἐπὶ τὴν Ζακυνθίων νῆσον διανοȣμένȣς ςρατεύειν ἐκέλευε φυλάττεσθαι, μὴ, καθάπερ αἱ χελῶναι, τὴν κεφαλὴν προτείναντες ἔξω τῆς Πελοποννήσȣ κινδυνεύσωσιν.

Ἀντιόχȣ δὲ, τȣ̃ βασιλέως, μετὰ πολλῆς δυνάμεως ἥκοντος εἰς τὴν Ἑλλάδα, καὶ πάντων ἐκπεπληγμένων τὰ πλήθη καὶ τȣ̀ς ὁπλισμȣ̀ς, λόγον εἶπε τοιȣ̃τον πρὸς τȣ̀ς

1 W. melius esse monet Κοΐντίȣ, & mox Κοΐντιος, cum Mez. Κοΐντος pro Quintio dictum esse, adnotat quoque Xyl.

2 Petav. Ald. Bas. Ῥωμαίων. Eandem lectionem retinet Steph. in peculiari editione. Hinc versio Xyl. est censenda: *illum multis stipatum Romanis, se cum paucis adesse Macedonibus.* Melius ad sensum loci Raph. Regius: *ipsum multosque alios Romanis esse duces: se vero Macedonibus solum.*

3 Xyl. monet, historiam habere Achaeos.

4 Petav. πιλία.

τὰς Ἀχαιὰς. ἔφη γὰρ, ἐν Χαλκίδι παρὰ τῷ ξένῳ δειπνῶν [1] θαυμάζειν τὸ τῶν κρεῶν πλῆθος· εἰπεῖν δὲ τὸν ξένον, ὅτι ταῦτα πάντα χοίρειά ἐστιν, ἡδύσμασι καὶ σκευασίαις διαφέροντα. Μὴ τοίνυν μηδὲ ὑμεῖς (ἔφη) θαυμάζετε τὴν βασιλικὴν δύναμιν, λογχοφόρες καὶ καταφράκτες καὶ πεζετέρες καὶ ἀφιπποτοξότας [2] ἀκέοντες. πάντες γάρ εἰσιν ἔτοι Σύροι ὁπλαρίοις ἀλλήλων διαφέροντες.

Φιλοποίμενι δὲ, τῷ στρατηγῷ τῶν Ἀχαιῶν, ἱππεῖς μὲν πολλὰς καὶ ὁπλίτας ἔχοντι, χρημάτων δ' ἐκ εὐπορῦντι, προσπαίζων ἔλεγεν, ὅτι χεῖρας ἔχει Φιλοποίμην καὶ σκέλη, γαστέρα δ' ἐκ ἔχει. καὶ γὰρ καὶ τῇ φύσει τῦ σώματος ἦν ὁ Φιλοποίμην τοιῦτος.

Γαΐυ [3] Δομιτίυ. Γάϊος Δομίτιος, ὃν Σκιπίων ὁ μέγας ἀνθ' ἑαυτῦ τῷ ἀδελφῷ, Λευκίῳ, παρακατέστησεν ἐν τῷ πρὸς Ἀντίοχον πολέμῳ, κατασκεψάμενος [4] τὴν τῶν πολεμίων φάλαγγα, καὶ τῶν περὶ αὐτὸν ἡγεμονικῶν εὐθὺς ἐπιχειρεῖν κελευόντων, ἔφη, τὴν ὥραν ἐκ ἐπαρκεῖν, ἵνα τοσαύτας μυριάδας κατακόψαντες, καὶ διαρπάσαντες τὴν ἀποσκευὴν [5], ἐπανελθόντες εἰς τὸ στρατόπεδον, ἑαυτῶν ἐπιμεληθῶσι, τὸ δὲ αὐτὸ ποιήσειν αὔριον καθ' ὥραν· καὶ συμβαλὼν τῇ ὑστεραίᾳ πεντακισμυρίυς τῶν πολεμίων ἀνεῖλεν.

Ποπλίυ

1 Ald. & Baf. δείπνῳ. Turn. Bong. Petav. δειπνεῖν.

2 Sic eft in Suppl. var. lect. ed. Frft. & dedi, ut aptius ad fenfum & ufitatius pro vulg. ἀμφιπποτοξότας. Idem valere videtur, quod e Petav. (reliqua fic habente: λοχοφόρυς, καταφράκτυς omiffo καὶ, & πεζεταίρυς) corrupte enotatur ἀφιπποξότας. Dedit quoque W. nulla tamen auctoritate allata.

3 W. melius cenfet Γναΐυ, & mox Γνάϊος, cum Mez. Idem Xyl. monet ex Appiani Syriaco.

4 Ald. & Baf. κατασκεψάμενον, fine praecedente commate. Hinc fine dubio Xyl. monuit, ante τῶν ἡγεμονικῶν deeffe καὶ, nifi forte mendofus fit locus. Philelph. & Raphaël in nominativo legerunt.

5 Dedi fic e Turn. & Petav. pro vulg. παρασκευήν. Idem W. dedit, adfentiente Voff.

Ποπλίȣ Λικινίȣ. Πόπλιος Λικίνιος ὕπατος στρατηγὸς, ἡττηθεὶς ὑπὸ Περσέως, τȣ̃ Μακεδόνων βασιλέως, ἱππομαχίᾳ, διχιλίȣς ὀκτακοσίȣς ἀπέβαλε, τȣ̀ς μὲν πεσόντας, τȣ̀ς δὲ ἁλόντας· ἐπεὶ δὲ μετὰ τὴν μάχην ἔπεμψεν ὁ Περσεὺς πρέσβεις περὶ σπονδῶν καὶ εἰρήνης, ἐκέλευεν ὁ νενικημένος τὸν νενικηκότα Ῥωμαίοις ἐπιτρέπειν τὰ καθ' αὐτόν.

Παύλȣ Αἰμυλίȣ. Παῦλος Αἰμύλιος [1], δευτέραν ὑπατείαν μετελθὼν, ἀπέτυχεν· ἐπεὶ δὲ, τȣ̃ πρὸς Περσέα καὶ Μακεδόνας πολέμȣ μῆκος λαμβάνοντος, ἀπειρίᾳ καὶ μαλακίᾳ τῶν στρατηγῶν, ἐκεῖνον ὕπατον ἀπέδειξαν, ȣ̓κ ἔφη χάριν ἔχειν αὐτοῖς· ȣ̓ γὰρ αὐτὸς ἀρχῆς δεόμενος, ὡς ἐκεῖνοι ἄρχοντος, ᾑρῆσθαι στρατηγός.

Ἐλθὼν δ' εἰς οἶκον ἐξ ἀγορᾶς, καὶ τὴν Τερτίαν, τὸ θυγάτριον εὑρὼν δεδακρυμένον, ἐπυνθάνετο τὴν αἰτίαν. εἰπούσης δὲ, ὅτι Περσεὺς τέθνηκεν ἡμῖν· (κυνίδιον δ' ἦν ȣ̔́τως ὀνομαζόμενον) Ἀγαθῇ τύχῃ, (εἶπεν) ὦ θύγατερ, καὶ δέχομαι τὸν οἰωνόν.

Εὑρὼν δ' ἐπὶ στρατοπέδȣ πολλὴν θρασύτητα καὶ λαλιὰν παραστρατηγȣ́ντων [2] καὶ πολυπραγμονȣ́ντων, ἐκέλευεν ἡσυχίαν ἔχειν, καὶ ποιεῖν ὀξείας τὰς μαχαίρας μόνον, αὐτῷ δὲ τῶν ἄλλων μελήσειν.

Τὰς δὲ νυκτερινὰς φυλακὰς ἐκέλευεν [3] φυλάσσειν ἄνευ λόγχης καὶ ξίφȣς, ὅπως ἀμύνασθαι τȣ̀ς πολεμίȣς ἀπεγνωκότες, μᾶλλον διαμαχȣ̃νται πρὸς τὸν ὕπνον.

Ἐμβαλὼν δὲ διὰ τῶν ἄκρων εἰς Μακεδονίαν, καὶ συντεταγμένȣς ἰδὼν τȣ̀ς πολεμίȣς, τȣ̃ Νασικȣ̃ παρακαλȣ̃ντος αὐτὸν εὐθὺς ἐπιχειρεῖν [4]. Εἴγε τὴν σὴν (εἶπεν)

1 Petav. Αἰμίλιος, & sic saepius. Idem mox ὑπατίαν.

2 Petav. παραστρατȣ́ντων.

3 Turn. ἐκέλευσεν.

4 Frst. ἐπιχερεῖν. Hinc e Petav. enotatur ἐπιχειρεῖν; In seq. idem ὡρίαι.

πεν) ἡλικίαν εἶχον· αἱ δὲ πολλαί με πεῖραι κωλύουσιν ἐκ πορείας πρὸς Φάλαγγα συντεταγμένην μάχεσθαι.

Νικήσας δὲ τὸν Περσέα, καὶ τὰς ἐπινικίους ποιούμενος ἑστιάσεις, ἔλεγε τῆς αὐτῆς ἐμπειρίας [1] εἶναι στράτευμα Φοβερώτατον [2] πολεμίοις, καὶ συμπόσιον ἥδιστον Φίλοις παρασχεῖν.

Τοῦ δὲ Περσέως αἰχμαλώτου γενομένου, καὶ παραιτουμένου τὸν θρίαμβον· Ἐπὶ [3] σοὶ (εἶπε) τοῦτ' ἐστιν. ἐξουσίαν διδοὺς αὐτῷ ἑαυτὸν ἀνελεῖν.

Χρημάτων δ' ἀπείρων εὑρεθέντων, αὐτὸς μὲν οὐκ ἔλαβε· τῷ δὲ γαμβρῷ, Τουβέρωνι, Φιάλην ἀργυρᾶν, ὁλκῆς πέντε λιτρῶν, ἀριστεῖον ἔδωκε. καὶ τοῦτό Φασι πρῶτον εἰς τὸν Αἰμυλίων οἶκον εἰσελθεῖν κειμήλιον ἀργυροῦν.

Τεσσάρων δὲ παίδων ἀῤῥένων αὐτῷ γεγονότων, δύο μὲν πρότερον ἐτύγχανεν ἐκδεδωκὼς ἑτέροις θέσθαι. δυοῖν δ' ὄντων ἐπὶ τῆς οἰκίας, ὁ μὲν ἡμέραις πέντε πρὸ τοῦ θριάμβου, τεσσαρεσκαίδεκα γεγονὼς ἔτη, ἀπέθανεν, ὁ δὲ ὕστερον πέντε τοῦ θριάμβου, δωδεκαετής [4]. προελθὼν δὲ, τοῦ δήμου συναλγοῦντος αὐτῷ καὶ συμπενθοῦντος, νῦν ἔφη περὶ τῆς πατρίδος ἀδεὴς γεγονέναι καὶ ἀκίνδυνος, ὁπότε, τῶν εὐτυχημάτων τὴν νέμεσιν εἰς τὸν οἶκον ἀπερεισαμένης τῆς τύχης, ὑπὲρ πάντων αὐτὸς ἀναδέδεκται.

Κάτω-

1 αὐτῆς, quod vulgo deest, addendum monuit Xyl. ex sensu & vita Aemilii. (Vid. Vol. II. pag. 208.) Ego dedi e Turn. & Petav. Raphaële Regio idem vertente. Recepit quoque W. ex Voss. Mez. Jun. T. P. — Philelphus a sensu loci multum abhorret.

2 Sic quoque legi voluit Xyl. dedique e Turn. & Petav. consentiente simul Aemilii vita l. c. pro vulg. Φοβερώτερον.

3 Restitui hanc vocem, a Frst. & R. male datam ἐπεὶ, ex edd. prioribus & Petav.

4 Petav. δωδεκαέτης, & mox ἀπερισαμένης.

Κάτωνος τȣ̃ πρεσβυτέρȣ. Κάτων ὁ πρεσβύτερος ἐν τῷ δήμῳ τῆς ἀσωτίας καὶ πολυτελείας καθαπτόμενος εἶπεν· Ὡς χαλεπόν ἐςι λέγειν πρὸς γαςέρα ὦτα μὴ ἔχȣσαν.

Θαυμάζειν δὲ, πῶς σώζεται πόλις, ἐν ᾗ πωλεῖται πλείονος ἰχθὺς, ἢ βȣ̃ς.

Λοιδορῶν δέ ποτε τὴν ἐπιπολάζȣσαν γυναικοκρατίαν [1]. Πάντες (εἶπεν) ἄνθρωποι τῶν γυναικῶν ἄρχȣσιν, ἡμεῖς δὲ πάντων ἀνθρώπων, ἡμῶν δὲ αἱ γυναῖκες.

Ἔφη δὲ, βȣ́λεσθαι μᾶλλον εὐεργετήσας μὴ κομίσασθαι χάριν, ἢ μὴ ὑποσχεῖν κόλασιν ἀδικήσας, καὶ πᾶσιν ἀεὶ τοῖς ἁμαρτάνȣσι χωρὶς ἑαυτȣ̃ δȣ̃ναι συγγνώμην.

Παρορμῶν δὲ τȣ̀ς ἄρχοντας ἐπιτιμᾷν τοῖς ἁμαρτάνȣσιν, ἔλεγε, τȣ̀ς δυναμένȣς κωλύειν τȣ̀ς κακῶς ποιȣ̃ντας, ἐὰν μὴ κωλύωσι, κατακελεύειν [2].

Τῶν δὲ νέων ἔφη χαίρειν τοῖς ἐρυθριῶσι μᾶλλον, ἢ τοῖς ὠχριῶσι. Στρατιώτην δὲ μισεῖν, ὃς ἐν τῷ περιπατεῖν τὰς χεῖρας, ἐν δὲ τῷ μάχεσθαι τȣ̀ς πόδας κινεῖ, ῥέγχει δὲ μεῖζον, ἢ ἀλαλάζει [3].

Κάκιςον δ' ἔλεγεν ἄρχοντα εἶναι, τὸν ἄρχειν ἑαυτȣ̃ μὴ δυνάμενον.

Μάλιςα δ' ἐνόμιζε δεῖν ἕκαςον αὐτὸν αἰδεῖσθαι· μηδένα γὰρ ἑαυτȣ̃ μηδέποτε χωρὶς εἶναι.

Πολλῶν δὲ ἱρῶν ἀνιςαμένȣς ἀνδριάντας· Ἐμȣ̃ δὲ (ἔφη) ἐρωτᾷν βȣ́λομαι [4] μᾶλλον τȣ̀ς ἀνθρώπȣς, διὰ τί ἀνδριὰς ȣ̓ κεῖται Κάτωνος, ἢ διὰ τί κεῖται.

K 2 Φει-

1 Petav. γυναικοκράτειαν.

2 Sic e Steph. prodiit. Ald. Baf. Petav. καταλεύειν, quam vocem in edit pecul. adhuc retinuit Steph. & Raph. Regius cum Philelpho vertit: lapidibus eſſe obruendos. Xyl. de ea dubius, ſuſp. κατανεύειν. ut intelligatur tacito conſenſu flagitia probare, & facinoroſis quaſi nutu ſubſcribere, qui quae poſſunt flagitia, non coërcent.

3 Petav. ἀλαλάζειν. Ab eodem abeſt mox ſeq. ἔλεγεν.

4 Petav. βȣ́λομαι ἐρωτᾷν.

Φείδεσθαι δὲ τῆς ἐξουσίας παρεκάλει τοὺς δυναμένους, ὅπως ἀεὶ παραμένῃ [1] τὸ ἐξεῖναι. Τοὺς δὲ τῆς ἀρετῆς τὴν τιμὴν ἀφαιροῦντας, ἔλεγε τὴν ἀρετὴν ἀφαιρεῖν τῆς νεότητος. Τὸν δ' ἄρχοντα, ἢ κριτὴν, ἔλεγε δεῖν μήτε ὑπὲρ τῶν δικαίων λιπαρεῖσθαι, μηδὲ ὑπὲρ τῶν ἀδίκων ἐκλιπαρεῖσθαι. Τὴν δ' ἀδικίαν ἔλεγε, τοῖς ἀδικοῦσι κἂν μὴ φέρῃ [2] κίνδυνον, ἅπασι φέρειν. Τῷ δὲ γήρᾳ πολλῶν [3] παρόντων κακῶν, ἠξίου μὴ προστιθέναι τὴν ἀπὸ τῆς κακίας αἰσχύνην. τὸν δ' ὀργιζόμενον ἐνόμιζε τοῦ μαινομένου χρόνῳ διαφέρειν. Ἥκιστα δὲ φθονεῖσθαι τοὺς τῇ τύχῃ χρωμένους ἐπιεικῶς καὶ μετρίως. οὐ γὰρ ἡμῖν, ἀλλὰ τοῖς περὶ ἡμᾶς φθονοῦσι. Τοὺς δὲ σπουδάζοντας ἐν τοῖς γελοίοις ἔλεγεν ἐν τοῖς σπουδαίοις ἔσεσθαι καταγελάστους. Τὰς καλὰς πράξεις ἔλεγε δεῖν καταλαμβάνειν λόγους καλοὺς [4], ἵνα μὴ τῆς δόξης ἀποῤῥέωσιν.

Ἐπετίμα δὲ τοῖς πολίταις ἀεὶ τοὺς αὐτοὺς αἱρουμένοις [5] ἄρχοντας. Δόξετε γὰρ (εἶπε) μὴ πολλοῦ τὸ ἄρχειν ἄξιον, ἢ μὴ πολλοὺς τοὺς ἄρχειν ἀξίους ἡγεῖσθαι.

Τὸν δὲ τοὺς παραλίους ἀγροὺς πεπρακότα προσεποιεῖτο θαυμάζειν, ὡς ἰσχυρότερον τῆς θαλάσσης. ἃ γὰρ ἐκείνη μόλις ἐπικλύζει [6], οὗτος ῥᾳδίως καταπέπωκε.

Τιμη-

1 Petav. παραμένοι. In seq. ab eod. abest τὴν ante τιμήν.

2 Bene monet W. subesse quid labis. Raphael & Mez. habent δοκῇ pro φέρῃ.

3 Post πολλῶν Turn. & Bong. inserunt αἰσχρῶν. Philelphus idem legit. Ald. & Bas. omittunt mox seq. κακῶν.

4 Xyl. MS. pro λόγους καλοὺς habet πράξεσι καλαῖς, quod in versione sequitur: honestas actiones — confirmandas esse aliis honestis actionibus. Eandem lectionem habent Turn. & Petav. simulque vertit Philelphus: pulchras actiones pulcherrimis actionibus esse occupandas. W. susp. legendum λόγοις καλοῖς, ut sit sententia: *pulchrae actiones vinciendae sunt pulchra oratione, ne a gloria defluant.*

5 Petav. αἱρουμένους. Pro seq. εἶπε Turn. εἰπεῖν.

6 Petav. ἐπικλύζῃ. In seq. vulgata habet ὄντως. Ego restitui lectionem Ald. & Bas. e Petav. quoque notatam, & in Cat. maj. (Vol. II. pag. 396.) ab ipso Plutarcho datam.

Τιμητίαν δὲ μετιὼν, καὶ τὰς ἄλλους ὁρῶν δεομένους τῶν πολλῶν καὶ κολακεύοντας, αὐτὸς ἐβόα, τὸν δῆμον ἀποτόμου χρείαν ἔχειν ἰατροῦ καὶ μεγάλου καθαρμοῦ· δεῖν οὖν μὴ τὸν ἥδιστον, ἀλλὰ τὸν ἀπαραίτητον, αἱρεῖσθαι. καὶ ταῦτα λέγων, ᾑρέθη πρὸ πάντων.

Διδάσκων δὲ τοὺς νέους εὐθαρσῶς μάχεσθαι, πολλάκις ἔλεγε τοῦ ξίφους τὸν λόγον μᾶλλον, καὶ τὴν φωνὴν τῆς χειρὸς, τρέπειν καὶ καταπλήττειν τοὺς πολεμίους.

Ἐπεὶ δὲ πολεμῶν τοῖς περὶ τὸν Βαῖτιν ποταμὸν οἰκοῦσιν, εἰς κίνδυνον ὑπὸ πλήθους τῶν πολεμίων κατέστη, τῶν μὲν Κελτιβήρων ἐπὶ διακοσίοις ταλάντοις βουλομένων βοηθεῖν, τῶν δὲ Ῥωμαίων οὐκ ἐώντων ὁμολογεῖν μισθὸν ἀνθρώποις βαρβάροις, ἁμαρτάνειν ἔφησεν αὐτούς. νικῶντας μὲν γὰρ ἀποδώσειν οὐ παρ' αὐτῶν, ἀλλὰ παρὰ τῶν πολεμίων· ἡττωμένων δὲ μήτε τοὺς ἀπητημένους, μήτε τοὺς ἀπαιτοῦντας ἔσεσθαι.

Πλείονας δὲ πόλεις ἑλὼν (ὥς φησι) τῶν ἡμερῶν, ἃς διέτριψεν ἐν τοῖς πολεμίοις, οὐδὲν αὐτὸς πλέον ἔλαβεν [1], ὧν ἔπιε καὶ ἔφαγεν, ἐκ τῆς πολεμίας.

Τῶν δὲ στρατιωτῶν ἑκάστῳ λίτραν ἀργύρου διανείμας, φησὶ, βέλτιον εἶναι, πολλοὺς ἔχοντας ἀργύριον, ἢ ὀλίγους χρυσίον, ἀπὸ τῆς στρατείας ἐπανελθεῖν. τῶν γὰρ ἀρχόντων οὐδὲν ἄλλο δεῖν ἐν ταῖς ἐπαρχίαις, ἢ τὴν δόξαν, αὐξάνεσθαι.

Πέντε δ' οἰκέτας εἶχεν ἐπὶ τῆς στρατείας, ὧν εἷς αἰχμάλωτα τρία σώματα πριάμενος, ὡς οὐκ ἔλαθε τὸν Κάτωνα, πρὶν εἰς ὄψιν ἐλθεῖν, ἀπήγξατο.

Παρακληθεὶς δὲ ὑπὸ Σκιπίωνος Ἀφρικανοῦ τοῖς Ἀχαιῶν συλλαβέσθαι φυγάσιν, ὅπως εἰς τὰς πατρίδας κατέλθωσιν, προσεποιεῖτο μηδὲν αὐτῷ μέλειν τοῦ πράγματος. ἐν δὲ τῇ συγκλήτῳ πολλῶν γινομένων λόγων, ἀναστάς· Ὥσπερ οὐκ ἔχοντες, (εἶπεν) ὃ πράττωμεν [2], καθήμεθα



1 Recepi sic e W. conjectura pro vulg. λαβεῖν, quippe quod constructioni haud convenit. In seq. Petav. ὧν ἔφαγε καὶ ἔπιεν.

2 Petav. πράττομεν. Sic Ald. quoque & Bas.

μεθα περὶ Γραικῶν γεροντίων ζητȣ̃ντες, πότερον ὑπὸ τῶν παρ' ἡμῖν, ἢ ὑπὸ τῶν ἐκεῖ, νεκροφόρων ἐξενεχθῶσι.

Ποςȣμίȣ δὲ 'Αλβίνȣ [1] γράψαντος ἱςορίας Ἑλληνιςὶ, καὶ συγγνώμην παρὰ τῶν ἀκροωμένων αἰτȣ̃ντος, εἰρωνευόμενος ὁ Κάτων ἔφη, δοτέον εἶναι συγγνώμην, εἰ τῶν Ἀμφικτυόνων ψηφισαμένων ἀναγκαθεὶς ἔγραψε.

Σκιπίωνος τȣ̃ νεωτέρȣ. Σκιπίωνα τὸν νεώτερον λέγȣσιν ἔτεσι πεντήκοντα καὶ τέσσαρσιν [2], οἷς ἐβίωσε, μηδὲν πρίαθαι, μηδὲν ἀποδόθαι, μηδὲν οἰκοδομῆσαι, λίτρας δ' ἀργύρȣ τρεῖς καὶ τριάκοντα μόνας ἐν ȣ̓σίᾳ μεγάλῃ, δύο δὲ χρυσίȣ καταλιπεῖν· καὶ ταῦτα, Καρχηδόνος κύριον ὄντα, καὶ μάλιςα τῶν ςρατηγῶν πλȣτίσαντα τȣ̀ς ςρατιώτας.

Τὸ δὲ Πολυβίȣ παράγγελμα διαφυλάττων, ἐπειρᾶτο μὴ πρότερον ἐξ ἀγορᾶς ἀπελθεῖν, ἢ ποιήσαθαί τινα συνήθη καὶ φίλον ἀμωσγέπως τῶν ἐντυγχανόντων.

Ἔτι δὲ νέος ὢν, τοσαύτην εἶχε δόξαν ἀνδρείας καὶ συνέσεως, ὥςε Κάτωνα μὲν τὸν πρεσβύτερον εἰπεῖν, ἐρωτηθέντα περὶ τῶν ἐν Καρχηδόνι ςρατευομένων, ἐν οἷς καὶ Σκιπίων ἦν·

Οἶος [3] πέπνυται, τοὶ δὲ σκιαὶ ἀίσσȣσιν.

Εἰς δὲ τὴν Ῥώμην ἐλθόντος ἀπὸ ςρατείας, ἐκάλȣν αὐτὸν, ȣ̓κ ἐκείνῳ χαριζόμενοι, ἀλλ' ὡς Καρχηδόνα δι' ἐκείνȣ ταχὺ καὶ ῥᾳδίως ληψόμενοι.

Ἐπεὶ δὲ παρελθὼν εἰς τὸ τεῖχος, τῶν Καρχηδονίων

1 Recepi 'Αλβίνȣ e Turn. ſic cum Xyl. & Mez. corrigendum monente W. Eſt ita quoque in Cat. Maj. l. c. pag. 403. Vulgo Λαβιήνȣ, pro quo Petav. Λαβιήȣ.

2 Ald. Baſ. τετράσιν. Mox Petav. τρὶς pro τρεῖς.

3 Cod. cujus nomen reticetur οἶός ποι πεπν. Voluiſſe videtur, me judice, collector, quod in Ald. & Baſ. legitur οἶός τοι πί. Verſus eſt Hom. Odyſſ. 10, 495.

νίων ἐκ τῆς ἄκρας ἀμυνομένων, εἰς [1] τὴν διὰ μέσȣ θάλασσαν ȣ πάνυ βαθεῖαν ȣ̃σαν, τȣ̃. Πολυβίȣ συμβȣλεύοντος αὐτῷ καταπεῖραι τριβόλȣς σιδηρȣ̃ς, ἢ σανίδας ἐμβάλλειν κεντρωτὰς, ὅπως μὴ διαβαίνοντες οἱ πολέμιοι προσμάχωνται τοῖς χώμασιν· ἔφη γελοῖον εἶναι, κατειληφότας τὰ τείχη, καὶ τῆς πόλεως ἐντὸς ὄντας, εἶτα πράττειν, ὅπως ȣ μαχȣ̃νται τοῖς πολεμίοις.

Εὑρὼν δὲ τὴν πόλιν ἀνδριάντων Ἑλληνικῶν καὶ ἀναθημάτων ἀπὸ Σικελίας μεςὴν ȣ̃σαν, ἐκήρυξε τȣ̀ς ἀπὸ τῶν πόλεων παρόντας ἐπιγινώσκειν καὶ κομίζεσθαι.

Τῶν δὲ χρημάτων ȣ̈τε δȣ̃λον, ȣ̈τ' ἀπελεύθερον, εἴα λαβεῖν ȣ̓δένα, ἀλλ' ȣ̓δὲ πρίασθαι, πάντων ἀγόντων καὶ φερόντων.

Γαΐῳ δὲ Λαιλίῳ, τῷ φιλτάτῳ τῶν ἑταίρων, ὑπατείαν μετιόντι, συμπράττων ἐπηρώτησε Πομπήϊον [2], εἰ καὶ αὐτὸς ὑπατείαν μέτεισιν· (ἐδόκει δὲ ὁ Πομπήϊος υἱὸς αὐλητȣ̃ γεγονέναι) τȣ̃ δὲ φήσαντος μὴ μετιέναι, ἀλλὰ καὶ τὸν Λαίλιον ἐπαγγελλόμενος συμπεριάξειν καὶ συναρχαιρεσιάσειν, πιςεύσαντες καὶ περιμένοντες ἐκεῖνον [3], ἐξηπατήθησαν. ἀπηγγέλλετο γὰρ αὐτὸς ἐν ἀγορᾷ περιϊὼν καὶ δεξιȣ́μενος



1 Vulgo pro εἰς legitur μὴ σὺ, quod jam Xylandro ſuſpectum fuit, ut locum mutilum eſſe cenſeret. W. judice, vetus & ſana lectio fuiſſe videtur εἰς, quam expulit hoc μὴ σὺ ortum quomodocunque ex proximo μέσȣ. In meo Baſil. exemplari, ad voces μὴ σὺ in margine, haud dubie manu Mart. Cruſii, qui olim libri fuit poſſeſſor, adſcriptum lego: forte ἥσυχα: εἰς. De priori voce, quid valeat, dubius, niſi poſitam cenſeas pro ἡσυχῆ, poſteriorem recipere non dubitavi. Eandem firmat Raph. Regii verſio; Vulgatam mire ſupplet Philelphus: *ne tu mare iſtuc munies*: id autem jacebat inter utrosque nec admodum erat profundum dicente Polybio atque conſulente, ut tribulos ſpargeret ferreos &c.

2 Reſtitui hoc nomen, jubente Xyl. hoc & ſeq. loco. Vulgo Πόμπιον, Πόμπιος. Intelligitur Q. Pompejus Nepos, qui conſul fuit anno V. C. 613. cum Cn. Servilio Caepione, anno ante Laelii conſulatum. Sic quoque Philelph. & Raph. vertunt.

3 Turn. ἐκείνῳ.

νος τὰς πολίτας. ἀγανακτέντων δὲ τῶν ἄλλων, ὁ Σκιπίων γελάσας· Ἀβελτηρίᾳ γε [1] (εἶπεν) ἡμῶν, καθάπερ ἐκ ἀνθρώπους μέλλοντες, ἀλλὰ θεὰς, παρακαλεῖν, πάλαι διατρίβομεν αὐλητὴν ἀναμένοντες.

Ἀππίε δὲ [2] Κλαυδίε περὶ τῆς τιμητικῆς ἀρχῆς ἁμιλλωμένε πρὸς αὐτὸν, καὶ λέγοντος, ὅτι πάντας ὀνομασὶ Ῥωμαίες αὐτὸς ἀσπάζεται, Σκιπίωνος ὀλίγε δεῖν ἀγνοῦντος ἅπαντας· Ἀληθῆ λέγεις, εἶπεν. ἐμοὶ γὰρ ἐκ εἰδέναι πολλὰς, ἀλλ' ὑπὸ μηδενὸς ἀγνοεῖσθαι μεμέληκεν.

Ἐκέλευε δὲ τὰς πολίτας, ἐπειδὴ ἐτύγχανον πολεμᾶντες [3] Κελτίβηρσιν, ἀμφοτέρας ἐπὶ τὴν στρατείαν ἐκπέμψαντας, ἢ πρεσβευτὰς, ἢ χιλιάρχας, μάρτυρας λαμβάνειν καὶ κριτὰς τῆς ἑκάστε ἀρετῆς τὰς πολεμᾶντας.

Ἀποδειχθεὶς δὲ τιμητὴς, νεανίσκε μὲν ἀφείλετο τὸν ἵππον, ὅτι δειπνῶν πολυτελῶς ἐν ᾧ χρόνῳ Καρχηδὼν ἐπολεμεῖτο, μελίπηκτον εἰς σχῆμα τῆς πόλεως διαπλάσας, καὶ τᾶτο Καρχηδόνα προσειπὼν, πρᾶθηκε διαρπάσαι τοῖς παρᾶσι· καὶ πυνθανομένε τᾶ νεανίσκε τὴν αἰτίαν, δι' ἣν ἀφῄρηται τὸν ἵππον· Ἐμᾶ γὰρ (ἔφη) πρότερος Καρχηδόνα διήρπασας.

Γάϊον δὲ Λικίνιον ἰδὼν παρερχόμενον· Οἶδα (ἔφη) τᾶτον ἐπιωρκηκότα τὸν ἄνδρα· μηδενὸς δὲ κατηγορᾶντος, ἐ δύναμαι κατήγορος αὐτὸς εἶναι καὶ δικαστής.

Ἐκπεμφθέντα δ' αὐτὸν ὑπὸ τῆς βελῆς τρίτον, ὥς φησι Κλειτόμαχος [4],

Ἀνθρώπων πόλεών τε καὶ εὐνομίην ἐφορῶντα,

πόλεων,

1 Dedi sic e W. conjectura. Vulgo ἀβελτηρίᾳ δὲ.

2 Post δὲ Turn. & Petav. inserunt καὶ.

3 Petav. πολεμᾶντας. Mox idem στρατίαν.

4 Petav. Λειτόμαχος. Ad τρίτον Xyl. monet, si intelligas *tertium*, sensum esse: *post duos triumphos & consulatus*; si autem τρίτον intelligas *cum duobus*, intelligendum esse Metellum & Mummium. Versum ipsum porro notat, menda non carere, & alludi ad Homer. Odyss. XVII. 488. Mox Petav. Ἀλεξάνδρειαν. Accentu sic posito extat in omnibus edd. priscis.

πόλεων, ἐθνῶν, βασιλέων ἐπίσκοπον, ὡς εἰς Ἀλεξάνδρειαν ἧκε, καὶ τῆς νεὼς ἀποβὰς, ἐβάδιζε κατὰ τῆς κεφαλῆς ἔχων τὸ ἱμάτιον, ἠξίουν ἀποκαλύψασθαι περιθέοντες οἱ Ἀλεξανδρεῖς, καὶ δεῖξαι ποθοῦσιν αὐτοῖς τὸ πρόσωπον. ἀποκαλυψαμένου, κραυγὴν καὶ κρότον ἐποίησαν. τοῦ δὲ βασιλέως μόλις ἁμιλλωμένου βαδίζουσιν αὐτοῖς δι' ἀργίαν καὶ τρυφὴν τοῦ σώματος, ὁ Σκιπίων ἀτρέμα πρὸς τὸν Παναίτιον ψιθυρίσας εἶπεν· Ἤδη τι τῆς ἐπιδημίας ἡμῶν Ἀλεξανδρεῖς ἀπολελαύκασι. δι' ἡμᾶς γὰρ ἑωράκασι τὸν βασιλέα περιπατοῦντα.

Συναπεδήμει δ' αὐτῷ φίλος μὲν εἷς φιλόσοφος, Παναίτιος, οἰκέται δὲ πέντε· καὶ τοῦ ἑνὸς ἀποθανόντος ἐπὶ τῆς ξένης, ἄλλον μὴ βουλόμενος πρίασθαι, ἀπὸ τῆς Ῥώμης μετεπέμψατο.

Τῶν δὲ Νομαντίνων ἀμάχων εἶναι δοκούντων, καὶ πολλοὺς νενικηκότων στρατηγοὺς, ὕπατον ἀπέδειξε Σκιπίωνα τὸ δεύτερον ὁ δῆμος ἐπὶ τὸν πόλεμον· ὡρμημένων δὲ πολλῶν ἐπὶ τὴν στρατείαν, καὶ τοῦτο διεκώλυσεν ἡ σύγκλητος, ὡς ἐρήμου τῆς Ἰταλίας ἐσομένης· καὶ χρήματα λαβεῖν τῶν ἑτοίμων οὐκ εἴασαν, ἀλλὰ τὰς τελωνικὰς [1] προσόδους ἀπέταξαν, οὔπω χρόνον ἐχούσας. ὁ δὲ Σκιπίων χρημάτων μὲν οὐκ ἔφη δεῖσθαι, τὰ γὰρ ἑαυτοῦ καὶ τῶν φίλων ἐξαρκέσειν· περὶ δὲ τῶν στρατιωτῶν ἐμέμψατο. χαλεπὸν γὰρ εἶναι τὸν πόλεμον, εἰ μὲν δι' ἀνδρείαν τῶν πολεμίων ἥττηνται τοσαυτάκις, ὅτι πρὸς τοιούτους. εἰ δὲ δι' ἀνανδρίαν τῶν πολιτῶν, ὅτι μετὰ τοιούτων.

Ἐπεὶ δ' ἐλθὼν εἰς τὸ στρατόπεδον, πολλὴν ἀταξίαν καὶ ἀκολασίαν καὶ δεισιδαιμονίαν καὶ τρυφὴν κατέλαβε, μάντεις μὲν εὐθὺς ἐξήλασε καὶ θύτας καὶ πορνοβοσκοὺς [2], σκεύη δὲ προσέταξεν ἀποπέμπειν ἅπαντα, πλὴν χύ-



1 Turn. τὰς λακωνικάς; Petav. τάς τε λακωνικὰς ἀπέταξε, omisso προσόδους.

2 Ald. & Bas. πορνοβοσκάς.

χύτρας, ὀβελίσκϭ, καὶ ποτηρίϭ κεραμεῦ. τῶν δ' ἀργυρέων ἔκπωμα ϭ μεῖζον δύο λιτρῶν συνεχώρησε τοῖς βϭλομένοις ἔχειν, λϭεσθαι δ' ἀπεῖπε, τῶν δ' ἀλειφομένων τρίβειν ἕκαστον ἑαυτόν. τὰ γὰρ ὑποζύγια χεῖρας ϭκ [1] ἔχοντα, ἑτέρϭ τρίψοντος δεῖσθαι. προσέταξε δ' ἀριστᾷν μὲν ἑστῶτας ἄπυρον ὄψον, δειπνεῖν δὲ κατακειμένϭς ἄρτον, ἢ πολτὸν, ἁπλῶς, καὶ κρέας ὀπ]ὸν, ἢ ἑφθόν. αὐτὸς δὲ σάγον ἐμπεπορπημένος μέλανα περιῄει, πενθεῖν τὴν τϭ στρατεύματος αἰσχύνην λέγων.

Μεμμίϭ δέ τινος χιλιάρχϭ λαβὼν ὑποζύγια, ψυκ]ῆρας διαλίθϭς παρακομίζοντα καὶ Θηρικλείϭς [2]· Ἐμοὶ μὲν (εἶπεν) ἡμέρας τριάκοντα καὶ τῇ πατρίδι, σαυτῷ δὲ τὸν βίον ἅπαντα, τοιϭτος ὢν, ἄχρηστον πεποίηκας σεαυτόν.

Ἑτέρϭ δὲ θυρεὸν ἐπιδείξαντος εὖ κεκοσμημένον· Ὁ μὲν θυρεὸς, (εἶπεν) ὦ νεανία, καλός· πρέπει δὲ Ῥωμαῖον ἄνδρα μᾶλλον ἐν τῇ δεξιᾷ τὰς ἐλπίδας ἔχειν, ἢ τῇ ἀριστερᾷ.

Τϭ δὲ τὸν χάρακα αἴροντος, σφόδρα πιέζεσθαι φάσκοντος· Εἰκότως, ἔφη· τῷ γὰρ ξύλῳ τϭτῳ μᾶλλον, ἢ τῇ μαχαίρᾳ, πιστεύεις.

Ὁρῶν δὲ τὴν ἀπόνοιαν τῶν πολεμίων, ἔλεγεν ὠνεῖσθαι τϭ χρόνϭ τὴν ἀσφάλειαν· τὸν γὰρ ἀγαθὸν στρατηγὸν, ὥσπερ ἰατρὸν, ἐσχάτης δεῖσθαι τῆς διὰ τϭ σιδήρϭ θεραπείας. ϭ μὴν ἀλλ' ἐπιθέμενος ἐν καιρῷ τϭς Νομαντίνϭς ἐτρέψατο. Τῶν δὲ πρεσβυτέρων τϭς ἡτ]ημένϭς [3] κακιζόντων, τί πεφεύγασιν, ϭς τοσαυτάκις ἐδίωξαν, εἰπεῖν τινα λέγεται τῶν Νομαντίνων, ὡς τὰ πρόβατα ταυτὰ καὶ νῦν ἐστιν, ὁ δὲ ποιμὴν ἄλλος.

Ἐπεὶ δὲ τὴν Νομαντίαν ἑλὼν, καὶ θριαμβεύσας τὸ δεύ-

1 Turn. Petav. χεῖρας μὴ ἔχ.

2 Turn. Θηρίκλεα. Pocula, nomine inventoris, figuli Corinthii, insignita. Cf. Plin. H. N. 18, 40.

3 Turn. & Petav. τϭς ἡτ]ωμένϭς.

δεύτερον, πρὸς [1] Γάϊον Γράκχον ὑπέρ τε τῆς βουλῆς καὶ τῶν συμμάχων κατέστη διαφορὰ, καὶ λυπούμενος ὁ δῆμος ἐθορύβησεν αὐτὸν ἐπὶ τοῦ βήματος. Ἐμὲ (εἶπεν) οὐδέποτε στρατοπέδων ἀλαλαγμὸς ἐθορύβησεν, οὔτιγε συγκλύδων ἀνθρώπων [2], ὧν οὐ μητέρα τὴν Ἰταλίαν, ἀλλὰ μητρυιὰν, οὖσαν ἐπίσταμαι. Τῶν δὲ περὶ τὸν Γάϊον βοώντων κτεῖναι τὸν τύραννον· Εἰκότως (εἶπεν) οἱ τῇ πατρίδι πολεμοῦντες ἐμὲ βούλονται προανελεῖν. οὐ γὰρ οἷόν τε [3] τὴν Ῥώμην πεσεῖν, Σκιπίωνος ἑστῶτος, οὐδὲ ζῆν Σκιπίωνα, τῆς Ῥώμης πεσούσης.

Καικιλίου Μετέλλου. Καικίλιος Μέτελλος [4] ὀχυρῷ χωρίῳ βουλευόμενος προσαγαγεῖν, εἰπόντος ἑκατοντάρχου πρὸς ἑαυτὸν, ὡς, ἐὰν δέκα μόνους ἀποβάλῃ, λήψεται τὸ χωρίον, ἠρώτησεν αὐτὸν, εἰ βούλοιτο εἷς τῶν δέκα γενέσθαι.

Τῶν δὲ νεωτέρων τινὸς χιλιάρχου πυνθανομένου, τί μέλλει ποιεῖν· Εἰ τοῦτον [5] (ἔφη) συνειδέναι μοι τὸν χιτωνίσκον ἐνόμιζον, ἀποδυσάμενος ἂν αὐτὸν ἐπὶ τὸ πῦρ ἐπέθηκα.

Σκιπίωνι δὲ ζῶντι πολεμῶν, ἀποθανόντος [6] ἠχθέσθη, καὶ τοὺς μὲν υἱοὺς ἐκέλευσεν ὑποδύντας ἄρασθαι τὸ λέχος, τοῖς δὲ θεοῖς ἔφη χάριν ἔχειν ὑπὲρ τῆς Ῥώμης, ὅτι παρ' ἄλλοις οὐκ ἐγένετο Σκιπίων.

Γαΐου Μαρίου. Γάϊος Μάριος, ἐκ γένους ἀδόξου προϊὼν εἰς πολιτείαν διὰ τῶν στρατιωτῶν [7], ἀγορανομίαν τὴν

1 Turn. πρὸς τὸν Γ.

2 Intellige alienigenas multos, in civitatem Romanam receptos.

3 Turn. & Petav. οἴονται pro οἷόν τε.

4 Petav. Καικίλλιος Μέτελλον. Id. in seq. χωρίον, adjecto statim ἠρώτησεν, quasi abessent, quae interjacent.

5 W. mavult τοῦτο.

6 Ald. Bas. ἀποθανότος. Mox utraque οὐκ ἐγίνητο.

7 Dedi sic e Turn. & Petav. pro vulg. στρατιῶν. Firmant receptam lectionem Venet. & Bodl. probatque W. & vertit Philelphus.

τὴν μείζονα παρήγγειλεν. αἰσθόμενος δὲ, ὅτι λείπεται, τῆς αὐτῆς ἡμέρας ἐπὶ τὴν ἐλάττονα μετῆλθε· κἀκείνης ἀποτυχὼν, ὅμως ἐκ ἀπέγνω τῦ πρωτεύσειν [1] Ῥωμαίων.

Ἰξίας δ' ἔχων ἐν ἀμφοτέροις τοῖς σκέλεσι, παρέσχεν ἄδετος ἐκτεμεῖν τῷ ἰατρῷ, καὶ μὴ στενάξας, μηδὲ τὰς ὀφρῦς συναγαγὼν, ἐνεκαρτέρησε τῇ χειρεργίᾳ· τῦ δ' ἰατρῦ μεταβαίνοντος ἐπὶ θάτερον, ἐκ ἠθέλησεν, εἰπὼν, ἐκ εἶναι τὸ θεράπευμα τῆς ἀλγηδόνος ἄξιον.

Ἐπεὶ δὲ Λύσιος, ὁ ἀδελφιδῦς, αὐτῦ τὸ δεύτερον ὑπατεύοντος, ἐβιάζετο τῶν ἐν ὥρᾳ στρατευομένων τινὰ, ὀνόματι Τρεβώνιον, ὁ δ' ἀπέκτεινεν αὐτὸν, καὶ πολλῶν κατηγορέντων, ἐκ ἠρνήσατο κτεῖναι τὸν ἄρχοντα, τὴν δ' αἰτίαν εἶπε καὶ ἀπέδειξε· κελεύσας ἐν ὁ Μάριος τὸν ἐπὶ ταῖς ἀριστείαις διδόμενον στέφανον κομισθῆναι, τῷ Τρεβωνίῳ [2] περιέθηκε.

Τοῖς δὲ Τεύτοσι παραστρατοπεδεύσας [3] ἐν χωρίῳ ὀλίγον ὕδωρ ἔχοντι, τῶν στρατιωτῶν διψῆν λεγόντων, δείξας αὐτοῖς ποταμὸν ἐγγὺς παραῤῥέοντα τῷ χάρακι τῶν πολεμίων· Ἐκεῖθεν ὑμῖν ἐστιν (εἶπε) ποτὸν ὤνιον αἵματος. οἱ δ' ἄγειν παρεκάλεν, ἕως ὑγρὸν ἔχεσι [4] τὸ αἷμα, καὶ μήπω πᾶν ὑπὸ τῦ δίψην ἐκπεπηγός.

Ἐν δὲ τοῖς Κιμβρικοῖς πολέμοις Καμαρίνων χιλίες ἄνδρας ἀγαθὲς γενομένες, ὁμῦ Ῥωμαίες ἐποίησε, κατ' ἐδένα νόμον· πρὸς δὲ τὲς ἐγκαλῦντας ἔλεγε, τῶν νόμων ἐκ ἐξακῦσαι διὰ τὸν [5] τῶν ὅπλων ψόφον.

Ἐν δὲ τῷ ἐμφυλίῳ πολέμῳ περιταφρευόμενος [6] καὶ πολι-

1 Petav. πρωτεύειν.
2 Petav. τριβωνίῳ. Sic quoque Ald. & Baſ.
3 Ald. & Baſ. Ταῖς δὲ Τεύτοσι στρατοπαιδεύσας.
4 Petav. ἔχωσι. Paulo ante idem παραρέοντα; & mox Κυμβρικοῖς.
5 Petav. διὰ τὴν.
6 Petav. περιταφρεβόμενος.

πολιορκούμενος ἐκαρτέρει, τὸν οἰκεῖον ἀναμένων καιρόν. εἰπόντος δὲ τοῦ Ποπεδίου [1] Σίλωνος πρὸς αὐτόν· Εἰ μέγας εἶ στρατηγὸς, ὦ Μάριε, καταβὰς διαγώνισαι· Σὺ μὲν οὖν (εἶπεν) εἰ μέγας εἶ στρατηγὸς, ἀνάγκασόν με διαγωνίσασθαι καὶ μὴ βουλόμενον.

Κάτλου Λουτατίου. Κάτλος Λουτάτιος [2], ἐν τῷ Κιμβρικῷ πολέμῳ παρὰ τὸν Ἀτίσωνα [3] ποταμὸν στρατοπεδεύων, ἐπεὶ τοὺς βαρβάρους ὁρῶντες οἱ Ῥωμαῖοι διαβαίνειν ἐπιχειροῦντας, ἀνεχώρουν, μὴ δυνάμενος αὐτοὺς κατασχεῖν, ὥρμησεν εἰς τοὺς πρώτους τῶν ἀποτρεχόντων, ὅπως δοκῶσι μὴ φεύγειν τοὺς πολεμίους, ἀλλὰ τῷ στρατηγῷ κατακολουθεῖν.

Σύλλου. Σύλλας, ὁ εὐτυχὴς ἀναγορευθεὶς, τῶν μεγίστων εὐτυχιῶν ἐποιεῖτο δύο, τὴν Πίου Μετέλλου φιλίαν, καὶ τὸ μὴ κατασκάψαι τὰς Ἀθήνας, ἀλλὰ φείσασθαι τῆς πόλεως.

Γαΐου Ποπιλλίου. Γάϊος Ποπίλλιος ἐπέμφθη [4] πρὸς Ἀντίοχον ἐπιστολὴν παρὰ τῆς συγκλήτου κομίζων κελεύουσαν ἀπάγειν ἐξ Αἰγύπτου τὸ στράτευμα, καὶ μὴ σφετερίζεσθαι τῶν Πτολεμαίου τέκνων, ὀρφανῶν ὄντων, τὴν βασιλείαν [5]. προσιόντα δ' αὐτὸν διὰ τοῦ στρατοπέδου πόῤῥωθεν ἀσπασαμένου τοῦ Ἀντιόχου φιλοφρόνως, οὐκ ἀντασπασάμενος τὸ γραμματεῖον ἐπέδωκεν· ἐπεὶ δ' ἀναγνοὺς, ἔφη βουλεύσεσθαι [6] καὶ δώσειν τὴν ἀπόκρισιν, τῷ κλη-

1 absunt δὲ τοῦ a Petav. Mox idem ὦ μάριε. Dedi, Xyl. jubente, Ποπεδίου pro vulg. Πομπίου.

2 Ald. & Baf. Λουτάϊος, & mox Κιβρικῷ. De utroque corrigendo jam Xyl. monuit. In Steph ed. pecul. eft Λουκτάϊος.

3 Sic Xyl. legit, dedique cum Turn. pro vulg. Ἀτίστωνα. Correxit quoque W. adfentientibus Venet. Voff. — Petav. Ἀτίσονα. Philelph. vertit *Aftyonem*, W. notante: In MS. Norimb. clare extat *Atifonem*.

4 Petav. ἐπέμφη. Mox idem κελεύσας pro κελεύουσαν.

5 R. τῆς βασιλείας. Reftitui priorem lectionem.

6 Petav. βουλεύσασθαι. Sic Ald. & Baf.

κλήματι γύρον περὶ αὐτὸν ὁ Ποπίλλιος περιέγραψεν, εἰπών· Ἐνταῦθα τοίνυν ἑςὼς βȣ́λευσαι καὶ ἀπόκριναι. πάντων δὲ τὸ φρόνημα τȣ̃ ἀνδρὸς καταπλαγέντων, τȣ̃ τ' Ἀντιόχȣ ποιήσειν ὁμολογȣ̃ντος τὰ δοκȣ̃ντα Ῥωμαίοις, ȣ̃τως ἠσπάσατο καὶ περιέπτυξεν αὐτὸν ὁ Ποπίλλιος.

Λευκȣ́λλȣ. Λεύκȣλλος ἐν Ἀρμενίᾳ μετὰ μυρίων ὁπλιτῶν καὶ χιλίων ἱππέων ἐπὶ Τιγράνην ἐχώρει πεντεκαίδεκα μυριάδας ςρατιᾶς ἔχοντα, τῇ πρὸ μιᾶς νώνων [1] Ὀκτωβρίων· ἐν ᾗ πρότερον ὑπὸ Κίμβρων ἡ μετὰ Καιπίωνος [2] διεφθάρη δύναμις. εἰπόντος δέ τινος, ὅτι Ῥωμαῖοι τὴν ἡμέραν ἀφοσιȣ̃νται καὶ δεδοίκασιν· Οὐκȣ̃ν (ἔφη) σήμερον ἀγωνισώμεθα προθύμως, ἵνα καὶ ταύτην ἐξ ἀποφράδος καὶ σκυθρωπῆς ποιήσωμεν ἱλαρὰν καὶ προσφιλῆ Ῥωμαίοις.

Τȣ̀ς δὲ καταφράκτȣς [3] μάλιςα φοβȣμένων τῶν ςρατιωτῶν, ἐκέλευσε θαῤῥεῖν· πλεῖον γὰρ ἔργον εἶναι τȣ̃ νικῆσαι τὸ τȣ́τȣς σκυλεῦσαι. Προσβὰς δὲ τῷ λόφῳ πρῶτος, καὶ τὸ κίνημα τῶν βαρβάρων θεασάμενος, ἀνεβόησε· Νενικήκαμεν, ὦ συςρατιῶται· καὶ μηδενὸς ὑποςάντος, διώκων, πέντε Ῥωμαίων ἀπέβαλε πεσόντας, τῶν δὲ πολεμίων ὑπὲρ δέκα μυριάδας ἀπέκτεινε.

Γναίȣ Πομπηΐȣ. Γναῖος [4] Πομπήϊος ὑπὸ Ῥωμαίων ἠγαπήθη τοσȣ̃τον, ὅσον ὁ πατὴρ ἐμισήθη. νέος δ' ὤν, παντάπασι τῇ Σύλλα μερίδι προσέθηκεν αὐτόν· καὶ μήτ' [5] ἄρχων, μήτε βȣλεύων, πολλȣ̀ς ἐκ τῆς Ἰταλίας ἐςρατολόγησε. καὶ Σύλλα καλȣ̃ντος, ȣ̓κ ἔφη δίχα λαφύ-

1 Petav. νȣ́νων; Habet idem & Ὀκτωβρίων & Ὀκτοβίων; uti paulo ante μετὰ μορίων pro μετὰ μυρίων.

2 Dedi sic cum Xyl. historiae auctoritate pro vulg. Σκιπίωνος.

3 Petav. τὰς δὲ καταφρ. Mox idem προβὰς pro προσβὰς.

4 Turn. ὁ Μάγνος. E Petav. vitiose enotatur Μάγος.

5 Petav. μὴ. Mox Ald. & Bas. ἐπιδεῖξαι (non autem simul ἀναίμακτον, quod in ind. Var. notatur) Turn. & Petav. ἀποδεῖξαι.

λαφύρων, ἐδ' ἀναίμακτον, ἐπιδείξειν τῷ αὐτοκράτορι τὴν δύναμιν· ἐδ' ἦλθε πρότερον, πρὶν ἢ πολλαῖς μάχαις νικῆσαι τὲς ϛρατηγὲς τῶν πολεμίων.

Ἐπεὶ δὲ πεμφθεὶς εἰς Σικελίαν ὑπὸ Σύλλα ϛρατηγὸς, ἐπυνθάνετο, τὲς ϛρατιώτας ἐν ταῖς ὁδοιπορίαις ἐκτρεπομένες βιάζεσθαι καὶ ἁρπάζειν, τὲς μὲν ἄλλως [1] πλανωμένες καὶ περιθέοντας ἐκόλασε, τῶν δὲ πεμπομένων ὑπ' αὐτἕ σφραγῖδας ἐπέβαλε ταῖς μαχαίραις.

Μαμερτίνες δὲ τῆς ἐναντίας γενομένες μερίδος οἷός τ' ἦν ἀποσφάττειν ἅπαντας· Σθεννίε [2] δὲ, τἕ δημαγωγἕ, φήσαντος, ἐ δίκαια ποιεῖν αὐτὸν, ἀνθ' ἑνὸς αἰτίε πολλὲς ἀναιτίες κολάζοντα· τἕτον δ' αὐτὸν εἶναι τὲς μὲν φίλες πείσαντα, τὲς δ' ἐχθρὲς βιασάμενον ἑλέσθαι τὰ Μαρίε· θαυμάσας ὁ Πομπήϊος ἔφη συγγνώμην ἔχειν Μαμερτίνοις, ὑπὸ τοιἕτε πεισθεῖσιν ἀνδρὸς, ὃς τὴν πατρίδα τῆς ἑαυτἕ ψυχῆς προτιμᾷ, καὶ τήν τε πόλιν καὶ τὸν Σθέννιον ἀπέλυσεν.

Εἰς δὲ [3] Λιβύην διαβὰς ἐπὶ Δομίτιον, καὶ μάχῃ μεγάλῃ κρατήσας, ἀσπασαμένων αὐτὸν αὐτοκράτορα τῶν ϛρατιωτῶν, ἔφη μὴ δέχεσθαι τὴν τιμὴν, ἕως ὀρθὸς ἕϛηκεν ὁ χάραξ τῶν πολεμίων. οἱ δὲ, καίπερ ὄμβρε πολλἕ [4] κατέχοντος, ὁρμήσαντες διεπόρθησαν τὸ ϛρατόπεδον.

Ἐπανελθόντα δ' αὐτὸν ὁ Σύλλας ταῖς μὲν ἄλλαις τιμαῖς ἐδέξατο φιλοφρόνως, καὶ Μάγνον προσηγόρευσε πρῶτος [5] αὐτόν. θριαμβεῦσαι δὲ βελόμενον ἐκ εἴα, μηδέπω μετέχοντα βελῆς. εἰπόντος δὲ τἕ Πομπηΐε πρὸς τὲς παρόντας, ἀγνοεῖν τὸν Σύλλαν, ὅτι καὶ τὸν ἥλιον

[1] Petav. ἄλλες; & mox fimpl. θέοντας; item ἐπ' αὐτἕ pro ὑπ' αὐτἕ, ἐπέβαλλε pro ἐπέβαλε.
[2] Petav. Σθένιος; item deinceps Σθένιον.
[3] Petav. Εἰ δὲ; mox idem ὀρθῶς pro ὀρθὸς.
[4] abeft πολλἕ a Petav.
[5] Turn. & Petav. πρῶτον.

ἥλιον ἀνατέλλοντα πλείονες, ἢ δύνοντα [1], προσκυνᾶσιν, ὁ μὲν Σύλλας ἀνεβόησε· Θριαμβευέτω.

Σερουίλιος δὲ, ἀνὴρ ἀριστοκρατικὸς, ἠγανάκτει, καὶ τῶν στρατιωτῶν ἐνίσταντο πολλοὶ τῷ θριάμβῳ, δωρεάς τινας ἀπαιτᾶντες. ἐπεὶ δὲ ὁ Πομπήϊος ἔφη, μᾶλλον ἀφήσειν τὸν θρίαμβον, ἢ κολακεύσειν ἐκείνας, νῦν ἔφη καὶ μέγαν ἀληθῶς ὁρᾶν καὶ ἄξιον τᾶ θριάμβα τὸν Πομπήϊον.

Ἔθας δ' ὄντος ἐν Ῥώμῃ τοῖς ἱππεῦσιν, ὅταν στρατεύσωνται τὸν νόμιμον χρόνον, ἄγειν τὸν ἵππον εἰς ἀγορὰν ἐπὶ τὰς δύο ἄνδρας, ὰς τιμητὰς καλᾶσι, καὶ καταριθμησαμένας [2] τὰς στρατείας καὶ τὰς στρατηγὰς, ὑφ' ὧς ἐστρατεύσαντο, τυγχάνειν ἐπαίνων, ἢ ψόγων, τῶν προσηκόντων, ὑπατεύων ὁ Πομπήϊος, κατήγαγεν αὐτὸς τὸν ἵππον ἐπὶ τὰς τιμητὰς, Γέλλιον [3] καὶ Λέντλον. ἐκείνων δὲ, ὥσπερ ἔθος ἐστὶ, πυθομένων, εἰ πάσας ἐστράτευται τὰς στρατείας· Πάσας (εἶπεν) ὑπ' ἐμαυτῷ αὐτοκράτορι.

Τῶν δὲ Σερτωρία γραμμάτων κρατήσας ἐν Ἰβηρίᾳ, ἐν οἷς ἦσαν ἐπιστολαὶ πολλῶν ἡγεμόνων ἐπὶ νεωτερισμῷ καὶ μεταβολῇ τῆς πολιτείας τὸν Σερτώριον εἰς Ῥώμην καλάντων, κατέκαυσε πάσας, διδὰς μετανοῆσαι καὶ βελτίονας γενέσθαι τὰς πονηράς.

Ἐπεὶ δὲ Φραάτης, ὁ Πάρθων βασιλεὺς, ἔπεμψε πρὸς αὐτὸν, ἀξιῶν ὅρῳ χρῆσθαι τῷ Εὐφράτῃ, μᾶλλον ἔφη χρῆσθαι [4] Ῥωμαίας ὅρῳ πρὸς Πάρθας τῷ δικαίῳ.

Λευ-

1 Petav. δύνονται; Mox idem ἀπαιτᾶνται pro ἀπαιτᾶντες.

2 Turn. & Petav. καταριθμᾶσι; Ald. & Baf. τὰς στρατιάς; Mox Petav. ἐστρατεύσατο pro ἐστρατεύσαντο.

3 Sic Xyl. legit ex aliis historicis & ipso Plutarcho. Sic quoque Raph. & Philelph. vertunt; dedique pro vulg. Στέλλιον. Correxit etiam W. adsentiente Mez. — Τέλλιον habent Venet. Voss. Petav. & MS. Xyl.

4 Enotatur in ind. Var. e Turn. & Bong. „forsan χρίεσθαι." An male datum est pro χρήσεσθαι?

Λευκίου δὲ Λευκούλλου μετὰ τὰς στρατείας ἀφεικότος [1] αὑτὸν εἰς ἡδονὰς καὶ πολυτελῶς ζῶντος, τὸν δὲ Πομπήϊον, ὡς παρ' ἡλικίαν τοῦ πολλὰ πράσσειν ὀρεγόμενον, ψέγοντος, μᾶλλον, ἔφη, γέροντι τὸ τρυφᾷν, ἢ τὸ ἄρχειν, εἶναι παρ ἡλικίαν.

Νοσοῦντι δ' αὐτῷ κίχλην ὁ ἰατρὸς λαβεῖν προσέταξεν· οἱ δὲ ζητοῦντες οὐχ εὗρον, (ἦν γὰρ παρ' ὥραν) ἔφη δέ τις, εὑρεθήσεσθαι παρὰ Λευκούλλῳ δι' ἔτους τρεφομένας. Εἶτα (ἔφη) εἰ μὴ Λεύκουλλος ἐτρύφα, Πομπήϊος οὐκ ἂν ἔζησε; καὶ χαίρειν ἐάσας τὸν ἰατρὸν, ἔλαβε τῶν εὐποριστων.

Ἰσχυρᾶς δὲ σιτοδείας [2] ἐν Ῥώμῃ γενομένης, ἀποδειχθεὶς λόγῳ μὲν ἀγορᾶς ἐπιμελητὴς, ἔργῳ δὲ γῆς καὶ θαλάσσης κύριος, ἔπλευσεν εἰς Λιβύην καὶ Σαρδόνα καὶ Σικελίαν· καὶ πολὺν ἀθροίσας σῖτον, ἔσπευδεν [3] εἰς τὴν Ῥώμην. μεγάλου δὲ τοῦ χειμῶνος γενομένου, καὶ τῶν κυβερνητῶν ὀκνούντων, πρῶτος ἐμβὰς, καὶ τὴν ἄγκυραν ἆραι κελεύσας, ἀνεβόησε· Πλεῖν ἀναγκάζῃ [4], ζῆν οὐκ ἀναγκάζῃ.

Τῆς δὲ πρὸς τὸν Καίσαρα διαφορᾶς ἀποκαλυπτομένης, καὶ Μαρκελλίνου τινὸς τῶν ὑπὸ Πομπηΐου προῆχθαι δοκούντων, μεταβεβλημένου δὲ πρὸς Καίσαρα, πολλὰ πρὸς αὐτὸν ἐν συγκλήτῳ λέγοντος· Οὐκ αἰσχύνῃ, Μαρκελλῖνε, (εἶπεν) ἐμοὶ λοιδορούμενος, δι' ὃν ἐξ ἀφώνου λόγιος, ἐκ δὲ πεινατικοῦ ἐμετικὸς γέγονας;

Πρὸς δὲ Κάτωνα, πικρῶς καθαψάμενον, ὅτι πολλάκις αὐτοῦ προσαγορεύοντος τὴν Καίσαρος δύναμιν καὶ αὔξη-

1 Petav. ἀφεικότως; mox idem omittit καὶ post ἡδονάς.
2 Petav. σιτοδίας; mox idem Λυβίην.
3 Turn. ἐσπεύδασεν.
4 Bene W. monet, melius esse ἀνάγκη — ἀνάγκη, quod est in Jun. Mez. Xyl. & Raph. Versione, nec non in ipsa Pompeji vita, Vol. IV. pag. 205.

αὔξησιν, ἐκ ἐπ' ἀγαθῷ τῆς δημοκρατίας γενομένην [1], ἀπεκρίνατο· Τὰ μὲν σὰ μαντικώτερα, τὰ δ' ἐμὰ φιλικώτερα.

Περὶ δὲ αὐτῦ [2] παῤῥησιαζόμενος εἶπεν, ὡς πᾶσαν ἀρχὴν καὶ ἔλαβε θᾶσσον, ἢ προσεδόκησε, καὶ καταθοῖτο θᾶσσον, ἢ προσεδοκήθη [3].

Μετὰ δὲ τὴν ἐν Φαρσάλῳ μάχην φεύγων εἰς Αἴγυπτον, ὡς ἔμελλε διαβαίνειν ἐκ τῆς τριήρυς εἰς ἁλιευτικὸν πλοῖον, ἀποσείλαντος τῦ βασιλέως, ἐπισραφεὶς πρὸς τὴν γυναῖκα καὶ τὸν υἱὸν, ὐδὲν ἕτερον, ἢ τὸ τῦ Σοφοκλέυς, εἶπεν·

Ὅςις δὲ πρὸς τύραννον ἐμπορεύεται,
Κείνυ' [4] ςὶ δῦλος, κἂν ἐλεύθερος μόλῃ.

μεταβὰς δὲ, καὶ πληγεὶς ξίφει, καὶ σενάξας ἅπαξ, εἰπὼν δὲ μηδὲν, ἀλλ' ἐγκαλυψάμενος, παρέδωκεν ἑαυτόν.

Κικέρωνος. Κικέρων, ὁ ῥήτωρ, εἰς τὔνομα σκωπτόμενος, καὶ τῶν φίλων μεταθέσθαι κελευόντων, ἔφη, τὸν Κικέρωνα ποιήσειν τῶν Κατώνων καὶ τῶν Κάτλων καὶ τῶν Σκαύρων ἐνδοξότερον.

Ἔκπωμα δ' ἀργυρῦν τοῖς θεοῖς ἀνατιθεὶς, τὰ μὲν πρῶτα τῶν ὀνομάτων γράμμασιν ἐσήμανεν [5], ἀντὶ δὲ τῦ Κικέρωνος ἐρέβινθον ἐτόρευσε.

Τῶν δὲ ῥητόρων τὺς μέγα βοῶντας ἔλεγε δι' ἀσθένειαν ἐπὶ τὴν κραυγὴν, ὡς χωλὺς ἀναβαίνειν ἐφ' ἵππον [6].

Οὐέῤ-

1 Petav. γινομένην. Sic Ald. Baſ. & Steph. edit. pec. Loco huic aliquid deeſſe, quod ad ὅτι referatur, facile patet. Xyl. addit: *non advertiſſet animum*; Raph. Regius: *Pompejus vero illum contra juviſſet.*

2 Petav. αὐτῦ. Sic Ald. quoque & Baſ.

3 a Petav. abeſſe videntur προσεδόκησε, καὶ καταθοῖτο θᾶσσον, ἢ.

4 Petav. ἐκείνυ ἐςί.

5 Turn. & Petav. ἐσήμαινεν.

6 Steph. Frft. Maitt. & R. ἐφ' ἵππων. Reſtitui ex Ald. & Baſ. ἵππον. Turn. & Petav. ἐπὶ τὸν ἵππον.

Οὐέῤῥε [1] δὲ υἱὸν ἔχοντος ἐκ εὖ κεχρημένον ἐφ' ὥρᾳ τῷ σώματι, τὸν δὲ Κικέρωνα λοιδορᾶντος εἰς μαλακίαν, καὶ κίναιδον ἀποκαλᾶντος· Ἀγνοεῖς, (εἶπεν) ὅτι προσήκει τοῖς τέκνοις ἐντὸς θυρῶν λοιδορεῖσθαι;

Μετέλλε δὲ Νέπωτος εἰπόντος πρὸς αὐτὸν, ὅτι Πλείονας μαρτυρῶν ἀπέκτονας, ἢ συνηγορῶν σέσωκας· Καὶ γάρ ἐςιν (ἔφη) πλεῖον [2] ἐμοὶ πίςεως, ἢ λογιότητος.

Ἐρωτῶντος δὲ τῦ Μετέλλε, τίς αὐτῦ πατήρ ἐςι. Ταύτην (ἔφη) τὴν ἀπόκρισιν χαλεπωτέραν ἡ σὴ μήτηρ πεποίηκεν. ἦν γὰρ ἡ [3] τῦ Μετέλλε ἀκόλαςος· ὁ δὲ Μέτελλος αὐτὸς, ὑπόκεφος καὶ ἀβέβαιος καὶ φερόμενος ταῖς ὁρμαῖς.

Διοδότῳ δὲ, τῷ διδασκάλῳ τῶν ῥητορικῶν [4], ἀποθανόντι κόρακα λίθινον ἐπιςήσαντος αὐτῦ, δικαίαν ἔφη τὴν ἀμοιβὴν γεγονέναι· πέτεσθαι γὰρ τῦτον, ὀ λέγειν, ἐδίδαξεν.

Βατίνιον [5] δὲ, ἄνθρωπον ἑαυτῷ διάφορον καὶ μοχθηρὸν ἄλλως, ἀκέσας, ὅτι τέθνηκεν, εἶτα γνὰς ὕςερον, ὅτι ζῇ· Κακῶς (εἶπεν) ἀπόλοιτο [6] κακῶς ὁ ψευσάμενος.

 Πρὸς

1 Petav. Οὐίρε. Sic Ald. quoque & Baf.

2 Sic R. correxit pro vulg. πλεῖςον, quod dedit Ald. Steph. & rell. Etiam W. id recepit ex Baf. Xyl. & vita Cic. Vol. V. cap. 26. Vertit idem Raph. Reg. & Philelph. & enotatur e Turn.

3 abeft ἡ a Petav.

4 Verius putat W. quod refertur in Vit. Cic. l. c.

5 Ald. Baf. Petav. Xyl. Voff. Οὐάριον. Steph. primus dedit Βατίνιον, & habent Coll. Muret. Schott. Jannot. Jun. Ipfe Xyl. legendum monuit & vertit Οὐατίνιον ex vita Ciceronis, quod e Turn. enotatur; Etiam Philelph. & Raph. Regius reddunt *Vatinium*.

6 abeft ἀπόλοιτο ab Ald. Baf. Petav. & Steph. edit. pecul. Id e Vit. Cic. inferendum monuit Xyl. & dedit Steph. in edit. univ. opp. W. legi vult κακὸς, εἶπεν, ἀπόλ. κακῶς, uti eft in vit. Cic. l. c. Cf. quae ibidem adnotantur. Mez. & Xyl. ὁ κακῶς ψευ-

Πρὸς δὲ τὸν δοκῦντα Λίβυν ἀπὸ γένυς εἶναι, φήσαντα δ' αὐτῦ μὴ ἀκέειν λέγοντος· Καὶ μὴν ἐκ ἀτρύπητον ἔχεις τὸ ὖς, εἶπε.

Κάςον δὲ Ποπίλλιον [1], νομικὸν εἶναι βυλόμενον, ὄντα δ' ἀμαθῆ [2] καὶ ἀφυῆ, προσεκαλεῖτο μάρτυρα πρός τινα δίκην· εἰπόντος δ' ἐκείνυ, μηδὲν γινώσκειν· Οἴει γὰρ ἴσως (εἶπε) περὶ τῶν νομίμων ἐπερωτᾶσθαι;

Ὁρτησίυ δὲ, τῦ ῥήτορος, λαβόντος μισθὸν ἀργυρᾶν σφίγγα παρὰ τῦ Βέῤῥυ [3], καὶ πρὸς τὸν Κικέρωνα, πλαγίως τι εἰπόντα, φήσαντος, αἰνιγμάτων λύσεως ἀπείρως ἔχειν· Καὶ μὴν ἡ σφὶγξ (ἔφη) παρὰ σοί ἐςιν.

Οὐοκωνίῳ δ' ἀπαντήσας μετὰ τριῶν θυγατέρων ἀμορφοτάτων [4] τὴν ὄψιν, ἀτρέμα πρὸς τὰς φίλυς εἶπε· Φοίβυ ποτ' ἐκ ἐῶντος ἔσπειρε τέκνα.

Φαύςυ δὲ, τῦ Σύλλα παιδὸς, διὰ πλῆθος δανείων ἀπάρτιον προγράψαντος· Ταύτην μᾶλλον (ἔφη) τὴν προγραφὴν ἀσπάζομαι [5], ἢ τὴν πατρῴαν αὐτῦ.

Πομπηΐυ δὲ καὶ Καίσαρος διαςάντων, ἔφη· Γινώσκω, ὃν φύγω, μὴ γινώσκων, πρὸς ὃν φύγω.

Καὶ Πομπήϊον ἐμέμψατο τὴν πόλιν ἐκλιπόντα, καὶ Θεμιςοκλέα μᾶλλον, ἢ Περικλέα, μιμησάμενον, ἐκ ἐκείνοις τῶν πραγμάτων, ἀλλὰ τέτοις ὁμοίων ὄντων.

Γενό-

ψευσάμενος. Consentiunt Philelph. & Raph. Reg. & sequitur Kaltw. E Turn. enotatur κακῶς ὄλοιτο εἶπεν ὁ κακῶς ἐψευσ. Hoc ipsum ἐψευσάμενος male in ind. Var. & R. nota tribuitur Aldinae & Basileensi.

1 In Cic. l. c. est Πόπλιον Κῶνςαν. Vid. ibidem notata. In Turn. legitur Κάσσιον pro Κάςον. Cod. Parif. J. Πόπλιον δὲ Γάϊον; cod. A. in vit. Cic. Πόπλιον δὲ Κότταν, quod melius censet W. & vertit Xyl.

2 Turn. & Petav. ἀπαθῆ.

3 Ald. & Bas. Βερῦ.

4 Ald. & Baf. εὐμορφοτάτων, quod Xyl. corrigendum monuit. Mox Turn. & Petav. φίλυ pro Φοίβυ.

5 Petav. ἀσπάζομαι τὴν προγραφήν.

Γενόμενος δ' ὢν παρὰ Πομπηΐῳ, καὶ πάλιν μετανοῶν, ἐρωτηθεὶς ὑπὸ Πομπηΐου, πῦ Πίσωνα [1] τὸν γαμβρὸν ἀπολέλοιπεν, ἔφη· Παρὰ τῷ σῷ πενθερῷ.

Μεταβαλλομένου δέ τινος ἀπὸ Καίσαρος πρὸς τὸν Πομπήϊον, λέγοντος, ὑπὸ σπουδῆς καὶ προθυμίας ἀπολελοιπέναι τὸν ἵππον, βέλτιον ἔφη αὐτὸν περὶ τοῦ ἵππου βεβουλεῦσθαι.

Πρὸς δὲ τὸν ἀπαγγέλλοντα τοῦ [2] Καίσαρος φίλους σκυθρωποὺς εἶναι· Λέγεις, (ἔφη) δυσνοεῖν [3] αὐτοὺς Καίσαρι.

Μετὰ δὲ τὴν ἐν Φαρσάλῳ μάχην Πομπηΐου μὲν φυγόντος, Νονίου [4] δέ τινος ἔτι παρ' αὐτοῖς ἀετοὺς ἑπ]ὰ φήσαντος εἶναι, καὶ διὰ τοῦτο θαῤῥεῖν παρακαλοῦντος· Καλῶς ἂν παρήνεις, (εἶπεν) εἰ κολοιοῖς ἐπολεμοῦμεν.

Ἐπεὶ δὲ Καῖσαρ κρατήσας τὰς Πομπηΐου καταβεβλημένας εἰκόνας ἀνέστησε μετὰ τιμῆς, ἔφη περὶ αὐτοῦ λέγων ὁ Κικέρων, ὅτι τοῦ Πομπηΐου Καῖσαρ ἱστὰς ἀνδριάντας, τοὺς ἑαυτοῦ πήγνυσιν.

Οὕτω δὲ πολλοῦ τὸ καλῶς λέγειν ἐτίμα τε, καὶ περὶ τοῦτο μάλιστα ἠγωνία, ὥστε, προκειμένης δίκης ἐπὶ τῶν ἑκατὸν ἀνδρῶν, ὡς ἐπικειμένης τῆς ἡμέρας Ἔρωτα ἀπαγγείλαντα αὐτῷ οἰκέτην εἰς τὴν ἐπιοῦσαν ὑπερτεθῆναι τὴν δίκην, ἠλευθέρωσε [5].



1 Petav. Πεισωνα.

2 abest τοῦ a Petav.

3 Xyl. legit & vertit εὖ νοεῖν, ut pro benevolentia in eum solliciti ac cogitabundi fuisse intelligantur. Melius quidem hoc esse censet W. nec tamen acumen satis apparere bene monet. δυσνοεῖν quidem, Xyl. pergit, fortasse hic esse *dissentire*, ut sensus sit, Caesare laeto & hilari ob successus & spem, diversum sensisse ejus amicos, qui tristiores essent. Maittaire sententiam interrogative vult sumi cum Raph. Regio.

4 Petav. Νωνίου. Mox idem κολιοῖ pro κολοιοῖς.

5 Ald. & Bas. ἐλευθέρωσε. Locus ipse mihi non videtur esse sanus. Saltim ὡς ante ἐπικειμ. vix probandum censeo.

Γαΐου Καίσαρος. Γάϊος Καῖσαρ, ὅτε Σύλλαν ἔφευγεν ἔτι μειράκιον ὤν, περιέπεσε πειραταῖς· καὶ πρῶτον μὲν αἰτηθεὶς ἀργυρίου πλῆθος, κατεγέλασε τῶν λῃστῶν, ὡς ἀγνοούντων, ὃν ἔχουσι, καὶ διπλάσιον ὡμολόγησε δώσειν. ἔπειτα φρουρούμενος, ὡς συνῆγε τὰ χρήματα, προσέταττεν ἡσυχίαν αὐτῷ παρέχειν κοιμωμένῳ καὶ σιωπᾶν. λόγους δὲ καὶ ποιήματα γράφων [1] ἀνεγίνωσκεν αὐτοῖς, καὶ τοὺς μὴ λίαν ἐπαινοῦντας ἀναισθήτους καὶ βαρβάρους ἀπεκάλει, καὶ μετὰ γέλωτος ἠπείλει κρεμᾶν αὐτούς. ὃ καὶ μετ' ὀλίγον ἐποίησε. τῶν γὰρ λύτρων κομισθέντων, ἀπολυθεὶς καὶ συναγαγὼν ἄνδρας ἐξ Ἀσίας καὶ πλοῖα, συνήρπασε τοὺς λῃστὰς καὶ προσήλωσεν.

Ἐν δὲ Ῥώμῃ, πρὸς Κάτλον, πρωτεύοντα Ῥωμαίων, εἰς ἅμιλλαν ὑπὲρ τῆς ἀρχιερωσύνης καταστάς, καὶ προπεμπόμενος ὑπὸ τῆς μητρὸς ἐπὶ [2] τὰς θύρας· Σήμερον, (εἶπεν) ὦ μῆτερ, ἀρχιερέα τὸν υἱὸν, ἢ φυγάδα, ἕξεις.

Πομπηΐαν [3] δὲ, τὴν γυναῖκα, κακῶς ἀκούσασαν ἐπὶ Κλωδίῳ παραιτησάμενος, εἶτα τοῦ Κλωδίου φεύγοντος ἐπὶ τούτῳ δίκην, μάρτυς εἰσαχθεὶς, οὐδὲν εἶπε [4] φαῦλον περὶ τῆς γυναικός. ἐρομένου δὲ τοῦ κατηγόρου· Διὰ τί τοίνυν ἐξέβαλες αὐτήν· Ὅτι τὴν Καίσαρος (ἔφη) γυναῖκα καὶ διαβολῆς δεῖ καθαρὰν εἶναι.

Τας δ' Ἀλεξάνδρου πράξεις ἀναγινώσκων ἐδάκρυσε, καὶ πρὸς τοὺς φίλους εἶπεν, ὅτι Ταύτην τὴν ἡλικίαν ἔχων ἐνίκησε Δαρεῖον· ἐμοὶ δὲ μέχρι νῦν οὐδὲν [5] πέπρακται.

Πολίχνιον δ' αὐτοῦ λυπρὸν ἐν ταῖς Ἄλπεσι περιερχομένου, καὶ τῶν φίλων διαπορούντων, εἰ καὶ ἐνταῦθά

1 Petav. γραφῶν.
2 Turn. ὑπό.
3 Petav. Πομπίαν. Sic Ald. quoque & Baf.
4 Petav. εἰσαχθεὶς εἶπεν οὐδὲν φ. Mox idem καθαρὸν pro καθαρὰν.
5 Turn. & Petav. μηδέν.

θά τινες ςάσεις εἰσὶ καὶ ἅμιλλαι περὶ πρωτείων, ἐπιςὰς καὶ σύννες γενόμενος· Μᾶλλον ἂν (ἔφη) ἐβελόμην πρῶτος ἐνταῦθα εἶναι, ἢ δεύτερος ἐν Ῥώμῃ.

Τῶν δὲ τολμημάτων τὰ παράβολα καὶ μεγάλα πράττειν ἔφη δεῖν, ἀλλὰ μὴ βελεύεσθαι.

Καὶ διέβη τὸν Ῥεβίκωνα [1] ποταμὸν ἐκ τῆς Γαλατικῆς ἐπαρχίας ἐπὶ Πομπήϊον, εἰπών· Πᾶς ἀνεῤῥίφθω κῦβος.

Ἐπεὶ δὲ, Πομπηΐε φεύγοντος ἐπὶ θάλασσαν ἐκ τῆς Ῥώμης, καὶ Μέτελλος, ἔπαρχος ὢν τῦ ταμείε, βελόμενον αὐτὸν χρήματα λαβεῖν ἐκώλυε, καὶ τὸ ταμεῖον ἀπέκλεισεν, ἠπείλησεν ἀποκτενεῖν αὐτόν· καταπλαγέντος δὲ τῦ Μετέλλε· Τῦτο (εἶπεν) ὦ νεανίσκε, φῆσαί μοι [2] χαλεπώτερον ἦν, ἢ ποιῆσαι.

Τῶν δὲ ςρατιωτῶν αὐτῷ βραδέως εἰς Δυῤῥάχιον [3] ἐκ Βρεντεσίε κομιζομένων, λαθὼν ἅπαντας εἰς πλοῖον μικρὸν ἐμβὰς ἐπεχείρησε διαπλεῖν τὸ πέλαγος· συγκλυζομένε δὲ τῦ πλοίε, ποιήσας τῷ κυβερνήτῃ φανερὸν ἑαυτὸν, ἀνεβόησε· Πίςευε τῇ τύχῃ, γνὺς, ὅτι Καίσαρα κομίζεις. Τότε μὲν ἐν ἐκωλύθη, τῦ χειμῶνος ἰσχυρῦ γενομένε, καὶ τῶν ςρατιωτῶν συνδραμόντων, καὶ περιπαθέντων, εἰ περιμένει δύναμιν ἄλλην, ὡς ἀπιςῶν αὐτοῖς. ἐπεὶ δὲ, μάχης γενομένης, νικῶν [4] ὁ Πομπήϊος ἐκ ἐπεξῆλθεν, ἀλλ' ἀνεχώρησεν εἰς τὸ ςρατόπεδον· Τήμερον (εἶπεν) ἡ νίκη [5] παρὰ τοῖς πολεμίοις, ἀλλὰ τὸν εἰδότα νικᾷν ἐκ ἔχεσιν.

Ἐν δὲ Φαρσάλῳ Πομπηΐε παρατεταγμένην τὴν φάλαγγα κατὰ χώραν ἑςάναι καὶ προσδέχεσθαι τὲς πολεμίες



1 Ald. & Baſ. Οὐβρῶνα, & mox γαλακτικῆς; Petav. Οὔβρονα.

2 Ald. & Baſ. φεῖσαί μοι.

3 Petav. Δυράχιον; Mox idem Βρεντησίε; Turn. ἐν Βρεντησίε.

4 Petav. νικᾷν.

5 W. ſuſp. ἦν ἡ νίκη.

λεμίυς παρεγγυήσαντος, ἁμαρτεῖν αὐτὸν ἔλεγε τὸν ἐξ ἐπιδρομῆς μετ' ἐνθυσιασμῦ τόνον καὶ ῥοῖζον ἐκλύσαντα τῶν ϛρατιωτῶν.

Φαρνάκην [1] νικήσας, τὸν Ποντικὸν, ἐξ ἐφόδυ, πρὸς τὺς φίλυς ἔγραψεν· Ἦλθον, εἶδον, ἐνίκησα.

Μετὰ δὲ τὴν ἐν Λιβύῃ τῶν περὶ τὸν Σκιπίωνα φυγὴν καὶ ἥτ]αν Κάτωνος αὐτὸν ἀνελόντος· Φθονῶ σοι, Κάτων, (εἶπε) τῦ θανάτυ· καὶ γὰρ σὺ ἐμοὶ τῆς σῆς σωτηρίας ἐφθόνησας.

Ἀντώνιον δὲ καὶ Δολοβέλλαν [2] ὑφορωμένων ἐνίων, καὶ φυλάτ]εσθαι κελευόντων, ὐ τύτυς ἔφη δεδιέναι τὺς βαναύσυς καὶ λιπῶντας, ἀλλὰ τὺς ἰσχνὺς καὶ ὠχρὺς ἐκείνυς· δείξας Βρῦτον καὶ Κάσσιον.

Λόγυ δὲ παρὰ δεῖπνον ἐμπεσόντος περὶ θανάτυ, ποῖος ἄριϛος· Ὁ ἀπροσδόκητος, εἶπε.

Καίσαρος τῦ Σεβαϛῦ. Καῖσαρ, ὁ πρῶτος ἐπικληθεὶς Σεβαϛὸς, ἔτι μειράκιον ὢν, Ἀντώνιον ἀπῄτει δισχιλίας πεντακοσίας μυριάδας τῦ πρώτυ Καίσαρος ἀναιρεθέντος, ἐκ τῆς οἰκίας, ἃς πρὸς αὐτὸν [3] ὁ Ἀντώνιος μετήνεγκεν· ἀποδῦναι Ῥωμαίοις βυλόμενος τὸ καταλειφθὲν ὑπὸ Καίσαρος, ἑκάϛῳ δραχμὰς ἑβδομήκοντα πέντε· τῦ δ' Ἀντωνίυ τὰ μὲν χρήματα κατέχοντος, ἐκεῖνον δὲ τῆς ἀπαιτήσεως ἀμελεῖν, εἰ σωφρονεῖ, κελεύοντος, ἐκήρυτ]ε τὰ πατρῷα καὶ ἐπίπρασκε· καὶ τὴν δωρεὰν ἀποδὺς, εὔνοιαν μὲν αὐτῷ, μῖσος δ' ἐκείνῳ παρὰ τῶν πολιτῶν περιεποίησεν.

Ἐπεὶ δὲ Ῥυμετάλκης [4], ὁ τῶν Θρᾳκῶν βασιλεὺς, ἀπ'

1 Post Φαρνάκην inferit Turn. δὲ.

2 Petav. Δολοβέλλαν, uti paulo ante αὐτὸν pro αὐτόν; & mox ὑφορκμένων.

3 Petav. αὐτόν; mox idem καταληφθὲν pro καταλειφθὲν, & ἀπετήσεως pro ἀπαιτήσ. & αὐτῷ pro αὐτῷ. In Ald. & Baf. eft quoque αὐτῷ.

4 Petav. Ῥυτάλκης. Idem omittit proxime fequens τῶν\ & dat porro μεταβαλόμενος.

ἀπ' Ἀντωνίου μεταβαλλόμενος πρὸς αὐτὸν, οὐκ ἐμετρίαζε παρὰ τοὺς πότους, ἀλλ' ἦν ἐπαχθὴς [1], ὀνειδίζων τὴν συμμαχίαν, προπιών τινι τῶν ἄλλων βασιλέων ὁ Καῖσαρ εἶπεν· Ἐγὼ προδοσίαν φιλῶ, προδότας δ' οὐκ ἐπαινῶ.

Τῶν δ' Ἀλεξανδρέων μετὰ τὴν ἅλωσιν τὰ δεινότατα πείσεσθαι προσδοκώντων, ἀναβὰς ἐπὶ τὸ βῆμα, καὶ παραστησάμενος Ἄρειον, τὸν Ἀλεξανδρέα, φείδεσθαι [2] μὲν τῆς πόλεως ἔφη πρῶτον διὰ τὸ μέγεθος καὶ τὸ κάλλος, ἔπειτα διὰ τὸν κτίστην, Ἀλέξανδρον, τρίτον δι' Ἄρειον, τὸν φίλον.

Ἀκούσας δὲ, ὅτι Ἔρως, ὁ τὰ ἐν Αἰγύπτῳ διοικῶν, ὄρτυγα τὸν κρατοῦντα πάντων ἐν τῷ μάχεσθαι καὶ ἀήττητον ὄντα πριάμενος, ὀπτήσας κατέφαγε, μετεπέμψατο αὐτὸν καὶ ἀνέκρινεν· ὁμολογήσαντα δὲ ἐκέλευσεν ἱστῷ νηὸς προσηλωθῆναι.

Ἐν δὲ Σικελίᾳ Ἄρειον ἀντὶ Θεοδώρου κατέστησε διοικητήν [3]· ἐπιδόντος δέ τινος αὐτῷ βιβλίον, ἐν ᾧ γεγραμμένον ἦν· Φαλακρὸς, ἢ κλέπτης, Θεόδωρος ὁ Ταρσεύς. τί σοι δοκεῖ; ἀναγνοὺς Καῖσαρ ὑπέγραψε· Δοκεῖ.

Παρὰ δὲ Μαικήνα [4], τοῦ συμβιωτοῦ, καθ' ἕκαστον ἐνιαυτὸν ἐν τοῖς γενεθλίοις δῶρον ἐλάμβανε φιάλην.

Ἀθηνοδώρῳ δὲ, τῷ φιλοσόφῳ, διὰ γῆρας εἰς οἶκον ἀφεθῆναι δεηθέντι συνεχώρησεν. ἐπεὶ δ' ἀσπασάμενος [5] αὐτὸν ὁ Ἀθηνόδωρος εἶπεν· Ὅταν ὀργισθῇς, Καῖσαρ, μηδὲν εἴπῃς, μηδὲ ποιήσῃς, πρότερον, ἢ τὰ εἴκοσι καὶ τέτταρα γράμματα διελθεῖν πρὸς ἑαυτόν· ἐπιλαβόμενος αὐτοῦ τῆς χειρός· Ἔτι σοῦ παρόντος (ἔφη) χρείαν



1 Turn. ἀπεχθείς.
2 Petav. φείδεσθε.
3 Petav. διοικιτήν.
4 Turn. & Petav. Καικήνα.
5 Petav. σπασάμενος.

χρείαν ἔχω· καὶ κατέσχεν αὐτὸν ὅλον ἐνιαυτὸν, εἰπὼν, ὅτι ἐστὶ καὶ σιγῆς ἀκίνδυνον γέρας [1].

Ἀκούσας δὲ, ὅτι Ἀλέξανδρος δύο καὶ τριάκοντα γεγονὼς ἔτη κατεστραμμένος [2] τὰ πλεῖστα, διηπόρει, τί ποιήσει τὸν λοιπὸν χρόνον, ἐθαύμαζεν, εἰ μὴ μεῖζον Ἀλέξανδρος ἔργον ἡγεῖτο τοῦ κτήσασθαι μεγάλην ἡγεμονίαν, τὸ διατάξαι τὴν ὑπάρχουσαν.

Γράψας [3] τὸν περὶ τῶν μοιχῶν νόμον, ἐν ᾧ διώρισαι, πῶς δεῖ κρίνεσθαι τοὺς ἐν αἰτίαις γενομένους, καὶ πῶς δεῖ κολάζεσθαι τοὺς ἁλόντας, εἶτα προσπεσὼν [4] ὑπ' ὀργῆς τὸν ἐπὶ Ἰουλίᾳ, τῇ θυγατρὶ, διαβεβλημένον νεανίσκον ἔτυπτε ταῖς χερσίν· ἐκείνου δ' ἀναβοῶντος· Νόμον ἔθηκας, ὦ Καῖσαρ· οὕτω μετενόησεν, ὥστε τὴν ἡμέραν ἐκείνην παραιτήσασθαι τὸ δεῖπνον.

Γάϊον δὲ, τὸν θυγατριδοῦν, εἰς Ἀρμενίαν ἀποστέλλων ᾐτεῖτο παρὰ τῶν θεῶν εὔνοιαν αὐτῷ τὴν Πομπηΐου, τόλμαν δὲ τὴν Ἀλεξάνδρου, τύχην δὲ τὴν ἑαυτοῦ παρακολουθῆσαι.

Ῥωμαίοις δὲ τῆς ἀρχῆς ἔλεγεν ἀπολείψειν διάδοχον, ὃς οὐδέποτε περὶ τοῦ αὐτοῦ πράγματος δὶς ἐβουλεύσατο· Τιβέριον λέγων.

Θορυβοῦντας δὲ τοὺς ἐν ἀξιώμασι [5] νέους καταστεῖλαι βουλόμενος, ὡς οὐ προσεῖχον, ἀλλ' ἐθορύβουν· Ἀκούσατε, (εἶπεν) νέοι, γέροντος, οὗ νέου γέροντες ἤκουον.

Τοῦ δ' Ἀθηναίων δήμου ἐξημαρτηκέναι τι δόξαντος, ἔγραψεν ἀπ' Αἰγίνης, οἴεσθαι μὴ λανθάνειν αὐτοὺς ὀργιζόμενος. οὐ γὰρ ἂν ἐν Αἰγίνῃ διαχειμάσειν [6]. ἄλλο δ' οὐδὲν οὔτ' εἶπεν αὐτοὺς, οὔτ' ἐποίησε.

Τῶν

1 Turn. γῆρας; & in seq. ἀκούσαν.
2 Codex innominatus κατευτραμμένος.
3 Post γράψας Turn. & Petav. inserunt δέ.
4 Ald. & Bas. προπεσών. Idem Steph. in edit. pecul.
5 Turn. & Petav. ἐν ἀξιώματι.
6 Turn. & Petav. διαμαχήσειν.

Τῶν δ' Εὐρυκλέκς [1] κατηγόρων ἑνὸς ἀφειδῶς καὶ κατακόρως παῤῥησιαζομένε, καὶ προαχθέντος εἰπεῖν τι τοιῦτον· Εἰ ταῦτά σοι, Καῖσαρ, ἐ φαίνεται μεγάλα, κέλευσον αὐτὸν ἀποδῦναί μοι Θεκυδίδε τὴν ἑβδόμην· διὸ ὀργισθεὶς ἀπάγειν ἐκέλευσε· πυθόμενος δὲ, ὅτι τῶν ἀπὸ Βρασίδε γεγονότων ὑπόλοιπος ἐτός ἐςι, μετεπέμψατο, καὶ μέτρια νεθετήσας, ἀπέλυσε.

Πείσωνος δὲ τὴν οἰκίαν ἐκ θεμελίων ἄχρι πάσης ςέγης ἐπιμελῶς οἰκοδομῦντος· Εὔθυμον [2] (ἔφη) με ποιεῖς, ἔτως οἰκοδομῶν, ὡς ἀϊδίε τῆς Ῥώμης ἐσομένης.

1 Ald. & Baſ. Εὐκυκλίες, quod Xyl. ex MS. corrigendum monuit. Philelph. quoque & Raph. Reg. vertunt *Euryclis*.

2 Petav. εὔθημον.

ΠΛΟΥ-

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΑΠΟΦΘΕΓΜΑΤΑ ΛΑΚΩΝΙΚΑ.

Αγασικλῆς, ὁ Λακεδαιμονίων [1] βασιλεὺς, θαυμάζοντός τινος, ὅτι φιλήκοος ὢν ἐ προσδέχεται Φιλοφάνην τὸν σοφιϛὴν, ἔφη· Τέτων χρήζω μαθητὴς εἶναι, ὧν εἰμι καὶ υἱός.

Πρὸς δὲ τὸν εἰπόντα, πῶς ἄν τις ἀδορυφόρητος ὢν ἄρχειν ἀσφαλῶς δύναιτο· Ἐὰν ἔτως (ἔφη) αὐτῶν ἄρχῃ, ὥσπερ οἱ πατέρες τῶν υἱῶν.

Ἀγησιλάε τε μεγάλε. Ἀγησίλαος ὁ μέγας, παρὰ πότον ποτὲ λαχὼν συμποσίαρχος, ἐρωτηθεὶς [2] ὑπὸ τε οἰνοχόε, πόσον ἑκάϛῳ προσφέρει· Εἰ μὲν πολὺς οἶνός ἐϛι παρεσκευασμένος [3], ὅσον ἕκαϛος αἰτεῖ· εἰ δ' ὀλίγος, (φησὶν) ἐξ ἴσε δίδε πᾶσι.

Κακέργε δέ τινος ἐμμόνως [4] ὑπομείναντος βασάνες· Ὡς σφόδρα πονηρὸς (εἶπεν) ἄνθρωπος, εἰς μοχθηρὰ καὶ αἰσχρὰ πράγματα τὴν ὑπομονὴν καὶ καρτερίαν κατατιθέμενος.

Ἐπαινεντος δέ τινος ῥήτορα ἐπὶ τὸ δυνατῶς [5] αὔξειν τὰ μικρὰ πράγματα· Οὐδὲ σκυτοτόμον (ἔφησεν) ἡγεμαι σπεδαῖον, ὃς μικρῷ ποδὶ ὑποδήματα μεγάλα περιτίθησι.

Φαμένε δὲ τινός ποτε πρὸς αὐτόν· Ὡμολόγηκας· καὶ πολλάκις τὸ αὐτὸ λέγοντος· Ναὶ δῆτα, εἴ γ' [6] ἔϛι

1 Petav. Λακαιδαιμονίων; mox idem δύναιντοι & ἂν, pro δύναιντο & ἐάν.

2 Ald. & Baf. ἐρωτᾶται. Mox W. dedit προσφέροι e Venet.

3 Ald. & Baf. παρασκευασμένοι.

4 Turn. ἐμμόνε. Petav. ἐμμόνες.

5 Turn. & Petav. ἐπὶ τῷ δυνατὸς αὔξειν.

6 Vulgo εἰ δ'. Turn. εἰ γ' ἔϛι vel εἰ δὴ ἔϛι. Prius quoque e Petav. notatur; & dedi cum W. adfentientibus Venet. Voff. Mez.

ἔςι δίκαιον· (ἔφη) εἰ δὲ μὴ, ἔλεξα μὲν, ὡμολόγησα δ' ἔ. ἐπειπόντος δέ· Ἀλλὰ μὴν δεῖ τὰς βασιλεῖς ἐπιτελεῖν, ὅ ττι κεν κεφαλῇ κατανεύσωσιν [1]. Οὐ μᾶλλον, (ἔφη) ἢ τὰς προσιόντας τοῖς βασιλεῦσιν αἰτεῖσθαι δεῖ τὰ δίκαια καὶ λέγειν, ςοχαζομένας τε τῷ καιρῷ καὶ τῷ ἁρμόζοντος τοῖς βασιλεῦσιν.

Ὁπότε δὲ [2] ψεγόντων, ἢ ἐπαινέντων τινῶν ἀκέοι, ἐχ ἧττον ᾤετο δεῖν καταμανθάνειν τὰς τῶν λεγόντων τρόπας, ἢ περὶ ὧν λέγοιεν.

Ἔτι δὲ παῖδα αὐτὸν ὄντα, γυμνοπαιδίας ἀγομένης, ὁ χοροποιὸς ἔςησεν εἰς ἄσημον τόπον· ὁ δ' ἐπείσθη, καίπερ ἤδη βασιλεὺς ἀποδεδειγμένος, καὶ εἶπεν· Εὖγε· δείξω γὰρ, ὅτι ἐχ οἱ τόποι τὰς ἄνδρας ἐντίμας, ἀλλ' οἱ ἄνδρες τὰς τόπας ἐπιδεικνύασι.

Προςτάττοντος δέ τινος αὐτῷ ἰατρᾶ περιεργοτέραν θεραπείαν, καὶ ἐχ ἁπλῆν· Νὴ τὼ θεὼ, (φησὶν) εἰ ἐ πάντως μοι πρόκειται ζῆν, ἐδὲ [3] πάντα ἀναδέχομαι.

Ἐφεςὼς δέ ποτε τῷ βωμῷ τῆς Χαλκιοίκα βαθυτῶν, ἐπειδὴ φθεὶρ αὐτὸν ἔδακεν, ἐ διετράπη· λαβὼν δὲ περιφανῶς ἐναντίον πάντων ἀπέκτεινε, προσειπών· Νὴ τὰς θεὰς ἡδέως τὸν ἐπίβαλον καὶ ἐπὶ τῷ βωμῷ [4].

Ἄλλοτε ἰδὼν μῦν ἑλκόμενον ἐκ θυρίδος ὑπὸ παιδαρία κρατᾶντος, ἐπεὶ ὁ μῦς ἐπιςραφεὶς ἔδακε τὴν χεῖρα τᾶ κρατᾶντος, καὶ ἔφυγεν, ἐπιδείξας τοῖς παρᾶσιν, εἶπεν·

1 Homer. Iliad. I. 527. Petav. ὅτι κεν.

2 abest δὲ a Petav. Idem mox ἀκέοι pro ἀκέοι. Sic quoque Ald. & Baf.

3 Amplexus fum lectionem, quam W. ex cod. Parif. J. profert & probat, pro vulg. ἐδ' εἰ. W. fimul cum eod. cod prius εἰ delendum fufpicatur, ut fit fenfus: *nec quavis conditione vivere velim, nec omnia remedia accipio.* Nec Raph. Reg. prius εἰ legiffe videtur, vertens: non omnino mihi vivere datum eft. Petav. τῷ θεῷ; & Turn. poft ἀναδέχομαι addit ζήσω δή.

4 Poft βωμῷ Turn. addit ἀποκτείναιμι δή. Paulo ante Frft. vitiofe ἐναντίων.

πεν· Ὅταν τὸ ἐλάχιστον ζῶον οὕτω ἀμύνηται τοὺς ἀδικοῦντας, τί τοὺς ἄνδρας προσήκει ποιεῖν λογίζεσθαι [1];

Βουλόμενος δὲ τὸν πρὸς τὸν Πέρσην συστήσασθαι πόλεμον, ἕνεκα τοῦ ἐλευθερῶσαι τοὺς ἐν τῇ Ἀσίᾳ Ἕλληνας, τῷ κατὰ Δωδώνην [2] Διὸς ἐχρήσατο μαντείῳ. κελεύσαντος δὲ ὅπερ ἐστὶν [3] ὡς δοκεῖ στρατεύεσθαι, τὸ χρησθὲν ἀνήγγειλε τοῖς ἐφόροις. οἱ δὲ [4] ἐκέλευσαν αὐτὸν καὶ εἰς Δελφοὺς ἀφικόμενον περὶ τῶν αὐτῶν πυνθάνεσθαι. πορευθεὶς οὖν εἰς [5] τὸ μαντεῖον, ἐπηρώτησεν οὕτως· Ἄπολλον, ἦ [6] δοκεῖ σοι, ὃ καὶ τῷ πατρί; συναινέσαντος δὲ, αἱρεθεὶς οὕτως ἐστρατεύσατο.

Ἐπεὶ δὲ Τισσαφέρνης [7] ἐν ἀρχῇ μὲν φοβηθεὶς τὸν Ἀγησίλαον, ἐποιήσατο σπονδὰς, τὰς πόλεις αὐτῷ [8] τὰς Ἑλληνικὰς ἀφήσειν αὐτονόμους, μεταπεμψάμενος δὲ παρὰ τοῦ βασιλέως πολὺ στράτευμα, πόλεμον κατήγγειλεν αὐτῷ, εἰ μὴ ἀπίοι τῆς Ἀσίας· ἄσμενος τὴν παράβασιν δεξάμενος, ὥρμησε μὲν ὡς [9] ἐπὶ Καρίαν προάξων· ἐκεῖ δὲ

1 Turn. & Petav. λογίζεσθε.

2 In apophth. Princip. est ἐν Ὀλυμπίᾳ. Petav. ἐλευθερῶσαι ἐχρήσατο, omissis, ut videtur, quae interjacent; & μαντεῖον pro μαντείῳ.

3 Quid sibi velit ὅπερ ἐστὶν, nescire se fatetur Xyl. Nec ego video, quid haec dictio valeat. An in ea latet ἀπερισπάστως, *omissa omni alia cura*, vel simile quid?

4 R. e Frft. male οἱ καὶ; Restitui δὲ.

5 Petav. omittit εἰς.

6 Petav. A'd. Bas. εἰ.

7 Petav. Τισαφέρνης, & ita saepius.

8 Turn αὐτοῦ. Post αὐτονόμους vulgo fuit βασιλεύεσθαι, quod vitiosum esse, nemo non concedet. Ego id omisi, auctoritate codicum J. Venet. Jun. & Raph. Reg. version. In aliis, nimirum H. Voss. Turn. Petav. est βασιλέα, quod Xyl. exprimit. W. susp. πολιτεύεσθαι.

9 Vulgo καὶ ἐπὶ K. quod Xyl. jam corrigendum monuit, notis compendiorum affinibus mendo ansam praebentibus. Est quoque ὡς in cod. Par. J. & Vit. Agesil. Vol. IV. pag. 83. Recepi cum W.

δὲ τὴν δύναμιν τῦ Τισσαφέρνυς ἀθροίσαντος, ἦρας εἰς Φρυγίαν ἐνέβαλε· καὶ λαβὼν πόλεις πλείςας καὶ χρημάτων πλῆθος, ἔφη τοῖς φίλοις· ἐπισπεισάμενον μὲν ἀδικεῖν [1], ἀσεβές· τὺς δὲ πολεμίυς παραλογίζεσθαι, ὐ μόνον δίκαιον καὶ ἐπίδοξον, ἀλλὰ καὶ ἡδὺ καὶ κερδαλέον.

Τοῖς δ' ἱππεῦσιν ἐλατ]ωθεὶς, ἀνεχώρησιν εἰς Ἔφεσον, καὶ τοῖς εὐπόροις προεῖπε παρέχειν ἵππον ἀνθ' ἑαυτῦ καὶ ἄνδρα, καὶ ἀπολύεσθαι [2] τῆς ςρατείας. ὥςε ταχὺ συνήχθησαν καὶ ἵπποι καὶ ἄνδρες ἐπιτήδειοι ἀντὶ δειλῶν καὶ πλυσίων· καὶ τὸν [3] Ἀγαμέμνονα ἔφη ζηλῦν· καὶ γὰρ ἐκεῖνον θήλειαν ἵππον ἀγαθὴν λαβόντα, κακὸν ἄνδρα καὶ πλύσιον τῆς ςρατείας ἀπολῦσαι.

Ἐπεὶ δὲ, κελεύσαντος αὐτῦ τὺς αἰχμαλώτυς γυμνὺς πωλεῖν, ἐπίπρασκον οἱ λαφυροπῶλαι· καὶ τῆς μὲν ἐσθῆτος ἦσαν ὠνηταὶ πολλοὶ, τῶν δὲ σωμάτων λευκῶν καὶ ἁπαλῶν παντάπασι διὰ τὰς σκιατραφίας κατεγέλων ὡς ἀχρήςων καὶ μηδενὸς ἀξίων· ἐπιςὰς ὁ Ἀγησίλαος· Ταῦτα μὲν, (εἶπεν) ὑπὲρ ὧν μάχεσθε, ὗτοι δὲ, οἷς μαχεῖσθε [4]. Τρεψάμενος δὲ περὶ Λυδίαν Τισσαφέρνην, καὶ πλείςυς ἀνελὼν, κατέτρεχε τῆς βασιλέως χώρας. τύτυ δὲ χρήματα αὐτῷ προσπέμψαντος [5]

καὶ

1 Vulgo ἀποσπεισάμενον μὲν ἀδίκως. Xyl. legi voluit ἀποσπείσασθαι, aut potius παρασπείσασθαι. Sic quoque vertit: impium eſſe injuſte fidem datam violare. Mihi praeferendum videbatur ἐπισπεισάμ. ex J. & Jun. nec non ἀδικεῖν e Turn. ut ſit ſenſus, eum, qui foedera iniit, injuſte agere, nefas eſſe. In Vit. Ageſil. l. c. τὸ μὲν σπεισάμενον ἀδικεῖν τῶν θεῶν ἐςι καταφρονεῖν.

2 Aut ſic legi voluit Xyl. pro vulg. ἀπολυόμενον, aut deleri καὶ. Dedi ἀπολύεσθαι e Turn. pro καὶ ἄνδρα ſimul exhibente κατ' ἄνδρα. Malim tamen poſt παρέχειν inſeri ἕκαςον.

3 A Petav. abeſt hoc καὶ.

4 Petav. ὗτοι μὲν ὗν, εἶπεν, οἷς μάχεσθε, ταῦτα δὲ εἶπεν, ὑπὲρ ὧν μάχεσθε.

5 Sic omnino dandum fuit e Vit. Ageſ. l. c. pag. 86. pro vulg. προπέμψαντος. Recepit idem W. ex J.

καὶ ἀξιοῦντος διαλύσασθαι τὸν πόλεμον, ὁ Ἀγησίλαος τῆς μὲν εἰρήνης ἔφη τὴν πόλιν εἶναι κυρίαν, τοὺς δὲ στρατιώτας πλουτίζων ἥδεσθαι μᾶλλον, ἢ αὐτὸς πλουτῶν. καλὸν δὲ νομίζειν Ἕλληνας οὐ δῶρα λαμβάνειν ἀπὸ τῶν πολεμίων, ἀλλὰ λάφυρα κτᾶσθαι.

Μεγαβάτου [1] δὲ, τοῦ Σπιθριδάτου παιδὸς, ὃς ἦν κάλλιστος τὴν μορφὴν, προσελθόντος αὐτῷ ὡς ἀσπασομένου καὶ φιλήσοντος διὰ τὸ σφόδρα δοκεῖν ἀγαπᾶσθαι, ἐξέκλινεν· ὡς δ' ἐπαύσατο ἐκεῖνος προσιὼν, ἐπεζήτησεν αὐτὸν ὁ Ἀγησίλαος. τῶν δὲ φίλων φαμένων, ὡς αὐτὸς εἴη αἴτιος, τρέσας τὸ τοῦ καλοῦ φίλημα· καὶ νῦν ἀνελθεῖν πεισθέντα ἐκεῖνον ἐντὸς φιλήματος, αὐτοῦ μὴ ἀποδειλιάσαντος [2]· χρόνον οὐκ ὀλίγον πρὸς αὐτῷ [3] γενόμενος ὁ Ἀγησίλαος καὶ διασιωπήσας· Οὐδὲν (ἔφη) δεῖ [4] πείθειν ἐκεῖνον ὑμᾶς· ἐγὼ γάρ μοι δοκῶ τῶν τοιούτων

1 Sic e Petav. dedi pro vulg. Μεγαβάτου. Cf. Vit. Agef. l. c. p. 87. Idem W. ex H. J. Voff. dedit. Turn. Μεγαβήτου. A Petav. abeft feq. artic. τοῦ.

2 Locus hic vulgo fic exhibetur: τρέσας τὸ τοῦ καλοῦ φιλήματος, καὶ μὴ ἀπὸ δειλίας (Ald. Baf. Steph. ed. min. una voce ἀποδειλίας) ἧξεν ἐκεῖνον. Turn. φίλημα καὶ νῦν ἀνελθεῖν καὶ μὴ ἀποδειλιάσαντος ἐκεῖνον ἐλθεῖν καὶ μὴ ἀπὸ δειλίας ἧξεν ἐκεῖνον. Petav. φίλημα ἐλθεῖν καὶ νῦν ἂν ἐλθεῖν μὴ ἀποδειλιάσαντος ἐκεῖνον ἐλθεῖν. Ex his, confufe datis, & cum Vita Agef. l. c. collatis, reponere & fupplere haud dubitavì, quae neceffario legenda videbantur. πεισθέντα quidem ob ea, quae refpondet Agefilaus, vix omitti poffe credo. Meliori tamen judicio facile cedo. Fortaffe fic quoque locus corrigendus effet: τὸ τοῦ καλοῦ ἐντὸς φιλήματος ἐλθεῖν, καὶ μὴ ἀπὸ δειλίας ἧξεν ἐκεῖνον, ἀνελθεῖν δὲ πεισθέντα. W. adnotat, excidiffe quaedam fupplenda ex Plut. Vit. Agef. forte ita: τὸ τοῦ καλοῦ φίλημα· καὶ νῦν ἔτι ἐντὸς φιλήματος, εἰ μὴ αὐτὸς ἀποδειλιᾷ, ἧξεν ἐκεῖνον.

3 Petav. πρὸς αὐτὸν. Ald. & Baf. αὐτῷ.

4 Petav. δεῖν. Sic Ald. quoque & Baf. Vix probo, quod R. in Vit. Agef. l. c. inde effecerit δεινὸν. Mox Petav. cum Ald. & Baf. ἡμᾶς pro ὑμᾶς. Hinc quoque Xyl. nihil attinet, eum a *nobis* adduci perfuadendo. Raph. Reg. legit ὑμᾶς.

τῶν βέλεϑαι ἐπάνω εἶναι, ἢ τὴν εὐανδροτάτην τῶν ἀντιτεταγμένων πόλιν κατὰ κράτος ἑλεῖν. ἄμεινον γὰρ ἑαυτῷ Φυλάτ]ειν τὴν ἐλευϑερίαν τῶ ἑτέρων ἀφαιρεῖϑαι.

Τὰ δ' ἄλλα ἀκριβὴς ὢν [1] καὶ νόμιμος, ἐν τοῖς φιλικοῖς πράγμασιν ἐνόμιζε πρόφασιν εἶναι τὸ λίαν δίκαιον (πρὸς αὐτὰς [2]). φέρεται γὰν ἐπιςόλιον αὐτῶ παραιτεμένε τινὰ τῶν φίλων πρὸς Ἰδριέα τὸν Κᾶρα [3], ὅτω· Νικίας εἰ μὲν ὀκ ἀδικεῖ, ἄφες· εἰ δὲ ἀδικεῖ, ἐμοὶ ἄφες· πάντως δὲ ἄφες.

Ἐν μὲν ὖν τοῖς πλείςοις ὑπὲρ τῶν φίλων τοιᾶτος Ἀγησίλαος. ἔςι δὲ ὅπε πρὸς τὸ συμφέρον ἐχρῆτο τῷ καιρῷ μᾶλλον. ἀναζυγῆς γὰν ποτε γενομένης ϑορυβωδεςέρας, ἀϑενᾶντα καταλιπὼν τὸν ἐρώμενον, ἐκείνε δεομένε καὶ ἀνακαλᾶντος μετὰ δακρύων αὐτὸν [4], ἐπιςραφεὶς εἶπεν· Ὡς χαλεπόν ἐςιν ἐλεεῖν ἅμα καὶ φρονεῖν.

Δίαιταν δὲ τὴν περὶ τὸ σῶμα ὀδὲν ἀμείνονα τῶν συνόντων εἶχε· κόρε μὲν καὶ μέϑης τοπαράπαν ἀπεχόμενος, ὕπνῳ δ' ὀ δεσπότῃ, ἀλλ' ἀρχομένῳ ὑπὸ τῶν πράξεων χρώμενος. πρὸς δὲ ϑάλπος ὅτω καὶ ψῦχος εἶχεν, ὥςε μόνος ἀεὶ χρῆϑαι ταῖς ὥραις [5], ἐν μέσοις δὲ τοῖς ςρατιώταις σκηνῶν, ὀδενὸς ἀμείνονα κοίτην εἶχε. Διε-

1 Petav. τὰ ἀκριβῶς ὢν.

2 Delenda censeo, quae uncis inclusi. Nam deest; ad quod referatur commode αὐτὰς; absunt quoque in Vit. Agef. l. c. p. 91. Distinctionem vulgatam, comma post πράγμασιν dantem, cum W. mutandam censui, loco in Vit. Agesil. & versione Raph. Reg. & Xyl. ductus. Kaltw. minus apte ad sententiam loci vertit: In Ansehung der Freundschaftspflichten war er sehr strenge und gewissenhaft, und glaubte, dass eine solche Genauigkeit ihn berechtige von seinen Freunden ein gleiches zu fordern.

3 Petav. Ἰδρία τὸν κᾶρα.

4 abest αὐτὸν a Petav.

5 Xyl. locum hunc mutilum censuit, dubius, quid Raph. Reg. legerit vertens: ut solus eadem veste quatuor anni tempori-

Διετέλει δὲ λέγων, τὸν ἄρχοντα προσήκειν ὀ μαλακίᾳ καὶ τρυφῇ [1], καρτερίᾳ δὲ καὶ ἀνδρίᾳ τῶν ἰδιωτῶν περιεῖναι.

Πυθομένυ γῦν [2] τινος, τί περιεποίησαν οἱ Λυκέργυ νόμοι τῇ Σπάρτῃ· Καταφρονεῖν (ἔφη) τῶν ἡδονῶν.

Πρὸς δὲ τὸν ἐπιθαυμάζοντα τὴν μετριότητα τῆς ἐσθῆτος καὶ τῆς τροφῆς αὐτῦ καὶ τῶν ἄλλων Λακεδαιμονίων· Ἀντὶ ταύτης (ἔφη) τῆς διαίτης, ὦ ξένε, τὴν ἐλευθερίαν ἀμώμεθα [3].

Ἄλλυ δὲ προτρεπομένυ ἀνίεσθαι, καὶ λέγοντος, διὰ τὸ τῆς τύχης ἄδηλον, μήποτε καιρὸς τῦτο γένηται· Ἀλλ' ἐγὼ (εἶπεν) ἐμαυτὸν ἐθίζω λέγων [4], ὥς' ἐν μηδεμιᾷ μεταβολῇ μεταβολὴν ζητεῖν.

Καὶ πρεσβύτης δὲ γενόμενος, τῇ αὐτῇ [5] ἀγωγῇ ἐχρῆτο. πρὸς ῦν τὸν πυθόμενον, διότι, σφοδρῦ χειμῶνος ὄντος, ἀχίτων [6] περιέρχεται, εἰς τῦτο τῆς ἡλικίας ἥκων· Ἵνα (ἔφη [7]) οἱ νέοι μιμῶνται παράδειγμα ἔχοντες τὺς πρεσβυτάτυς καὶ ἄρχοντας.

Θάσιοι δὲ τὴν χώραν αὐτῶν διαπορευομένῳ μετὰ τῦ ςρατεύματος, ἄλφιτα καὶ χῆνας καὶ τραγήματα καὶ μελίπηκτα καὶ ἄλλα παντοδαπὰ βρώματά τε καὶ πόματα πολυ-

poribus semper uteretur — & simul monens, in scripto esse *μόνος*, non *μόνοις*, quod dant A d. & Bas. At W. bene docente, sententia in brevius est redacta a compilatore e Vit. Agef. l. c. pag. 93. sana tamen, & sic interpretanda: *ut ipse unus quavis anni tempestate ad res agendas uti posset.*

1 absunt a Petav. *καὶ τρυφῇ*. Idem cum Turn. post *ἀνδρίᾳ* addit *δεῖν*.

2 Turn. & Petav. *ῦν*.

3 Sic omnes libri. At, W. notante, Valckenar. ad Theocr. p. 274. *μώμεθα* legendum pronunciat.

4 Superflua censet Xyl. *εἶπεν* & *λέγων*, non Plutarchi, sed librarii culpa.

5 Turn. & Petav. *τῇ αὐτῦ ἀγ.*

6 Pro *ὄντος ἀχίτων* Turn. & Petav. *ὀχ ἧττον*.

7 Petav. *φησίν*.

πολυτελῆ [1] ἔπεμψαν· μόνα δὲ τὰ ἄλφιτα δεξάμενος, τὰ λοιπὰ ἀπάγειν ἐκέλευσεν [2] ὀπίσω τὰς κεκομικότας, ὡς ἀδὲν αὐτοῖς ὄντα χρήσιμα. λιπαρέντων δὲ καὶ δεομένων πάντως λαβεῖν, ἐκέλευσεν αὐτοῖς [3] τοῖς εἵλωσι διαδᾶναι. πυθομένων δὲ τὴν αἰτίαν, ἔφη· Τὰς ἀνδραγαθίαν ἀσκᾶντας τὰς τοιαύτας λιχνείας ἀχ ἁρμόζει προσίεσθαι. τὰ γὰρ δελεάζοντα τὰς ἀνδραποδώδεις, τῶν ἐλευθέρων ἀλλότρια.

Πάλιν δὲ τῶν Θασίων, διὰ τὸ δοκεῖν [4] μέγα ὑπ' αὐτᾶ εὐεργετεῖσθαι, ναοῖς αὐτὸν καὶ ἀποθεώσεσι τιμησάντων, καὶ περὶ τάτα πρεσβείαν ἀποσειλάντων, ἀναγνὰς τὰς τιμὰς, ἃς αὐτῷ προσήνεγκαν οἱ πρέσβεις, ἠρώτησεν, εἰ ἡ πατρὶς αὐτῶν ἀποθεᾶν ἀνθρώπας δύναται. Φαμένων δέ· Ἄγετ' (ἔφη) ποιήσατε πρώτας ἑαυτάς· καὶ τᾶτ' ἂν πράξητε, τότε πισεύσω ὑμῖν, ὅτι κᾀμὲ δυνήσεσθε θεὸν ποιῆσαι.

Τῶν δ' ἐπὶ τῆς Ἀσίας Ἑλληνικῶν ἐθνῶν ψηφισαμένων ἐν ταῖς ἐπιφανεσάταις πόλεσιν εἰκόνας ἀνισᾶν αὐτᾶ, προσέγραψεν· Ἐμᾶ μηδεμία εἰκὼν ἔσω, μηδὲ γραπτὴ, μηδὲ πλασὴ, μηδὲ κατασκευασή.

Θεασάμενος δ' ἐπὶ τῆς Ἀσίας οἰκίαν τετραγώνοις ὠροφωμένην δοκοῖς, ἠρώτησε τὸν κεκτημένον, εἰ τετράγωνα παρ' αὐτοῖς φύεται ξύλα. Φαμένα δὲ ᾶ, ἀλλὰ σρογγύλα· Τί ἆν; (εἶπεν) εἰ τετράγωνα ἦν, σρογγύλα ἐτελεῖτε;

Ἐρωτηθεὶς δέ ποτε, ἄχρι τίνος εἰσὶν οἱ τῆς Λακωνικῆς ὅροι, τὸ δόρυ κραδάνας, εἶπεν· Ἄχρις ἂ τᾶτο φθάνοι.

 Ἀλλ

1 Turn. παντελῆ; idem Petav. & πώματα.
2 Petav. ἐκέλευσεν ἀπάγειν.
3 Turn. αὐτὰ; idem Petav. & διαδόναι.
4 Petav. δοκεῖ; mox idem inverso vocum ordine πρεσβείαν περὶ τάτα; item ἀνισῶν pro ἀνισᾶν; οἰκίας pro οἰκίαν; δοκεῖς pro δοκοῖς.

Ἄλλȣ δ' ἐπιζητȣ̃ντος, διὰ τί ἀτείχιστος ἡ Σπάρτη, ἐπιδείξας τȣ̀ς πολίτας ἐξωπλισμένȣς· Ταῦτά ἐστιν (εἶπε) τὰ Λακεδαιμονίων τείχη.

Ἄλλȣ δὲ τὸ αὐτὸ ἐπιζητȣ̃ντος· Οὐ λίθοις δεῖ καὶ ξύλοις τετειχίσθαι τὰς πόλεις, (ἔφη) ταῖς δὲ τῶν ἐνοικȣ́ντων ἀρεταῖς.

Τοῖς δὲ αὐτȣ̃ [1] φίλοις παρήγγειλε, μὴ χρήμασιν, ἀνδρείᾳ δὲ καὶ ἀρετῇ σπȣδάζειν πλȣτεῖν.

Ὁπότε δὲ βȣ́λοιτο ἔργον τι ταχέως ὑπὸ τῶν στρατιωτῶν γενέσθαι, αὐτὸς πρῶτος ἐφήπτετο ἐν ὄψει ἁπάντων.

Ἐμεγαλύνετο δ' ἐπὶ τῷ μηδενὸς ἧττον πονεῖν [2], καὶ ἐπὶ τῷ ἄρχειν ἑαυτȣ̃ μᾶλλον, ἢ ἐπὶ τῷ βασιλεύειν.

Θεωρήσαντος δέ τινος Λάκωνα χωλὸν ἐπὶ πόλεμον ἐξιόντα καὶ ἵππον ζητȣ̃ντος [3]. Οὐκ αἰσθάνῃ (ἔφη) ὅτι ȣ̓ φευγόντων, ἀλλὰ μενόντων, ὁ πόλεμος χρείαν ἔχει;

Ἐρωτώμενος δὲ, πῶς μεγάλην δόξαν περιεποιήσατο· Θανάτȣ καταφρονήσας, ἔφη.

Ἐπιζητȣ̃ντος δέ τινος, διὰ τί Σπαρτιᾶται μετ' αὐλῶν ἀγωνίζονται, ἔφη· Ἵν', ὅταν πρὸς ῥυθμὸν βαίνωσιν, οἵ τε δειλοὶ καὶ οἱ ἀνδρεῖοι φανεροὶ ὦσι.

Μακαρίζοντος δέ τινος τὸν Περσῶν βασιλέα νέον, κομιδῇ ὄντα, εἶπεν· Ἀλλ' ȣ̓δὲ Πρίαμος ταύτην ἔχων τὴν ἡλικίαν ἠτύχησε [4].

Πολλὴν δὲ τῆς Ἀσίας ὑφ' ἑαυτῷ ποιησάμενος, διέγνω χωρεῖν ἐπ' αὐτὸν βασιλέα, ὅπως παύσῃ σχολὴν αὐτὸν

1 Petav. αὐτȣ̃; Sic quoque Ald. & Baſ. Mox Petav. σπȣδάζῃ.

2 Turn. & Petav. ποιεῖν.

3 Turn. & Petav. ζητȣ̃ντα. Diſcrepat a textu Kaltw. vertendo: Da er ſahe, daſs ein lahmer Lacedämonier, der mit zu Felde ziehen ſollte, ein Pferd ſuchte, ſagte er: &c.

4 Turn. ηὐτύχησε. Mox idem cum Petav. ἐφ' ἑαυτῷ.

αὐτὸν ἄγοντα καὶ διαφθείροντα [1] τὰς τῶν Ἑλλήνων δημαγωγάς. μεταπεμφθεὶς δὲ ὑπὸ τῶν ἐφόρων ἕνεκα τῆς τῦ [2] περιεστηκότος τὴν Σπάρτην Ἑλληνικῦ πολέμυ αἰτίας, διὰ τὰ ὑπὸ Πέρσυ διαπεμφθέντα χρήματα, εἰπὼν, τὸν ἀγαθὸν ἄρχοντα δεῖν ὑπὸ τῶν νόμων ἄρχεσθαι, ἀπέπλευσε τῆς Ἀσίας, πολὺν ἑαυτῦ πόθον τοῖς ἐνταῦθα Ἕλλησι καταλιπών.

Τῦ δὲ Περσικῦ νομίσματος χάραγμα τοξότην ἔχοντος, ἀναζευγνύων ἔφη τρισμυρίοις τοξόταις ὑπὸ βασιλέως ἐξελαύνεσθαι τῆς Ἀσίας. τοσύτων [3] γὰρ εἰς Ἀθήνας καὶ Θήβας κομισθέντων διὰ Τιμοκράτυς χρυσῶν δαρεικῶν καὶ διαδοθέντων τοῖς δημαγωγοῖς, ἐξεπολεμώθησαν οἱ δῆμοι πρὸς τὰς Σπαρτιάτας [4].

Καὶ ἀντέγραψε τοῖς ἐφόροις ἐπισολὴν τήνδε· Ἀγησίλαος τοῖς ἐφόροις χαίρειν. Τὰν πολλὰν τᾶς Ἀσίας κατεσρεψάμεθα, καὶ τὼς βαρβάρως ἐλάσαμες, καὶ ἐν τᾷ Ἰωνίᾳ ὅπλα ἐποιήσαμες πολλά. ἐπεὶ δὲ [5] κέλεσθέ με κατὰ τὰν προθεσμίαν παραγίνεσθαι, ἕπομαι τᾷ ἐπισολᾷ, χεδὸν δ' αὐτὰν καὶ φθάσω. ἄρχω γὰρ ὐκ ἐμαυτῷ ἀρχὰν, ἀλλὰ τᾷ πόλει καὶ ταῖς συμμάχοις. καὶ τότε ἄρχων [6] ἄρχει ἀλαθέως κατὰ δίκαν, ὅταν καὶ ἄρ-



1 Kaltw. vertit: damit er ihm alle Gelegenheit benahm, die griechischen Redner durch Bestechung auf seine Seite zu bringen.

2 abest τῦ a Petav.

3 Ald. & Bas. τοσῦτον. Xyl. corrigendum esse monuit, & e MS. legendum τοσύτων, quod quoque e Petav. enotatur, a reliquis receptum, & jam a Raph. Reg. versum.

4 Sic Xyl. legendum duxit, & habet Turn. dedique pro vulg. σρατιώτας. Idem vertit Raph. Reg. & distincte legitur in Vit. Agesil. l. c. pag. 95. Recepit quoque W. adsentiente Schott. & Mez.

5 Ald. & Bas. ἐπειδή. Petav. mox τῇ ἐπισολῇ, & in seq. καὶ αὐτὰν pro αὐτὰν καί.

6 Vitiose R. cum Fist. ἄρχω pro ἄρχων. Correxi. Petav. ἀλλὰ θέως pro ἀλαθέως.

ἄρχηται ὑπό τε νόμων καὶ ἐφόρων, ἢ οἷοι ἂν ἄλλοι ἐν πόλει ἄρχοντες ὦσιν.

Ὡς δὲ διαβὰς τὸν Ἑλλήσποντον, ἐβάδιζε διὰ τῆς Θρᾴκης, ἐδεήθη μὲν οὐδενὸς τῶν βαρβάρων, πέμπων δὲ πρὸς ἑκάστους, ἐπυνθάνετο, πότερον ὡς φιλίαν, ἢ ὡς πολεμίαν, διαπορεύηται τὴν χώραν. οἱ μὲν οὖν ἄλλοι φιλικῶς ἐδέχοντο, καὶ παρέπεμπον· οἱ δὲ καλούμενοι Τρααδεῖς (οἷς καὶ Ξέρξης, ὡς λέγεται, ἔδωκε [1] δῶρα) τῆς διόδου μισθὸν ᾔτουν τὸν Ἀγησίλαον, ἑκατὸν ἀργυρίου τάλαντα, καὶ γυναῖκας τοσαύτας· ὁ δὲ κατειρωνευσάμενος [2] αὐτῶν, καὶ φήσας· Τί οὖν οὐκ εὐθὺς ἦλθον ληψόμενοι· προσῆγε, καὶ συμβαλὼν αὐτοῖς παρατεταγμένοις, τρεψάμενος καὶ διαφθείρας πολλοὺς διῆλθε.

Τῷ δὲ τῶν Μακεδόνων βασιλεῖ τὸ αὐτὸ ἐρώτημα προσέπεμψε· φήσαντος δ' ἐκείνου βουλεύσεσθαι [3]. Βουλευέσθω τοίνυν, (εἶπεν) ἡμεῖς δὲ πορευσόμεθα. θαυμάσας οὖν τὴν τόλμαν καὶ δείσας, ἐκέλευσεν ὡς φίλον προάγειν [4].

Τῶν δὲ Θετταλῶν τοῖς πολεμίοις συμμαχέντων, ἐπόρθησε τὴν χώραν, εἰς δὲ Λάρισσαν ἔπεμψε Ξενοκλέα καὶ Σκύθην περὶ φιλίας. συλληφθέντων δὲ τούτων καὶ παραφυλαττομένων, οἱ μὲν ἄλλοι βαρέως φέροντες, ᾤοντο δεῖν τὸν Ἀγησίλαον περιστρατοπεδεύσαντα πολιορκεῖν τὴν Λάρισσαν· ὁ δὲ, φήσας οὐκ ἂν θελῆσαι Θεσσαλίαν ὅλην λαβεῖν ἀπολέσας τῶν ἀνδρῶν τὸν ἕτερον, ὑποσπόνδους αὐτοὺς ἀπέλαβε.

Πυθό-

1 Turn. & Petav. δέδωκε. De nomine gentis Τρααδεῖς monet Kaltw. suspectum id esse. Cf. Vit. Ages. pag. 96. not. 2. W. rectius censet Τραλλεῖς, quod ibi legitur.

2 Petav. κατηρωνευσάμενος. Mox Ald. παρατεταραγμένοις.

3 Petav. βουλευεσθαι. Sic Ald. quoque & Bas.

4 Dedi pro vulg. προαίρειν, quod in Vit. Ages. l. c. not. 4. receptum fuit (Vulgo ibi legeratur προσαγειν, quod W. probat, consentientibus Coll Mur. Jannot. Mez.) Vertit Raph. Reg. *jussit ut amicum esse alloquendum.*

Πυθόμενος δὲ, μάχην γεγονέναι περὶ Κόρινθον, καὶ Σπαρτιατῶν μὲν παντάπασιν ὀλίγους τεθνᾶναι, Κορινθίων δὲ καὶ Ἀθηναίων καὶ τῶν ἄλλων συμμάχων αὐτοῖς παμπόλλους, οὐκ ὤφθη περιχαρὴς, οὐδ' ἐπηρμένος τῇ νίκῃ, ἀλλὰ καὶ πάνυ βαρὺ στενάξας· Φεῦ τῆς Ἑλλάδος· (ἔφη [1]) τοσούτους ὑφ' αὑτῆς ἀπολώλεκεν, ὅσοις ἀρκεῖ τοὺς βαρβάρους νικᾶν ἅπαντας.

Φαρσαλίων δὲ προσκειμένων καὶ κακουργούντων [2] αὐτοῦ τὸ στράτευμα πεντακοσίοις ἱππεῦσι, τρεψάμενος αὐτοὺς, τρόπαιον ἔστησεν ὑπὸ τῷ Ναρθακίῳ [3]. καὶ τὴν νίκην ἐκείνην πάντων ὑπερηγάπησεν, ὅτι συστησάμενος τὸ ἱππικὸν αὐτὸς δι' ἑαυτοῦ, τούτῳ μόνῳ [4] τοὺς μέγιστον ἐφ' ἱππικῇ φρονοῦντας ἐκράτησε.

Διφρίδα δ' οἴκοθεν ἀπαγγείλαντος αὐτῷ, εὐθὺς ἐκ παρόδου ἐμβαλεῖν εἰς τὴν Βοιωτίαν, καίτοι ἐκ μείζονος παρασκευῆς τοῦτο ποιῆσαι ὕστερον διανοούμενος, οὐκ ἀπειθήσας τοῖς ἄρχουσι, δύο μυριάδας [5] τῶν περὶ Κόρινθον στρατευομένων μεταπεμψάμενος, ἐπέβη τῆς Βοιωτίας· καὶ συμβαλὼν ἐν Κορωνείᾳ Θηβαίοις, Ἀθηναίοις, Ἀργείοις, Κορινθίοις, Λοκροῖς ἀμφοτέροις, ἐνίκησε [6], (καίτοι ὑπὸ πολλῶν τραυμάτων κακῶς τὸ σῶμα διακείμενος) τὴν μεγίστην μάχην (ὥς φησι Ξενοφῶν) τῶν καθ' ἑαυτὸν γενομένων.

M 4 Οὐδὲν

1 Turn. & Petav. Φεῦ τᾶς Ἑλλάδος, εἶπεν, ἣ τοσ. Mox Turn. ὅσοι.

2 Turn κακούντων. Sic in Vit. Agef. pag. 97.

3 Sic eft in Vit. Agef. l. c & habent Turn. Petav. & MS. Xyl. dedique cum W, pro vulg. ὑπὸ τῶν Ναρθακίων, adfentientibus J. Venet. Voff. Mez. Cf. Xenoph. Hift. Gr. IV. 3, 4. Agef. 2, 5.

4 Ald. & Baf τοῦτο μόνον. Xyl. e MS. correxit.

5 Bene W. monet, cum Turn Schott. & Vit. Agef. l. c. legendum effe μόρας. Petav. ἀπιθήσας pro ἀπειθ. paulo ante.

6 Petav. Ald. Baf. & Steph. ed. min. Κορινθίους, ἀμφοτέρους ἐνίκησε. Ad feq καίτοι W. adnotat, excidiffe quaedam fupplenda ex Vit. Agef.

Οὐδὲν δὲ [1] τῶν περὶ τὸν βίον καὶ τὴν δίαιταν, διὰ τὰς τοσαύτας εὐτυχίας καὶ νίκας, ἤλλαξεν οἴκαδ' ἐπανελθών.

Ὁρῶν δ' ἐνίους τῶν πολιτῶν ἀπὸ ἱπποτροφίας δοκοῦντας εἶναί τινας καὶ μεγαλοφρονοῦντας, ἔπεισε τὴν ἀδελφὴν Κυνίσκαν εἰς ἅρμα καθίσασαν, Ὀλυμπίασιν ἀγωνίσασθαι. βουλόμενος ἐνδείξασθαι τοῖς Ἕλλησιν, ὡς οὐδεμιᾶς ἐστιν ἀρετῆς, πλούτου δὲ καὶ δαπάνης, τὰ τοιαῦτα.

Ξενοφῶντα δὲ τὸν σοφὸν ἔχων μεθ' ἑαυτοῦ σπουδαζόμενον, ἐκέλευε τοὺς παῖδας ἐν Λακεδαίμονι τρέφειν, μεταπεμψάμενον, τὸ κάλλιστον τῶν μαθημάτων παιδευθησομένους, ἄρχειν τε καὶ ἄρχεσθαι.

Ἄλλοτε δ' ἐρωτώμενος, διὰ τί μάλιστα παρὰ τοὺς ἄλλους εὐδαιμονοῦσιν [2] οἱ Σπαρτιᾶται· Διότι (εἶπε) παρὰ τοὺς ἄλλους ἀσκοῦσιν ἄρχειν τε καὶ ἄρχεσθαι.

Λυσάνδρου δὲ τελευτήσαντος, εὑρὼν ἑταιρείαν πολλὴν συνεστῶσαν, ἣν ἐκεῖνος εὐθὺς ἐπανελθὼν ἀπὸ τῆς Ἀσίας συνέστησεν ἐπὶ τὸν Ἀγησίλαον, ὥρμησεν αὐτὸν ἐξελέγχειν, οἷος ἦν ζῶν πολίτης· καὶ λόγον ἀναγνοὺς ἐν βιβλίῳ [3] ἀπολελειμμένον, ὃν ἔγραψε μὲν Κλέων ὁ Ἁλικαρνασσεὺς, ἔμελλε δὲ λέγειν ἀναλαβὼν ὁ Λύσανδρος ἐν τῷ δήμῳ περὶ πραγμάτων καινῶν καὶ μεταστάσεως τοῦ πολιτεύματος, ἠθέλησεν εἰς μέσον ἐξενεγκεῖν· ἐπεὶ δέ τις τῶν γερόντων τὸν λόγον ἐπελθὼν καὶ φοβηθεὶς τὴν δεινότητα, συνεβούλευσε μὴ τὸν Λύσανδρον ἀνορύτ-

1 W. adnotat, Xyl. vertendo & edendo ex duobus locis (hoc nimirum & praecedente) unum fecisse, & δὲ omisisse. Neque tamen hoc in Xyl. solo observatur, sed in Ald. quoque & Bas. sic legitur. Steph. dedit δὲ, quod a Petav. abesse notatur, uti mox ἤλαξεν pro ἤλλ. ex eod.

2 Turn. & Petav. εὐδοκιμοῦσιν.

3 absunt a Petav. ἐν βιβλίῳ; item μὲν post ἔγραψε. Dedi Κλέων pro vulg. Κρέων, e Vit. Ages. pag. 101. & Xyl. versione, probante W. Sic quoque nominatur a Nepote in Lysandro,

ρύττειν, ἀλλὰ τὸν λόγον μᾶλλον αὐτῷ συγκατορύττειν [1], ἐπείθη καὶ ἡσύχασε.

Τοὺς δὲ ὑπεναντιουμένους αὐτῷ φανερῶς μὲν οὐκ ἐτάραττε· διαπραττόμενος δ' ἔπεμπε, τινὰς [2] στρατηγοὺς καὶ ἄρχοντας ἐξ αὐτῶν ἀπεδείκνυε γινομένους ἐν ταῖς ἐξουσίαις πονηροὺς καὶ πλεονέκτας. εἶτα κρινομένοις πάλιν οὖν [3] βοηθῶν καὶ συναγωνιζόμενος, οἰκείους ἐποιεῖτο καὶ μεθίστη πρὸς ἑαυτὸν, ὥστε μηδένα ἀντίπαλον εἶναι.

Ἐδεήθη τις αὐτοῦ γράψαι πρὸς τοὺς ἐπ' Ἀσίας ξένους, ὅπως τύχοι τοῦ δικαίου. Ἀλλ' οἱ ἐμοὶ ξένοι (εἶπε) τὰ δίκαια δι' ἑαυτῶν [4], κἂν ἐγὼ μὴ γράψω, ποιοῦσιν.

Ἐπεδείκνυέ τις αὐτῷ τῆς πόλεως τὸ τεῖχος ὀχυρὸν καὶ καρτερῶς ἄγαν ἐξῳκοδομημένον, καὶ ἠρώτα, εἰ καλὸν αὐτῷ φαίνεται· Νὴ Δία (ἔφη) καλὸν, οὐχ ὡς ἀνδράσι δὲ, ἀλλ' ὡς γυναιξὶν ἐνοικεῖν.

Μεγαρέως δέ τινος περὶ τῆς πόλεως πρὸς αὐτὸν μεγαλαυχουμένου· Μειράκιον, (ἔφη) οἱ λόγοι σου πολλῆς δυνάμεως δέονται.

Ἃ δὲ τοὺς ἄλλους ἑώρα θαυμάζοντας, ἐδόκει μηδὲ γινώσκειν. Καί ποτε Καλλιππίδης, ὁ τῶν τραγῳδοποιῶν [5] ὑποκριτὴς, ὄνομα καὶ δόξαν ἔχων ἐν τοῖς Ἕλλησι, καὶ σπουδαζόμενος ὑπὸ πάντων, πρῶτον μὲν ἀπήντησεν αὐτῷ, καὶ προσεῖπεν, ἔπειτα σοβαρῶς εἰς τοὺς συμπεριπατοῦν-



1 absunt ἀλλὰ τ. λ. μ. α. συγκατορύττειν a Petav. Ald. Bas. & Steph. ed. min.

2 Turn. Bong. & Petav. πέμπειν καὶ τινὰς ἀεὶ στρατ. Iid. mox γενομένους pro γινομ.

3 abest οὖν a Turn.; a Petav. abesse videntur, quae sequuntur post κρινομένοις usque ad μεθίστη. Pro οἰκείους Ald. & Bas. οἰκεῖοι; Pro seq. μηδένα Turn. & Petav. οὐδένα.

4 Ald. δ' ἑαυτῶν, quod in ind. var. falso quoque Bas. tribuitur. Petav. ἐμμυτῶν (sic) uti mox μειράκειον pro μειράκιον.

6 Mavult W. τραγῳδιῶν, ut Venet. & Vit. Agef. p. 103.

κατὰντας [1] ἐμβαλὼν ἑαυτὸν, ἐπεδείκνυτο, νομίζων ἐκεῖνον ἄρξαι τινὸς φιλοφρονήσεως. τέλος δ' εἶπεν· Οὐκ ἐπιγινώσκεις με, ὦ βασιλεῦ, ἐδ' ἤκεσας, ὅςις εἰμί; ὁ δ' Ἀγησίλαος ἀποβλέψας εἰς αὐτόν· Ἀλλ' ἐ τύ ἐσσι Καλλιππίδας ὁ δεικηλίκτας; ἔτω δὲ Λακεδαιμόνιοι τὲς μίμες καλἐσι.

Τὲ δὲ μιμεμένε [2] τὴν τῆς ἀηδόνος φωνὴν ἀκἐσαι παρακαλέμενος, παρῃτήσατο, φήσας· Αὐτᾶς ἄκεκα πολλάκις.

Μενεκράτες δὲ, τὲ ἰατρὲ, ἐπεὶ κατατυχὼν ἔν τισιν ἀπεγνωσμέναις θεραπείαις, Ζεὺς ἐπεκλήθη, φορτικῶς ταυτῃ χρωμένε τῇ προσωνυμίᾳ, καὶ δὴ πρὸς τὸν Ἀγησίλαον ἐπιςεῖλαι τολμήσαντος ἔτω· Μενεκράτης Ζεὺς βασιλεῖ Ἀγησιλάῳ χαίρειν· ἐκ ἀναγνὲς τὰ λοιπὰ, ἀντέγραψε· Βασιλεὺς Ἀγησίλαος Μενεκράτει ὑγιαίνειν.

Ἐπεὶ δὲ Κόνων καὶ Φαρνάβαζος τῷ βασιλέως ναυτικῷ θαλατἰοκρατἐντες ἐπολιόρκεν τὰ παράλια τῆς Λακωνικῆς, ἐτειχίσθη δὲ τὸ ἄςυ τῶν Ἀθηναίων, Φαρναβάζε χρήματα δόντος, εἰρήνην ἐποιήσαντο Λακεδαιμόνιοι πρὸς βασιλέα· καὶ πέμπεσι πολίτην Ἀνταλκίδαν πρὸς Τηρίβαζον, τὲς ἐν τῇ Ἀσίᾳ Ἕλληνας, ὑπὲρ ὧν ἐπολέμησεν Ἀγησίλαος, βασιλεῖ παραδιδόντες. ὅθεν δὴ ἥκιςα [3] συνέβη τῆς κακοδοξίας ταύτης Ἀγησιλάῳ μεταχεῖν. ὁ γὰρ Ἀνταλκίδας ἐχθρὸς ἦν αὐτῷ, καὶ τὴν εἰρήνην ἐξ ἅπαντος ἔπρατἰεν, ὡς τὲ πολέμε τὸν Ἀγησίλαον αὔξοντος καὶ ποιἐντος ἐνδοξότατον καὶ μέγιςον.

Οὐ

1 Turn. & Petav. συμπαρόντος. Sic notatum extat, vitiose forsan pro συμπαρόντας.

2 Ald. & Baf. μιμομένε. Seq. τῆς abest a Petav.

3 Ald. Baf. Steph. ed. min. Petav. κάκιςα, quod vertunt quoque Xyl. & Raph. Reg. & habent Codd. J. H. Venet. Voff. At W. judice, recte ἥκιςα, quod Steph. in ed. opp. univ. recepit, consentiente Plut. in Vit. Agef. pag. 105. item Jannot. Schott. & Turn.

Οὐ μὴν ἀλλὰ καὶ πρὸς τὸν εἰπόντα, μηδίζειν τὰς Λακεδαιμονίας, ἀπεκρίθη, μᾶλλον τὰς Μήδας λακωνίζειν.

Ἐρωτηθεὶς δέ ποτε, ὁποτέρα βελτίων τῶν ἀρετῶν, ἀνδρεία, καὶ δικαιοσύνη, ἀδὲν ὄφελος ἀνδρείας ἔφασκεν εἶναι, μὴ παρέσης δικαιοσύνης· εἰ δὲ δίκαιοι πάντες γένοιντο, μηδὲν ἀνδρείας δεηθήσεσθαι.

Εἰθισμένων δὲ τῶν τὴν Ἀσίαν κατοικέντων τὸν [1] Περσῶν βασιλέα μέγαν προσαγορεύειν· Τί δ' ἐκεῖνος ἐμᾶ μείζων, εἰ μὴ [2] δικαιότερος καὶ σωφρονέστερος;

Ἔλεγε δὲ, τὰς τὴν Ἀσίαν κατοικᾶντας, ἐλευθέρας μὲν κακὰς, δέλας δ' ἀγαθὰς εἶναι.

Ἐρωτηθεὶς δὲ [3], πῶς ἂν τις μάλιστα παρ' ἀνθρώποις εὐδοκιμοίη· Εἰ λέγοι (εἶπε) τὰ ἄριστα, πράττοι δὲ τὰ κάλλιστα.

Τὸν δὲ στρατηγὸν δεῖν ἔφασκε πρὸς [4] μὲν τὰς ἐναντίας τόλμαν, πρὸς δὲ τὰς ὑποτεταγμένας εὔνοιαν ἔχειν.

Ἐπιζητᾶντος δέ τινος, τίνα δεῖ μανθάνειν τὰς παῖδας· Ταῦτ', (εἶπεν) οἷς καὶ ἄνδρες γενόμενοι χρήσονται.

Δικάζοντος δέ τινα δίκην αὐτᾶ, καὶ τᾶ μὲν κατηγόρα εὖ εἰρηκότος, τᾶ δ' ἀπολογαμένα, Φαύλως, λέγοντος δὲ [5] πρὸς ἕκαστα· Ἀγησίλαε, δεῖ τὸν βασιλέα τοῖς νόμοις βοηθεῖν· Καὶ τὴν οἰκίαν (ἔφη) εἴ τις σοι [6] διέσκαπτε, καὶ τὸ ἱμάτιον εἰ ἀφῃρεῖτο, προσεδέχα ἂν, τὸν οἰκοδόμον, ἢ τὸν τὸ ἱμάτιον ὑφάναντα, ἐπικαρήσειν σοι;

Ἐπι-

1 Petav. τῶν Περσῶν.
2 Turn. εἰ μὴ καὶ δικ.
3 abest δὲ a Petav.
4 Turn & Petav. παρὰ pro πρὸς.
5 abest δὲ a Petav.
6 Petav εἴ τισι; & ·ποσδίχα; nec non cum Turn. ὑφάντα pro ὑφάναντα.

Ἐπιστολῆς [1] δ' αὐτῷ παρὰ τοῦ Περσῶν βασιλέως κομισθείσης, τῆς εἰρήνης γενομένης, ἣν ὁ μετὰ Καλλίου τοῦ Λακεδαιμονίου Πέρσης ἤνεγκε, περὶ ξενίας καὶ φιλίας, οὐκ ἔλαβεν, εἰπὼν ἀπαγγεῖλαι [2] βασιλεῖ, ὡς ἰδίᾳ μὲν πρὸς αὐτὸν οὐδὲν δέοι ἐπιστολὰς πέμπειν· ἢν δὲ φίλος τῇ Λακεδαίμονι καὶ τῇ Ἑλλάδι εὔνους ὢν φαίνηται, ὅτι καὶ αὐτὸς φίλος αὐτῷ κατὰ κράτος ἔσοιτο· ἐὰν μέντοι ἐπιβουλεύων ἁλίσκηται, μηδ' ἂν πάνυ πολλὰς δέχωμαι [3] ἐπιστολάς, πιστευέτω, φίλον με ἕξειν.

Φιλοτεκνότατος δ' ὢν διαφερόντως, λέγεται, ὅτι μικροῖς τοῖς παιδίοις, κάλαμον περιβεβηκὼς [4], ὥσπερ ἵππον, οἴκοι συνέπαιζεν· ὀφθεὶς δὲ ὑπό τινος τῶν φίλων, παρεκάλει μηδενὶ φράζειν, πρὶν καὶ αὐτὸς πατὴρ παίδων γένηται.

Συνεχῶς δ' αὐτοῦ τοῖς Θηβαίοις πολεμοῦντος, καὶ τρωθέντος ἐν τῇ μάχῃ, φασὶ, τὸν Ἀνταλκίδαν εἰπεῖν· Καλὰ τὰ διδασκάλια παρὰ Θηβαίων [5] ἀπολαμβάνεις, μὴ βουλομένους αὐτοὺς, μηδ' ἐπισταμένους μάχεσθαι διδάξας. τῷ γὰρ ὄντι Θηβαίους αὐτοὺς ἑαυτῶν πολεμικωτάτους τότε φασὶ γενέσθαι ταῖς πολλαῖς στρατείαις τῶν Λακεδαιμονίων ἐπ' αὐτούς. διὸ καὶ Λυκοῦργος ὁ παλαιὸς ἐν ταῖς καλουμέναις Ῥήτραις ἀπεῖπε, πολλάκις ἐπὶ τοὺς αὐτοὺς στρατεύειν, ὅπως πολεμεῖν μὴ μανθάνωσιν.

Ἐπεὶ δ' ἤκουσε δυσχερᾶναί τι [6] τοὺς συμμάχους διὰ τὰς συνεχεῖς στρατείας, ὀλίγους οὖσι τοῖς Λακεδαιμονίοις πολ-

1 Ald. στολῆς, quod & in scripto fuisse initio, monet Xyl.

2 Petav. ἀπάγγειλε; Ald. & Bas. ἀπάγγειλαι.

3 Turn. & Petav. δέχηται.

4 Dedi sic cum W. e Vit. Ages. pag. 110. pro vulg. ἐπιβεβηκώς, firmante id cod. Venet.

5 Turn. & Petav. παρ' Ἀθηναίων; In altera lectione Petav. Θηβαίων; item λαμβάνεις pro ἀπολ.

6 Fuit vulgo post h. v. τε, quod cum τι mutavi. Xyl. aut sic legi voluit, aut τε prorsus tolli. Ex ejusdem mente dedi in seq. πολλὰς ἀκολουθοῦντας pro vulg. πολλοὶ ἀκολουθοῦντες. Turn. & Petav. πολλοῖς ἀκολ.

πολλὰς ἀκολουθοῦντας, ἐλέγξαι βουλόμενος αὐτῶν τὸ πλῆθος, ἐκέλευσεν ἅπαντας τοὺς συμμάχους καθίσαι [1] μετ' ἀλλήλων ἀναμεμιγμένους, ἰδίᾳ δὲ τοὺς Λακεδαιμονίους ἐφ' ἑαυτῶν· εἶτα ἐκήρυττε τοὺς κεραμεῖς ἀνίστασθαι πρώτους, ὡς δὲ [2] ἀνέστησαν οὗτοι, δευτέρους ἐκήρυττε τοὺς χαλκεῖς, εἶτα τέκτονας ἐφεξῆς καὶ οἰκοδόμους, καὶ τῶν ἄλλων τεχνῶν ἑκάστην. πάντες οὖν [3] ὀλίγου δεῖν ἀνέστησαν οἱ σύμμαχοι, τῶν δὲ Λακεδαιμονίων οὐδείς. ἀπείρητο γὰρ αὐτοῖς τέχνην ἐργάζεσθαι, ἢ μανθάνειν βάναυσον. οὕτω δὴ γελάσας ὁ Ἀγησίλαος· Ὁρᾶτε, (εἶπεν) ὦ ἄνδρες, ὅσῳ πλείονας ὑμῶν στρατιώτας ἐκπέμπομεν ἡμεῖς;

Ἐν δὲ τῇ περὶ Λεῦκτρα μάχῃ, πολλῶν Λακεδαιμονίων φυγόντων, καὶ τούτων ταῖς ὑπὸ τοῦ νόμου αἰτίαις [4] ὑπευθύνων ὄντων, οἱ ἔφοροι ἔρημον ἀνδρῶν τὴν πόλιν ὁρῶντες [5], δεομένην στρατιωτῶν, ἐβούλοντο τὴν ἀτιμίαν λῦσαι, καὶ τοὺς νόμους τηρεῖν. αἱροῦνται οὖν νομοθέτην τὸν Ἀγησίλαον· ὁ δὲ, προσελθὼν εἰς τὸ δημόσιον· Νομοθέτης μὲν οὐκ ἂν γενοίμην ἑτέρων νόμων· (εἶπε) τοῖς γὰρ οὖσιν οὔτ' ἂν προσθείην τι, οὔτ' ἂν ἀφέλοιμι, οὔτε μεταποιήσαιμι· τοὺς δ' ὄντας ἡμῖν [6] νόμους καλῶς ἔχον ἐστὶ κυρίους ἀπὸ τῆς αὔριον εἶναι.

Τὸν δ' Ἐπαμινώνδαν ἐπελθόντα μετὰ τοσούτου ῥεύματος καὶ κλύδωνος, τῶν Θηβαίων καὶ συμμάχων μεγαλαυχουμένων ἐπὶ τῇ νίκῃ, ὅμως εἶρξε [7] τῆς πόλεως καὶ ἀναστρέψαι ἐποίησεν, ὀλίγων ὄντων τῶν ἐν τῇ πόλει.

Ἐν δὲ τῇ περὶ Μαντίνειαν μάχῃ παρεκελεύσατο τοῖς Λακεδαιμονίοις, τοὺς ἄλλους ἐάσαντας πάντας Ἐπαμινών-

1 Petav. καθῆσαι. In seq. Turn. & Petav. ὑφ' ἑαυτ. pro ἐφ' ἑαυτ.

2 R. cum Frft. ὡς καὶ. Restitui δὲ ex edd. prioribus.

3 abest οὖν a Petav.

4 Xyl. legit vertitque ἀτιμίαις.

5 Turn & Petav. εὑρόντες.

6 Ald. & Bas. ὑμῖν. Sic quoque Steph. in edit. min.

7 Ald. & Bas. ἦρξε.

μινώνδᾳ μάχεσθαι, μόνες λέγων [1] τὲς ἐμφρονας ἀνδρείες εἶναι, καὶ μόνες νίκης αἰτίες ὑπάρχειν· εἰ ἕν τῦτον ἀνέλοιμεν, ῥᾷστα τὲς ἄλλες ὑποχειρίες ποιήσειν. ἄφρονας γὰρ εἶναι καὶ ἐδενὸς ἀξίες· ὃ καὶ συνέβη. τῆς γὰρ νίκης σὺν Ἐπαμινώνδᾳ ἔσης, καὶ φυγῆς γενομένης, ἐπιστραφέντα αὐτὸν καὶ ἀνακαλέμενόν τὲς ἰδίες, τῶν Λακεδαιμονίων τις καιρίως ἐπάταξε [2], καὶ πεσόντος, ἀναστρέψαντες ἀπὸ τῆς φυγῆς οἱ σὺν Ἀγησιλάῳ, ἐφάμιλλον τὴν νίκην ἐποίησαν παρὰ πολὺ μὲν τῶν Θηβαίων χειρόνων, παρὰ πολὺ δὲ τῶν Λακεδαιμονίων ἀμεινόνων φανέντων.

Χρημάτων δὲ δεομένης τῆς Σπάρτης πρὸς πόλεμον καὶ ξενοτροφέσης, ἐπορεύθη ὁ Ἀγησίλαος εἰς Αἴγυπτον μεταπεμφθεὶς ὑπὸ τῦ βασιλέως Αἰγυπτίων ἐπὶ μισθῷ· διὰ δὲ τὸ λιτὸν τῆς ἐσθῆτος εἰς καταφρόνησιν ἦλθε τοῖς ἐγχωρίοις. προσεδόκων γὰρ τὸν Σπάρτης βασιλέα, καθάπερ τὸν [3] Περσῶν, κεκοσμημένον ὄψεσθαι διαπρεπῶς τὸ σῶμα, φαύλην ἔχοντες περὶ βασιλέων δόξαν. ἔδειξε γῦν αὐτοῖς μεταξὺ, ὡς τὸ μεγαλεῖον καὶ ἀξιόλογον οἰήσει [4] καὶ ἀνδρείᾳ κτᾶσθαι προσήκει.

Ἐπεὶ δὲ τὲς παρ' αὐτῷ παραστήσεσθαι [5] μέλλοντας ἑώρα δεδιότας τὸν ἐπιόντα κίνδυνον διὰ τὸ τῶν πολεμίων πλῆθος, (εἴκοσι γὰρ ἦσαν μυριάδες) καὶ τὴν τῶν περὶ αὐτὸν ὀλιγότητα, πρὸ τῆς παρατάξεως ἔγνω προθύσεσθαι· καὶ ἀσυνειδότως τοῖς ἄλλοις [6] ἐπὶ τὴν ἀριστερὰν ὑπ-

1 Petav. λέγει. Paulo ante Turn. & Petav. Ἐπαμινώνδαν.
2 Turn. ἐπίταξε; idem Petav. nec non mox αἱ σὺν Ἀγησ.
3 R. cum Fift. τῶν. Restitui lectionem priorem.
4 W. legi vult φρονήσει.
5 Turn. & Petav. simpl. στήσεσθαι.
6 Vulgo ἔγνω προθυμήσεσθαι ἀσυνειδότως τοῖς ἄλλοις· καὶ &c. Secutus sum potissimum Raph. Reg. versionem: *decrevit, priusquam confligeret, sacrificium facere, ac aliis insciis in sinistrae manus palma* &c. ex parte firmatam codd. Turn. & Petav. πρὸ τῆς προτάξεως ἔγνω προθύσεσθαι ἀσυνειδότως, & a Maitt. probatam.

ὑπεστρωμένῃ τῇ χειρὶ νίκην προσέγραψε. λαβὼν δὲ παρὰ τȣ̃ μάντεως τὸ ἧπαρ, ἐπέθηκε μὲν ἐπὶ τὴν [1] ὑπογεγραμμένην χεῖρα· κρατῶν δὲ ἐφ' ἱκανὸν χρόνον, ὑπέφαινε, δισταγμὸν καὶ προσποίησιν ἔχειν ἀπορȣ̃ντος, μέχρι τῷ ἥπατι συναναληφθέντες ἐτυπώθησαν οἱ τῶν γραμμάτων χαρακτῆρες. καὶ τότε τοῖς συναγωνίζεσθαι μέλλȣσιν ἐπεδείκνυε [2], φάμενος τȣ̀ς θεȣ̀ς διὰ τῶν γεγραμμένων ἐκφᾶναι νίκην. ἀσφαλὲς ȣ̃ν τεκμήριον δόξαντες ἔχειν τȣ̃ κρατῆσαι, ἐθάῤῥησαν πρὸς τὴν μάχην.

Περιταφρευόντων δὲ τῶν πολεμίων τὸ στρατόπεδον αὐτȣ̃ διὰ τὸ πλῆθος, καὶ Νεκτανάβιȣ [3], ᾧ συνεμάχει, ἀξιȣ̃ντος ἐπεξιέναι καὶ διαμάχεσθαι, ȣ̓κ ἔφη διακωλύειν τȣ̀ς πολεμίȣς ἴσȣς αὐτοῖς γενέσθαι βȣλομένȣς. ἔτι δὲ μικρὸν ἀπολιπούσης τῆς τάφρȣ συνάψαι, κατὰ τȣ̃το παρατάξας τὸ διαλεῖπον, καὶ πρὸς ἴσȣς ἴσοις ἀγωνισάμενος, τροπὴν ἐποιήσατο καὶ πολὺν φόνον τῶν πολεμίων ὀλίγοις τοῖς περὶ αὐτὸν στρατιώταις, καὶ χρήματα πολλὰ τῇ πόλει διεπέμψατο. Κατὰ δὲ τὸν Αἰγύπτȣ ἀπόπλȣν ἀποθνήσκων, ἐνετείλατο τοῖς περὶ αὐτὸν, μήτε πλαστὰν, μήτε μιμηλὰν τȣ̃ σώματος εἰκόνα ποιήσασθαι· Εἰ γάρ τι [4] καλὸν ἔργον πεποίηκα, τȣ̃τό μȣ μνημεῖον ἔσται· εἰ δὲ μὴ, ȣ̓δ' οἱ πάντες ἀνδριάντες, βαναύσων ȣ̓δενὸς ἀξίων ἔργα ὄντες.

Ἀγησιπόλιδος τȣ̃ Κλεομβρότȣ. Ἀγησίπολις ὁ Κλεομβρότȣ, εἰπόντος τινὸς, ὅτι Φίλιππος ἐν ὀλίγαις ἡμέραις Ὄλυνθον κατέσκαψε· Μὰ τȣ̀ς θεȣ̀ς (εἶπεν) ἄλλην τοιαύτην ἐν πολλαπλασίονι χρόνῳ ȣ̓κ οἰκοδομήσει.

Ἄλλȣ δ' εἰπόντος, ὅτι μετὰ τῶν ἀκμαζόντων βασιλεύων ὡμήρευσε, καὶ ȣ̓χ οἱ παῖδες, ȣ̓δ' αἱ γυναῖκες αὐτῶν·

1 Turn. ὑπὸ τὴν.
2 R. cum Frft. ἐδείκνυε. Restitui lectionem priorem.
3 Correxi hoc nomen ex Xyl. mente. Vulgo Νεκταβίȣ.
4 Turn. εἰ γάρ τοι.

αὐτῶν· Δικαίως, εἶπεν. αὐτὰς γὰρ ἡμᾶς καλῶς ἔχον ἐςὶ τὰς αὐτῶν ἁμαρτίας φέρειν.

Βουλομένου δ' αὐτοῦ σκύλακας οἴκοθεν μεταπέμψασθαι, ὥς τις εἶπεν· Οὐκ ἔςιν ἐξαγωγὴ παρ' αὐτῶν· Οὐδὲ γὰρ ἀνδρῶν (ἔφη) πρόσθεν, ἀλλὰ νῦν ἐγένετο.

Ἀγησιπόλιδος τοῦ Παυσανίου. Ἀγησίπολις ὁ Παυσανίου, Ἀθηναίων πρὸς αὐτὸν περὶ ὧν εἶχον πρὸς ἀλλήλους ἐγκλημάτων, τὴν τῶν Μεγαρέων πόλιν ἔκκλητον [1] λαμβανόντων· Αἰσχρὸν, (ἔφη) ὦ Ἀθηναῖοι, τοὺς ἀφηγησαμένους τῶν Ἑλλήνων ἧσσον [2] εἰδέναι Μεγαρέων τὸ δίκαιον.

Ἄγιδος τοῦ Ἀρχιδάμου. Ἆγις ὁ Ἀρχιδάμου, τῶν ἐφόρων ποτὲ εἰπόντων· Βάδιζε τοὺς ἡβῶντας ἔχων ἐπὶ τὴν τούτου πατρίδα· ἡγήσεται δέ σοι αὐτὸς οὗτος ἐπὶ τὴν ἀκρόπολιν· Καὶ πῶς (εἶπε) καλῶς ἔχον ἐςὶν, ὦ ἔφοροι, τοσούτους νέους πιςεύειν τῷ τὴν ἑαυτοῦ πατρίδα προδιδόντι;

Ἐρωτηθεὶς δὲ [3], τί μάθημα μάλιςα ἐν Σπάρτῃ ἀσκεῖται· Τὸ γινώσκειν (εἶπεν) ἄρχειν τε καὶ ἄρχεσθαι.

Οὐκ ἔφη δὲ τοὺς Λακεδαιμονίους ἐρωτᾶν, πόσοι εἰσὶν οἱ πολέμιοι, ἀλλὰ ποῦ εἰσιν.

Ἐν δὲ Μαντινείᾳ κωλυόμενος διαμάχεσθαι τοῖς πολεμίοις πλείοσιν οὖσιν, εἶπεν· Ἀνάγκη πολλοῖς μάχεσθαι τὸν ἄρχειν πολλῶν βουλόμενον.

Πυνθανομένου δέ τινος, πόσοι εἰσὶν οἱ Λακεδαιμόνιοι· Ὅσοι ἱκανοὶ (εἶπε) τοὺς κακοὺς ἀπερύκειν.

Διερχόμενος δὲ τὰ τῶν Κορινθίων τείχη, καὶ θεασάμενος ὑψηλά τε καὶ ὀχυρὰ, ἐπὶ πολύ τε παρατείνοντα· Τίνες, (εἶπεν) αἱ τὸν τόπον κατοικοῦσι γυναῖκες; Σοφι-

1 Sic scriptam dat hanc vocem Ald. Bas. & Steph. edit. min. & restitui pro ἔγκλητον, quod est in rell. Cf. de utraque voce Suid. & Hesych. Etiam W. retinuit ἔκκλητον, consentientibus Xyl. H. J. Venet. Voss.

2 Petav. ἧσσον.

3 abest δὲ a Petav.

Σοφιστῦ δέ τινος εἰπόντος· Πάντων λόγος ἐστὶ κράτιστον· Οὐκῦν (ἔφη) σὺ ἐὰν σιωπᾷς, ὀδενὸς ἄξιος εἶ.

Ὡς δ' Ἀργεῖοι μετὰ τὴν ἧτ]αν ἀπήντων αὐτῷ παλιν θρασύτερον, ταρασσομένυς ὁρῶν τῶν συμμάχων τὺς πλείυς· Θαῤῥεῖτε [1], (εἶπεν) ὦ ἄνδρες. ὅπυ γὰρ ἡμεῖς οἱ νικῶντες ὀῤῥωδῦμεν, τί δοκεῖτε ποιεῖν τὺς ὑφ' ἡμῶν νενικημένυς; Πρὸς δὲ τὸν ἐκ τῶν Ἀβδήρων [2] πρεσβευτὴν, ὅτε κατεπαύσατο πολλὰ εἰπὼν, ἐρωτῶντα, τί τοῖς πολίταις ἀπαγγεῖλαι [3]. Ὅτι (ἔφη) ὅσον σὺ χρόνον λέγειν ἔχρηζες, τοσῦτον ἐγὼ σιωπῶν ἤκυον.

Ἐπαινύντων δέ τινων Ἠλείυς, ὅτι δικαιότατοί εἰσι περὶ τὸν ἀγῶνα τῶν Ὀλυμπίων· Καὶ τί μέγα, (εἶπεν) ἢ θαυμαστὸν ποιῦσιν, εἰ ἐν ἔτεσι πέντε μιᾷ μόνον ἡμέρᾳ τῇ δικαιοσύνῃ χρῶνται [4]; Πρὸς δὲ τὺς φάσκοντας, ὅτι φθονῦσι τινὲς αὐτῷ τῶν ἐκ τῆς ἑτέρας οἰκίας· Οὐκῦν (ἔφη) τὰ ἴδια αὐτὺς κακὰ λυπήσει, καὶ πρὸς τύτοις τά τ' ἐμὰ καὶ τῶν [5] φίλων ἀγαθά.

Συμβυλεύοντος δέ τινος, ὅτι δεῖ τοῖς φεύγυσι τῶν πολεμίων διδόναι δίοδον· Καὶ πῶς (ἔφη) τοῖς διὰ δειλίαν φεύγυσι μὴ μαχόμενοι, τοῖς δι' ἀνδρείαν μένυσι μαχησόμεθα;

Προσφερομένυ δέ τινος περὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας λόγον [6] ἐκ ἀγεννῆ μὲν, δυσχερῆ δ' ἐπιτελεσθῆναι.

1 Petav. θαρεῖτε.

2 Ald. & Baf. Αὐδήρων. Xyl. correxit.

3 Dedi fic de meo. Infra idem occurrit. Ἀπαγγεῖλοι faltim, quod vulgo legitur, ab analogia abhorrere videtur. Petav. ἀπαγγέλοι, & mox τοσύτων pro τοσῦτον.

4 Artic. τῇ e Turn. & Petav. recepi, unde fic enotatur μιᾷ ἡμέρᾳ χρῶνται τῇ δικαιοσύνῃ.

5 Turn. & Petav. καὶ τὰ τῶν.

6 Ald. Baf. Petav. omittunt λόγον. Petav. mox ἀγεννῆ. Turn. ὁ δυσχερῆ δέ. In Ald. & Baf. vitiofe εὐχερῆ, quod e MS. Xyl. correxit.

ϑῆναι· Προσδέονταί σε, ὦ ξένε, (ἔφη) οἱ λόγοι δυνάμεως καὶ χρημάτων.

Λέγοντος δέ τινος, ὅτι Φίλιππος αὐτοῖς ἀνεπίβατον τὴν Ἑλλάδα ποιήσει· Ἱκανὴ ἡμῖν, (ἔφη) ὦ ξένε, ἡ ἐν τῇ ἰδίᾳ ἀναςροφή.

Πρεσβευτὴς ἐκ Περίνθε παραγενόμενος εἰς Λακεδαίμονα, ἐμακρηγόρει· ὡς δ' ἐπαύσατο λέγων, καὶ [1] ἠρώτα τὸν Ἄγιν, τί δὴ τοῖς Περινθίοις ἀπαγγεῖλαι· Τί δ' ἄλλο, (ἔφη) ἢ ὅτι σὺ μὲν [2] μόλις ἐπαύσω λέγειν, ἐγὼ δ' ἐσιώπων;

Πρεσβεύων δὲ μόνος ἧκε πρὸς Φίλιππον· εἰπόντος δ' ἐκείνε· Τί τὅτο; μόνος ἥκεις; ἔφη· Καὶ γὰρ πρὸς ἕνα.

Φήσαντος δέ τινος τῶν πρεσβυτέρων πρὸς αὐτὸν γηραιὸν ὄντα, ἐπειδὴ τὰ ἀρχαῖα νόμιμα ἐκλυόμενα ἑώρα, ἄλλα δὲ παρεισδυόμενα μοχθηρὰ, διότι τὰ ἄνω κάτω γίνεται ἐν τῇ Σπάρτῃ, παίζων εἶπε· Κατὰ λόγον ὅτω προβαίνει τὰ πράγματα, εἰ τὅτο γίνεται. καὶ γὰρ ἐγὼ παῖς ὢν ἤκεον παρὰ τὃ πατρὸς, ὅτι τὰ ἄνω κάτω γέγονε παρ' αὐτοῖς. ἔφη δὲ καὶ τὸν πατέρα αὐτῷ παιδὶ ὄντι τὅτο εἰρηκέναι. ὥς' ἐ χρὴ θαυμάζειν, εἰ χείρω τὰ [3] μετὰ ταῦτα τῶν προτέρων, ἀλλ' εἴ πε βελτίω καὶ παραπλήσια γένοιτο.

Ἐρωτηθεὶς δὲ, πῶς ἄν τις ἐλεύθερος διαμένοι· Θανάτε καταφρονῶν, ἔφη.

Ἄγιδος τὃ νεωτέρε. Ἄγις ὁ νεώτερος, Δημάδε λέγοντος, ὅτι τὰ Λακωνικὰ ξίφη διὰ μικρότητα καταπίνεσιν οἱ θαυματοποιοί· Καὶ μὴν (ἔφη) οἱ Λακεδαιμόνιοι τῶν πολεμίων τοῖς ξίφεσιν ἐφικνἕνται.

Πρὸς

1 abest καὶ a Turn. & Petav. In seq. iidem τί δεῖ τοῖς Π. λέγειν. Ald. & Baf. τί δεῖ τ. Π. ἀπαγγεῖλαι, quod retinet Steph. in edit. pecul.

2 abest μὲν a Turn. Idem mox ἐγὼ δὲ σιωπῶν.

3 abest τὰ a Petav.

Πρὸς δ' ἄνθρωπον πονηρὸν, ἐρωτῶντα πολλάκις, τίς ἄριστος εἴη Σπαρτιάτης· Ὁ σοὶ ἀνομοιότατος.

Ἄγιδος τοῦ τελευταίου. Ἄγις, ὁ τελευταῖος τῶν Λακεδαιμονίων βασιλέων, ἐξ ἐνέδρας συλληφθεὶς καὶ καταδικασθεὶς ὑπὸ τῶν ἐφόρων χωρὶς δίκης, ἀπαγόμενος ἐπὶ τὸν βρόχον, ἰδών τινα τῶν ὑπηρετῶν κλαίοντα· Παῦσαι, (εἶπεν) ὦ ἄνθρωπε, ἐπ' ἐμοὶ κλαίειν. καὶ γὰρ οὕτω παρανόμως καὶ ἀδίκως ἀπολλύμενος, κρείσσων εἰμὶ [1] τῶν ἀναιρούντων. καὶ ταῦτα εἰπὼν παρέδωκε τῷ βρόχῳ τὸν τράχηλον ἑκουσίως.

Ἀκροτάτου. Ἀκρότατος, ἐπεὶ οἱ γονεῖς αὐτὸν ἄδικόν τι συμπρᾶξαι αὐτοῖς ἠξίουν, μέχρι τινὸς ἀντέλεγεν. ὡς δ' ἐνέκειντο, εἶπεν· Ἕως μὲν παρ' ὑμῖν ἦν, οὐκ ἠπιστάμην δικαιοσύνης οὐδεμίαν ἔννοιαν· ἐπεὶ δέ με τῇ πατρίδι παρέδοτε καὶ τοῖς ταύτης νόμοις, ἔτι δὲ δικαιοσύνῃ καὶ καλοκαγαθίᾳ ἐπαιδεύσατε, ὡς ἠδύνασθε, τούτοις πειράσομαι, ἢ ὑμῖν, ἕπεσθαι [2]. καὶ ἐπεὶ θέλετε ἄριστα πράττειν, ἄριστα δὲ τὰ δίκαιά ἐστι καὶ ἰδιώτῃ καὶ πολὺ μᾶλλον ἄρχοντι, πράξω, ἃ θέλετε· ἃ δὲ λέγετε, παραιτήσομαι.

Ἀλκαμένους τοῦ Τηλέκλου [3]. Ἀλκαμένης ὁ Τηλέκλου, πυθομένου τινὸς, πῶς ἄν τις ἄριστα βασιλείαν διατηροίη· Εἰ περὶ πλείονος (ἔφη) τὸ κέρδος μὴ ποιοῖτο.

Ἑτέρου δ' ἐπιζητοῦντος, διὰ τί παρὰ Μεσηνίων δῶρα οὐκ ἐδέξατο· Ὅτι λαβόντος μου, (ἔφη) πρὸς τοὺς νόμους εἰρήνην ἄγειν ἀδύνατον.

Λέγοντος δέ τινος, ὅτι συνεσταλμένως ζῇ ἱκανὴν



1 Male R. cum Frft. κρείσσων, εἰ μή. Restitui εἰμί.

2 Petav. ὑμῖν ἦν ἕπεσθαι.

3 Ald. Bas. Steph. utraque ed. W. Τηλέκρου. Maitt. & R. cum Frft. Τηλέκλου, quod retinendum censui cum Xyl. qui sic legit ex Pausania. Petav. Τιλέκρου. Idem mox Μεσσηνίων pro Μεσην.

ȣσίαν κεκ]ημένος· Καλὸν γὰρ (ἔφη) πολλὰ κεκ]ημένον ζῆν κατὰ λογισμὸν καὶ μὴ κατὰ τὴν ἐπιθυμίαν.

Ἀναξανδρίδȣ [1]. Ἀναξανδρίδας ὁ Λέοντος πρὸς τὸν δυσφοροῦντα διὰ τὴν ἐκ τῆς πόλεως αὐτῷ γενομένην φυγήν· Ὦ λῷστε, (ἔφη) μὴ τὴν πόλιν φεύγων ὀῤῥώδει, ἀλλὰ τὴν δικαιοσύνην.

Τῷ δὲ τοῖς ἐφόροις τὰ δέοντα μὲν [2] λέγοντι, πλείω δὲ τῶν ἱκανῶν· Ὦ ξένε, (ἔφη) ἐκ ἐν δέοντι τῷ δέοντι χρῇ.

Πυνθανομένȣ δέ τινος, διὰ τί τοῖς εἵλωσι τȣς ἀγρȣς ἐγχειρίζȣσι, καὶ ȣκ αὐτοὶ ἐπιμελȣνται· Ὅτι (ἔφη) ȣ τȣτων ἐπιμελȣμενοι [3], ἀλλ᾽ ἑαυτῶν, αὐτȣς ἐκτησάμεθα.

Ἑτέρȣ δέ τινος λέγοντος, ὅτι βλάπ]ȣσιν αἱ δόξαι, καὶ ὅτι τȣτων ὁ ἀπαλλαγεὶς εὐδαιμονήσει [4]· Οὐκȣν οἱ τὰ ἄδικα (ἔφη) ποιȣντες, κατὰ τὸν σὸν λόγον εὐδαίμονες ἂν εἶεν. πῶς γὰρ ἄν τις ἱεροσυλῶν, ἢ ἀδικῶν, δόξης ἐπιμελοῖτο;

Ἄλλȣ δ᾽ ἐρωτῶντος, διὰ τί ἐν τοῖς πολέμοις Σπαρτιᾶται θαῤῥαλέως κινδυνεύȣσιν· Ὅτι (ἔφη) αἰδεῖσθαι [5] περὶ βίȣ μελετῶμεν, ȣχ, ὥσπερ οἱ ἄλλοι, φοβεῖσθαι.

Ἐρωτῶντος δέ τινος αὐτὸν, διὰ τί τὰς περὶ τȣ θανάτȣ δίκας πλείοσιν ἡμέραις οἱ γέροντες κρίνȣσι, κἂν ἀπο-

1 Sic Xyl. e Pausania legit, vertitque cum Raph. Reg. & dedi pro vulg. Ἀλεξανδρίδȣ.

2 Dedi, quod Xyl. e MS. legit, & Raph. Reg. vertit, e Turn. & Petav. pro vulg. μὴ λέγοντι. Recepit idem W. e H. J. Venet. Voss. Collat. Mur. Mez.

3 Petav. ἐπιμελȣμενοι. Idem mox cum Turn. ἀλλ᾽ αὐτῶν.

4 Sic e Petav. dedi pro vulg. εὐδαιμόνησεν. Idem W. recepit ex H. J. Voss.

5 Dedi sic cum W. e Turn. & Petav. adsentiente Mez. & vertente idem Raph. Reg. — *quia nobis studio est, ut verecundi simus de vita, non, ut alii, timidi.* Sic, W. notante, corrigendum monuit Leopard. Emend. IX, 7. & post eum Lennep. ad Phalar. p. 249. Cf. quae infra a Polydoro ad eandem respondentur quaestionem.

ἀποφύγῃ τις, ὅτι [1] ȣδὲν ἧσσόν ἐςιν ὑπόδικος [2]. Πολλαῖς μὲν, ἔφη, ἡμέραις κρίνȣσιν, ὅτι περὶ θανάτȣ τοῖς διαμαρτάνȣσιν ȣκ ἔςι μεταβȣλεύσαθαι· νόμων δὲ ὑπόδικον δεήσει εἶναι, ὅτι κατὰ τȣ̃τον τὸν νόμον ἂν εἴη καὶ τὸ κρείττονα βȣλεύσαθαι.

Ἀναξάνδρȣ τȣ̃ Εὐρυκράτȣς. Ἀνάξανδρος ὁ Εὐρυκράτεος, πυνθανομένȣ τινὸς, διὰ τί χρήματα ȣ̓ συνάγȣσιν εἰς τὸ δημόσιον· Ὅπως, ἔφη, μὴ οἱ φύλακες αὐτῶν γινόμενοι διαφθείρωνται.

Ἀναξίλȣ. Ἀναξίλας πρὸς τὸν θαυμάζοντα, διὰ τί οἱ ἔφοροι τοῖς βασιλεῦσιν ȣ̓χ ὑπεξανίςανται, καὶ ταῦτα ὑπὸ τῶν βασιλέων καθιςάμενοι· διὰ τὴν αὐτὴν αἰτίαν, ἔφη, δι' ἣν [3] ἐφορεύȣσιν.

Ἀνδροκλίδȣ. Ἀνδροκλίδας [4] ὁ Λάκων πηρωθεὶς τὸ σκέλος, κατέταξεν αὐτὸν εἰς τȣ̀ς πολεμιςάς. ὡς δὲ ἵςαντό τινὲς διακωλύοντες, ὅτι ἐπεπήρωτο· Ἀλλ' ȣ̓ φεύγοντα, εἶπε, μένοντα δὲ δεῖ τοῖς ἀντιτεταγμένοις μάχεσθαι.

Ἀνταλκίδȣ. Ἀνταλκίδας ἐν Σαμοθράκῃ μυȣ́μενος, ἐρωτηθεὶς ὑπὸ τȣ̃ ἱερέως, τί δεινότερον δέδρακεν ἐν τῷ βίῳ· Εἴ τι μοι πέπρακται τοιȣ̃τον, εἴσονται, εἶπεν, αὐτοὶ οἱ θεοί.

Πρὸς δὲ τὸν ἀμαθεῖς καλȣ̃ντα τȣ̀ς Λακεδαιμονίȣς Ἀθηναῖον· Μόνοι γȣ̃ν, εἶπεν, ἡμεῖς ȣ̓δὲν μεμαθήκαμεν παρ' ὑμῶν κακόν.

Ἑτέρȣ δ' Ἀθηναίȣ πρὸς αὐτὸν εἰπόντος· Ἀλλὰ μὴν ἡμεῖς ἀπὸ τȣ̃ Κηφισσȣ̃ [5] πολλάκις ὑμᾶς ἐδιώξαμεν· Ἡμεῖς δὲ, ἔφη, ȣ̓δέποτε ὑμᾶς ἀπὸ τȣ̃ Εὐρώτα.

 Ἀλλ'

1 abest ὅτι a Turn. pro quo Petav. dat ἔτι.

2 Petav. ὑπὸ δίκης; Turn. ὑποδίκης. Petav. in seq. πολ. μ. ἡμέραις ἔφη; & infra κρείτονα.

3 Post h. v. Petav. inserit καὶ. Est idem in Ald. Bas. & Steph. ed. min.

4 Petav. Ἀνδροκλείδας. Mox Ald. & Bas. αὐτὸν pro αὑτόν.

5 Petav. Κηφισȣ̃. Mox idem ψίγαν pro ψίγα; hoc autem in altera lectione retento, addit ἔλεγε δὲ ȣ̃τως.

Ἄλλȣ δ' ἐρωτήσαντος, πῶς ἂν τις μάλιστα ἀρέσκοι τοῖς ἀνθρώποις· Εἰ ἥδιστα μὲν, ἔφη, αὐτοῖς διαλέγοιτο, ὠφελιμώτατα δὲ προσφέροιτο.

Σοφιςȣ δέ τινος μέλλοντος ἀναγινώσκειν ἐγκώμιον Ἡρακλέȣς· Τίς γὰρ αὐτὸν ἔφη, ψέγει;

Πρὸς Ἀγησίλαον, πληγέντα ἐν μάχῃ ὑπὸ Θηβαίων· Ἀπέχεις, εἶπε, τὰ διδασκάλια, μὴ βȣλομένȣς αὐτȣ̀ς, μηδ' ἐπισαμένȣς μάχεσθαι διδάξας. ἐδόκȣν γὰρ ταῖς συνεχέσιν ἐπ' αὐτȣ̀ς τȣ̃ Ἀγησιλάȣ [1] ςρατείαις μάχιμοι γεγονέναι.

Ἔλεγε δὲ ȣ̃τος τείχη εἶναι τῆς Σπάρτης, τȣ̀ς νέȣς· ὅρια δὲ, τὰς ἐπιδορατίδας.

Πρὸς δὲ τὸν ἐπιζητȣ̃ντα, ὅτι ἐγχειριδίοις βραχέσι κατὰ πόλεμον χρῶνται Λακεδαιμόνιοι· Διότι, εἶπε, πλησίον τοῖς πολεμίοις μαχόμεθα.

Ἀντιόχȣ. Ἀντίοχος ἐφορεύων [2], ὡς ἤκȣσεν, ὅτι Μεσηνίοις Φίλιππος τὴν χώραν ἔδωκεν, ἠρώτησεν, εἰ καὶ δύναμιν αὐτοῖς παρέχετο, ὥςε μαχομένȣς [3] περὶ τῆς χώρας κρατεῖν.

Ἀριγέως. Ἀριγεὺς [4], ἐπαινȣ́ντων τινῶν ȣ̓κ ἰδίας, ἀλλά τινας τῶν ἀλλοτρίων γυναικῶν· Μὰ τȣ̀ς θεȣ̀ς (εἶπε) περὶ τῶν καλῶν κἀγαθῶν γυναικῶν ȣ̓δένα δεῖ λόγον εἰκῇ λέγεσθαι, ἀγνοεῖσθαι δ' αὐτὰς τὸ παράπαν, ὁποῖαι τυγχάνȣσι, πλὴν μόνοις τοῖς συμβιȣ̃σι.

Διὰ Σελινȣ̃ντος δέ ποτε τῆς Σικελίας πορευόμενος, ἰδὼν ἐπὶ μνήματος ἐλεγεῖον ἐπιγεγραμμένον·

Σβεννύντας ποτὲ τȣ́σδε τυραννίδα χάλκεος Ἄρης
Εἷλε· Σελινȣ̃ντος δ' ἀμφὶ πύλαις ἔθανον.

Δι-

1 R. τῶν Ἀγησιλάȣ. Correxi.
2 Hoc vocum ordine reposui cum W. ex Petav. Venet. Voss. Vulgo Ἐφορεύων Ἀντίοχος. Petav. deinde Μεσηνίοις pro Μεσσ.
3 Sic omnino, quod W. adnotat, corrigendum fuit, aut ὥςε tollendum. Vulgo ὥςε μαχομένοις. Turn. paulo ante εἰ καὶ δύναμιν.
4 Petav. Ἀρηγεὺς; Turn. Ἀριηγεύς.

Δικαίως, ἔφη, ἀπεθάνετε [1] τυραννίδα καιομένην ἀποσβεννύναι ἐπιχειρήσαντες. τοὐναντίον γὰρ ἔδει ὅλην αὐτὴν ἀφεῖναι κατακαῆναι.

Ἀρίστωνος. Ἀρίστων, ἐπαινοῦντός τινος τὴν τοῦ Κλεομένους χρείαν, ὅτι ἐρωτηθεὶς, τί δεῖ τὸν ἀγαθὸν βασιλέα ποιεῖν, εἶπε, τοὺς μὲν φίλους εὐεργετεῖν, τοὺς δ' ἐχθροὺς κακῶς ποιεῖν· Καὶ πόσῳ κρεῖσσον, (ἔφη) ὦ [2] λῷστε, τοὺς μὲν φίλους εὐεργετεῖν, τοὺς δ' ἐχθροὺς φίλους ποιεῖν; αὕτη Σωκράτους ὁμολογουμένη πρὸς πάντων [3] χρεία οὖσα, καὶ εἰς αὐτὸν ἀναφέρεται.

Πυνθανομένου δέ τινος, πόσοι Σπαρτιάται τὸ πλῆθος· Ὅσοι ἱκανοὶ (εἶπε) τοὺς ἐχθροὺς ἀπερύκειν.

Τῶν Ἀθηναίων δέ τινος ἔπαινον ἐπιτάφιον ἀναγινώσκοντος τῶν πεσόντων ὑπὸ Λακεδαιμονίων· Ποδαποὺς οὖν (ἔφη) εἶναι νομίζεις [4] τοὺς ἡμετέρους νικήσαντας τούτους;

Ἀρχιδαμίδου. Ἀρχιδαμίδας πρὸς τὸν ἐπαινοῦντα Χαρίλαν, ὅτι πρὸς ἅπαντας ὁμοίως πρᾶος ἦν· Καὶ πῶς τις (ἔφη) δικαίως ἂν ἐπαινοῖτο, εἰ καὶ πρὸς τοὺς πονηροὺς πρᾶος εἴη;

Μεμφομένου δέ τινος Ἑκαταῖον τὸν σοφιστὴν, ὅτι παραληφθεὶς εἰς τὸ συσσίτιον [5] αὐτῶν, οὐδὲν ἔλεγεν· Ἀγνοεῖν μοι δοκεῖς, εἶπεν, ὅτι ὁ εἰδὼς λόγον, καὶ τὸν τοῦ λέγειν καιρὸν οἶδεν.

Ἀρχιδάμου τοῦ Ζευξιδάμου. Ἀρχίδαμος ὁ Ζευξιδάμου [6], πυθομένου τινὸς αὐτὸν, τίνες προεστήκασι τῆς Σπάρ-



1 Turn. post h. v. addit ὅτι; Petav. ἀπέθανε ὅτι τυρ.

2 a Petav. absunt ἔφη ὦ.

3 Ald. Bas. πρὸ πάντων; Turn. Petav. πρὸς πάντας. Locus proxime sequens a Petav. plane omittitur, supra jam memoratus de Agide Archidami.

4 Turn. & Petav. ποδαποὺς οὖν εἶναι νομίζεις εἶγε τοὺς ἡμ.

5 Petav. συσίτιον.

6 Turn. & Petav. ὁ Ζευξιμάδου. Iid. mox αὐτοῦ pro αὐτόν.

Σπάρτης· Οἱ νόμοι καὶ τὰ ἀρχεῖα (ἔφη) κατὰ τὰς νόμας.

Πρὸς δὲ τὸν ἐπαινοῦντα κιθαρῳδὸν καὶ θαυμάζοντα τὴν δύναμιν αὐτοῦ· Ὦ λῷστε (ἔφη) ποῖον γέρας παρά σου τοῖς ἀγαθοῖς ἀνδράσιν ἔσται, ὅταν κιθαρῳδὸν οὕτως ἐπαινῇς [1];

Ἐπεὶ δέ τις αὐτῷ [2] συνιστὰς ψάλτην, εἶπεν· Οὗτος ἀγαθὸς ψάλτης ἐστίν· Παρ' ἡμῖν δέ γε οὗτος [3] ἀγαθὸς ζωμοποιός. ὡς οὐδὲν διαφέρον ἢ δι' ὀργάνων φωνῇ [4] ἡδονὴν ἐμποιεῖν, τῆς δι' ὄψων καὶ ζωμοῦ σκευασίας. Ὑπισχνουμένου δέ τινος αὐτῷ τὸν οἶνον ἡδὺν ποιήσειν [5]. Πρὸς τί; ἔφη. καὶ γὰρ δαπανηθήσεται πλείων, καὶ ποιήσει τὰ ἀνδρεῖα ἀχρηστότερα.

Στρατοπεδεύων δὲ περὶ Κόρινθον, εἶδεν ἐκ τοῦ περὶ τὸ τεῖχος τόπου λαγωοὺς ἀνασκιρτῶντας· εἶπεν οὖν πρὸς τοὺς συστρατιώτας· Εὐάλωτοι ἡμῶν οἱ πολέμιοί εἰσι.

Δύο δέ τινων διαιτητὴν αὐτὸν λαβόντων [6], ἀγαγὼν εἰς τὸ τῆς Χαλκιοίκου τέμενος, ἐξώρκισεν ἐμμεῖναι τοῖς κριθεῖσιν αὐτούς. ὀμοσάντων δ' ἐκείνων· Κρίνω τοίνυν, (ἔφη) μὴ πρότερον ἀπελθεῖν ὑμᾶς ἐκ τοῦ τεμένους, πρὶν ἂν τὰ πρὸς ἀλλήλους διαλύσησθε.

Ταῖς δὲ θυγατράσιν αὐτοῦ ἱματισμὸν πολυτελῆ Διονυσίου τοῦ τυράννου Σικελίας πέμψαντος, οὐκ ἐδέξατο, εἰπών· Φοβοῦμαι, μὴ περιθέμεναι αἱ κόραι φανῶσί μοι αἰσχραί.

Θεασάμενος δὲ τὸν υἱὸν προπετῶς μαχόμενον Ἀθηναίοις· Ἢ τῇ δυνάμει πρόσθες, ἔφη, ἢ τοῦ φρονήματος ὕφες.

Ἀρχι-

1 Petav. ὅταν οὕτως ἐπαινεῖς, omisso κιθαρῳδόν.

2 abest αὐτῷ a Petav.

3 Recepi οὗτος e MS. Xyl. & Turn. Vulgo abest. Vertit id quoque Raph. Reg. Post ἀγαθὸς Turn. addit ἐστίν.

4 Turn. τῇ δ' ὀργάνων φωνῇ.

5 Addidi ποιήσειν e Xyl. MS. Turn. & Petav. Vulgo abest.

6 Turn. & Petav. λαμβανόντων.

Ἀρχιδάμου τοῦ Ἀγησιλάου. Ἀρχίδαμος ὁ Ἀγησιλάου, Φιλίππου μετὰ τὴν ἐν Χαιρωνείᾳ [1] μάχην σκληροτέραν αὐτῷ ἐπιστολὴν γράψαντος, ἀντέγραψεν· Εἰ μετρήσεις τὴν σεαυτοῦ σκιὰν, οὐκ ἂν εὕροις αὐτὴν μείζονα γεγενημένην, ἢ πρὶν νικᾷν.

Ἐρωτηθεὶς δὲ, πόσης χώρας κρατοῦσι Σπαρτιᾶται [2]· Ὅσης ἂν (ἔφη) τῷ δόρατι ἐφίκωνται.

Περιάνδρου τοῦ ἰατροῦ ἀξιολόγου κατὰ τέχνην ὄντος, καὶ ἐπαινουμένου ἐς [3] τὰ μάλιστα, φαῦλα δὲ ποιήματα γράφοντος· Τί δή ποτε, ὦ Περίανδρε, (εἶπεν) ἀντὶ χαρίεντος ἰατροῦ κακὸς ποιητὴς καλεῖσθαι ἐπιθυμεῖς;

Ἐν δὲ τῷ πρὸς Φίλιππον πολέμῳ συμβουλευόντων τινῶν, ὅτι πόῤῥω τῆς οἰκείας τὴν μάχην συνάπτειν δεῖ· Ἀλλ' οὐ τοῦτο, ἔφη, ὁρᾷν δεῖ, ἀλλ' εἰ μαχούμενοι [4], κρείσσονες τῶν πολεμίων ἐσόμεθα.

Πρὸς δὲ τοὺς ἐπαινοῦντας αὐτὸν, ὅτι τὴν πρὸς τοὺς [5] Ἀρκάδας μάχην ἐνίκησε· Βέλτιον ἂν ἦν, εἰ τῇ φρονήσει, ἔφη, αὐτοὺς ἐνικῶμεν μᾶλλον, ἢ τῇ ἰσχύϊ.

Ὅτε δ' εἰς Ἀρκαδίαν ἐνέβαλε, πυθόμενος βοηθεῖν αὐτοῖς Ἠλείους, ἐπέστειλεν [6] αὐτοῖς· Ἀρχίδαμος Ἠλείοις· Καλὸν ἡσυχία.

Τῶν δὲ συμμάχων ἐν τῷ Πελοποννησιακῷ πολέμῳ ἐπι-



1 Petav. Χερωνείᾳ. Mox idem cum Turn. πόσοις χώραις.

2 Quae post h. v. sequuntur, omittit Petav. usque ad locum seq.

3 E Petav. recepi ἐς pro vulg. δέ. Idem mox χαριέντως.

4 Ald. & Bas. ἀλλ' ἐυμαχούμενοι. Steph. id mutavit ἀλλ' εἰ εὖ μαχ. quod seqq. edd. retinuerunt. Xyl. e MS. legit, quod cum W. recepi, consentientibus H. J. Venet. Voss. & Raph. Reg. versione. E Turn. enotatur εἰ μαχόμενοι, vel οὐ ἀμαχόμενοι. W. veram esse lectionem putat ἀλλ' οὐ μαχούμ. *sed ubi pugnaturi.*

5 abest τοὺς a Petav.

6 Dedi sic cum W. e Turn. & Petav. pro vulg. ἀπέσταλεν. Idem, W. notante, monuit Valcken. ad Theocr. p. 258. qui ad Laconicam dialectum etiam ἁσυχία corrigit.

ἐπιζητέντων, πόσα χρήματα ἀρκέσει, καὶ ἀξιέντων ὁρίσαι τὲς Φόρες [1]. Ὁ πόλεμος, ἔφη, ἐ τεταγμένα σιτεῖται.

Καταπελτικὸν δὲ βέλος ἰδὼν τότε πρώτως [2] ἐκ Σικελίας κομισθὲν, ἀνεβόησεν· Ἡράκλεις, ἀπόλωλεν, ἀνδρὸς ἀρετά.

Ἐπεὶ δ' ἐκ ἐβέλοντο Ἕλληνες πείθεσθαι αὐτῷ, καὶ λῦσαι τὰς πρὸς Ἀντίγονον καὶ Κρατερὸν τὲς Μακεδόνας ὁμολογίας, καὶ ἐλεύθεροι εἶναι, ὡς χαλεπωτέρων ἐσομένων Λακεδαιμονίων, ἢ Μακεδονων, εἶπε· Πρόβατον μὲν ἀεὶ τὴν αὐτὴν φθέγγεται φωνὴν, ἄνθρωπος δὲ πολλὰς καὶ ποικίλας· ἕως ἂν τὸ δόξαν ἐπιτελέσῃ.

Ἀςυκρατίδε. Ἀςυκρατίδας, εἰπόντος τινὸς αὐτῷ, μετὰ τὸ ἡτ]ηθῆναι Ἆγιν τὸν βασιλέα ἐν τῇ πρὸς τὸν Ἀντίπατρον [3] μάχῃ περὶ μεγαλην πόλιν· Τί ποιήσετε, ὦ Λακεδαιμόνιοι; ἢ [4] δελεύσετε Μακεδόσιν; εἶπε· Τί δέ; κωλῦσαι ἂν δύναιτο Ἀντίπατρος μαχομένες ἡμᾶς ἀποθανεῖν ὑπὲρ τῆς Σπάρτης;

Βίαντος. Βίας ἐνεδρευθεὶς ὑπὸ Ἰφικράτες, τε Ἀθηναίων ςρατηγε, καὶ ἐρωτώμενος ὑπὸ τῶν ςρατιωτῶν, τί δεῖ ποιεῖν· Τί γὰρ ἄλλο, ἔφη, ἢ [5] ὑμᾶς μὲν σώζεσθαι, ἐμὲ δὲ μαχόμενον ἀποθανεῖν;

Βρασί-

1 Turn. Bong. Petav. τὲς ἐφόρες. Iid. mox σιγεῖ pro σιτεῖται. E Petav. ſimul enotatur ζητεῖ.

2 Turn. & Petav. τό γε πρότερον.

3 Sic ex hiſtoriae auctoritate, & ipſo contextu loci reponendum cenſui pro vulg. Ἀντίγονον. Hoc nomen Raph. Reg. utroque loco exprimit. Xyl. autem, quod mirer, annotat: „In Aſtycratida *Antipatro* nihil eſt loci, ſed *Antigono*."

4 Petav. ἦ. Sic quoque Ald. & Baſ. Mox Petav. δύνετο.

5 abeſt ἢ a Petav. Pro eo Ald. & Baſ. εἰ habere notatur in ind. Var. & R. nota. At equidem in edit. utraque lego ἤ. Pro ὑμᾶς Ald. Baſ. Petav. ἡμᾶς, nec non Steph. in ed. min. Pro μαχόμ. Turn. μαχέμενον.

Βρασίδϐ. Βρασίδας ἐν ἰσχάσι συλλαβὼν μῦν, καὶ δηχθεὶς, ἀφῆκεν· εἶτα πρὸς τὸς παρόντας· Οὐδὲν ὅτως, ἔφη, μικρόν ἐςιν, ὃ ϐ δύναται σώζεσθαι τολμῶν ἀμύνεσθαι τὸς ἐπιχειρȣ̃ντας.

Ἐν δέ τινι μάχῃ διὰ τῆς ἀσπίδος ἀκοντισθεὶς, καὶ τὸ δόρυ τȣ̃ τραύματος ἐξελκύσας [1], αὐτῷ τȣ́τῳ τὸν πολέμιον ἀπέκτεινε. καὶ, πῶς ἐτρώθη, ἐρωτηθεὶς· Προδȣ́σης με, ἔφη, τῆς ἀσπίδος.

Ἐξελθὼν δ' ἐπὶ πόλεμον ἔγραψε τοῖς ἐφόροις· Ἄσσα δηλῶμαι [2], πράξω ποτ]ὸν πόλεμον, ἢ τεθναξȣ̃μαι.

Ἐπεὶ δὲ συνέβη πεσεῖν αὐτὸν ἐλευθερȣ̃ντα τὸς ἐπὶ Θρᾴκης Ἕλληνας, οἱ δὲ πεμφθέντες εἰς Λακεδαίμονα πρέσβεις τῇ μητρὶ αὐτȣ̃, Ἀργιλεωνίδι [3], προσῆλθον· πρῶτον μὲν ἠρώτησεν, εἰ καλῶς ὁ Βρασίδας ἐτελεύτησεν. ἐγκωμιαζόντων δὲ τῶν Θρᾳκῶν, καὶ λεγόντων, ὡς ȣ̓δεὶς ἄλλος ἐςὶ τοιȣ̃τος· Ἀγνοεῖτε, εἶπεν, ὦ ξένοι. Βρασίδας γὰρ ἦν μὲν ἀνὴρ ἀγαθὸς, πολλοὶ δ' ἐκείνȣ κρείσσονες ἐν τῇ Σπάρτῃ.

Δαμωνίδϐ. Δαμωνίδας ταχθεὶς ἔσχατος τȣ̃ χορȣ̃ ὑπὸ τȣ̃ τὸν χορὸν ἱςῶντος· Εὖγε, εἶπεν, ὦ χοραγὲ,

1 Petav. ἑλκύσας.

2 Quid sit δηλῶμαι, ignorare se fatetur Xyl. & legendum suspicatur δύνωμαι, ut sit sententia: *pro viribus omnia, quae ad bellum gerendum pertinent, faciam.* Raph. Reg. vertit: *quaecunque belli nocumenta aut repellam, aut moriar*, & e Maitt. conjectura legisse videtur ἅσσα δηλȣ̃ντα, a δηλέω, id est βλάπτω. Maitt. ipse vertit, *quaecunque voluero*, ut sit δηλῶμαι, a δῆλομαι, quod, Hesych. teste, idem est ac βȣ́λεσθαι. Hunc sensum sequitur W. in corrigenda Xyl. versione: *in bello omnia, quae voluero, recte geram, aut moriar.*

3 Sic Xyl. legi voluit, dedique cum W. adsentiente J. In Ald. & Steph. ed. pecul. Ἀρχιλεωνίδῃ, quod simul e Petav. enotatur. Bas. & Steph. ed. opp. univ. Ἀρχιλεωνίδι. Frft. Maitt. & R. Ἀργιλεονίδι.

γὲ, ἐξεῦρες, πῶς καὶ αὕτη [1] ἡ χώρα ἄτιμος ὖσα ἔντιμος γένηται.

Δάμιδος. Δᾶμις πρὸς τὰ ἐπισαλέντα παρὰ τῦ Ἀλεξάνδρυ, θεὸν εἶναι ψηφίσαθαι· Συγχωρῦμεν, ἔφη, Ἀλεξάνδρῳ, ἐὰν θέλῃ, θεὸς καλεῖσθαι.

Δαμίνδυ. Δαμίνδας, Φιλίππυ ἐμβαλόντος εἰς Πελοπόννησον, καὶ εἰπόντος τινός· Κινδυνεύυσι δεινὰ παθεῖν Λακεδαιμόνιοι, εἰ μὴ τὰς πρὸς αὐτὸν διαλλαγὰς ποιήσονται· Ἀνδρόγυνε [2], εἶπε, τί δ' ἂν πάθοιμεν δεινὸν θανάτυ καταφρονήσαντες;

Δερκυλλίδυ. Δερκυλλίδας [3], Πύῤῥυ τὴν σρατείαν ἐπὶ τῆς Σπαρτιάτιδος ἔχοντος, πεμφθεὶς πρὸς αὐτὸν πρεσβευτὴς, τῦ Πύῤῥυ προστάττοντος καταδέχεσθαι τὸν βασιλέα αὐτῶν, Κλεώνυμον, ἢ γνώσεσθαι, ὡς ὐδενὸς [4] τῶν ἄλλων ἀνδρειότεροι τυγχάνυσιν, ὑποτυχὼν εἶπεν· Εἰ μὲν θεός ἐσιν, ὐ φοβύμεθα τῦτον. (ὐδὲν γὰρ ἀδικῦμεν) εἰ δ' ἄνθρωπος, ὐχ ἡμῶν γε κρείσσων.

Δημαράτυ. Δημάρατος, Ὀρόντυ πρὸς αὐτὸν σκληρότερον ὁμιλήσαντος, καὶ εἰπόντος τινός· Σκληρῶς σοι κέχρηται Ὀρόντης, ὦ Δημάρατε· Οὐδὲν ἥμαρτεν εἰς ἐμέ· (εἶπεν) οἱ γὰρ πρὸς χάριν ὁμιλῦντες, βλάπτυσιν, ὐχ οἱ μετ' ἀπεχθείας.

Ἐρωτήσαντος δέ τινος, διὰ τί τὺς μὲν τὰς ἀσπίδας παρ' αὐτοῖς ἀποβαλόντας ἀτιμῦσι, τὺς δὲ τὰ κράνη καὶ τὺς θώρακας, ὐκ ἔτι· Ὅτι [5], ἔφη, ταῦτα μὲν χάριν ἑαυτῶν περιτίθενται· τὴν δ' ἀσπίδα, τῆς κοινῆς τάξεως ἕνεκα.

Ψάλτυ δ' ἀκροώμενος· Οὐ κακῶς, εἶπε, φαίνεταί μοι φλυαρεῖν.

Ἐν

1 Petav. αὐτή. Sic quoque Ald. & Baf.
2 Petav. Ald. Baf. ἀνδρόγυναι; item Steph. ed. min.
3 Ald. Baf. Steph. ed. min. Δερκιλλίδας.
4 Turn. ὐδὲν.
5 abest ὅτι a Petav.

Ἐν δέ τινι συνεδρίῳ ἐρωτώμενος, πότερον διὰ μωρίαν, ἢ δι' ἀπορίαν [1] λόγων, σιωπᾷ· Ἀλλ' ὅγε μωρὸς ἐκ ἂν δύναιτο σιωπᾶν, ἔφη.

Πυθομένε δέ τινος, διὰ τί φεύγει τὴν Σπάρτην βασιλεὺς ὤν· Ὅτι, ἔφη, κρείσσονες αὐτῆς οἱ νόμοι εἰσί.

Τῶν δὲ Περσῶν τινος διὰ τὸ συνεχὲς τῆς δωροδοκίας τὸν ἐρώμενον αὐτῦ ἀπαγαγόντος, καὶ λέγοντος· Ὦ Λάκων, τεθήρευκά [2] σε τὸν ἐρώμενον· Μὰ τὲς θεὲς, ἔφη, ἐχὶ σύ γε, ἀλλ' ἠγόρακας.

Ἀποστάντος δέ τινος τῶν Περσῶν τῦ βασιλέως, καὶ μεταπεισθέντος ὑπὸ Δημαράτε ἐπανελθεῖν, καὶ μέλλοντος τῦ βασιλέως τὸν Πέρσην διαχειρίζεσθαι· Αἰσχρὸν, ἔφη, ὦ βασιλεῦ, ὅτε μὲν ἐχθρὸς ἦν σοι, μὴ δύνασθαι δίκην τῆς ἀποστάσεως παρ' αὐτῦ λαβεῖν, ὅτε δὲ φίλος γέγονεν, ἀποκτείνειν.

Πρὸς δὲ τὸν παρασιτῦντα τῷ βασιλεῖ, καὶ περὶ τῆς φυγῆς πολλάκις ἐπισκώπτοντα αὐτόν· Οὐ μαχῦμαί σοι, ἔφη, ὦ ξένε. καταναλωκα [3] γὰρ τὴν τῦ βίε τάξιν.

Ἐμηρεπῦς. Ἐμηρεπὴς [4] ἔφορος Φρύνιδος τῦ μεσικῦ σκεπάρνῳ τὰς δύο τῶν ἐννέα [5] ἐξέτεμεν, εἰπών· Μὴ κακέργει τὴν μεσικήν.

Ἐπαινέτε. Ἐπαίνετος πάντων ἔφη τὲς ψεύςας τῶν ἁμαρτημάτων καὶ τῶν ἀδικημάτων αἰτίες εἶναι.

Εὐβοΐδε. Εὐβοΐδας ἀκέων τινῶν ἐπαινέντων γυναῖκα ἀλλοτρίαν, ἐκ ἀπεδέχετο, φήσας· Ὅλως περὶ γυναικείας φύσεως παρὰ τοῖς ἔξω λόγον εἶναι εδένα δεῖ [6].

Εὐδα-

1 Petav. ἢ ἀπορίαν ἢ μορίαν (sic).

2 Turn. τεθήρακα; Petav. τεθήραυκα. Idem mox μεταπιθέντος.

3 W. susp. καταναλωκας.

4 In Agide Plut. (T. V. pag. 142.) nominatur Ἐκπρεπὴς, quod Xyl. hoc quoque loco recepit.

5 Post h. v. Turn. addit χορδῶν, quod legitur in Agid. l. c.

6 Turn. δεῖν.

Εὐδαμίδου τοῦ Ἀρχιδάμου. Εὐδαμίδας ὁ Ἀρχιδάμου, ἀδελφὸς δ' Ἄγιδος, ἰδὼν Ξενοκράτην ἐν Ἀκαδημίᾳ πρεσβύτερον [1] ἤδη μετὰ τῶν γνωρίμων φιλοσοφοῦντα, ἐπύθετο, τίς ὁ πρεσβευτής· Φαμένου δέ τινος, ὅτι σοφὸς ἀνὴρ καὶ τῶν ζητούντων τὴν ἀρετήν· Καὶ πότε, ἔφη, χρήσεται, ἐὰν ἄρτι ζητῇ;

Ἀκούσας δὲ φιλοσόφου διαλεχθέντος, ὅτι μόνος ἀγαθὸς στρατηγὸς ὁ σοφός ἐστιν· Ὁ μὲν λόγος, ἔφη, θαυμαστός· ὁ δὲ λέγων, ἄπιστος· οὐ γὰρ περισεσάλπισται.

Τὴν θέσιν δὲ Ξενοκράτους εἰρηκότος, καὶ καταπαυομένου, παρῆν ὁ Εὐδαμίδας. ὡς δ' εἶπέ τις τῶν μετ' αὐτοῦ· Ὅτε πάρεσμεν ἡμεῖς, τότε πέπαυται· Καλῶς γε [2], ἔφη, εἴπερ ἤδη ἔλεξε ταῦτα, ἃ ἔχρῃζε. τοῦ δ' εἰπόντος· Καλὸν ἦν ἀκοῦσαι· Ἦ καὶ πρὸς δεδειπνηκότα μολόντες, εἶπεν, ἠξιοῦμεν πάλιν αὐτὸν δειπνεῖν;

Πυνθανομένου δέ τινος, διὰ τί, τῶν πολιτῶν αἱρουμένων τὸν πρὸς Μακεδόνας πόλεμον, αὐτὸς ἡσυχίαν ἄγειν δοκιμάζει· Ὅτι, ἔφη, οὐ χρῄζω ψευδομένους αὐτοὺς ἐλέγξαι.

Ἑτέρου δὲ προσφερομένου τὰ κατὰ Περσῶν ἀριστεῖα, καὶ προτρέποντος ἐπὶ τὸν πόλεμον· Ἀγνοεῖν, ἔφη, μοι δοκεῖς γε, ὅτι ταυτόν ἐστι χιλίων προβάτων κρατήσαντα, πεντήκοντα λύκοις μάχεσθαι.

Ψάλτου δέ τινος εὐημερήσαντος, ἠρώτησαν αὐτὸν, ποδαπός τις [3] αὐτῷ δοκεῖ εἶναι. Μέγας, ἔφη, κηλητὰς ἐν μικρῷ πράγματι.

Ἐπαινοῦντος δέ τινος τὰς Ἀθήνας, ἔφη· Καὶ τίς ἂν ταύτην τὴν πόλιν δεόντως ἐπαινοίη, ἣν οὐδεὶς ἔστερξε γενόμενος βελτίων;

Ἀρ-

1 Turn. & Petav. addunt post h. v. ὄντα. Iid. mox ὁ πρεσβύτερος pro ὁ πρεσβύτης; Petav. simul male τῆς pro τίς. Idem omittit τῶν ante ζητούντων.

2 Dedi γε pro vulg. δὲ, W. probante.

3 Petav. ποδαπῶς τις.

Ἀργείω δέ τινος λέγοντος, ὡς Φαυλότεροι γίνονται κατὰ τὰς ἀποδημίας οἱ Λάκωνες, ἐξιςάμενοι [1] τῶν πατρίων νόμων· Ἀλλ' ἐχ ὑμεῖς, ἔφη, εἰς τὴν Σπάρτην ἐλθόντες, χείρονες, ἀλλὰ βελτίονες γίνεσθε.

Ἀλεξάνδρε δὲ κηρύξαντος ἐν Ὀλυμπίᾳ κατιέναι τὲς Φυγάδας ἅπαντας εἰς τὴν ἰδίαν, πλὴν Θηβαίων· Ἀτυχὲς μὲν, ἔφη, ὦ Θηβαῖοι, τὸ κήρυγμα, ἀλλ' ἔνδοξον. μόνες γὰρ ὑμᾶς Φοβεῖται Ἀλέξανδρος.

Ἐρωτηθεὶς δὲ, τίνος ἕνεκα πρὸ τῶν κινδύνων ταῖς Μέσαις σφαγιάζεσιν· Ὅπως, ἔφη, αἱ πράξεις λόγων ἀγαθῶν τυγχάνωσιν.

Εὐρυκρατίδε τε Ἀναξανδρίδε. Εὐρυκρατίδας ὁ Ἀναξανδρίδε, πυθομένε τινὸς, διὰ τί περὶ [2] τὰ τῶν συμβολαίων δίκαια ἑκάςης ἡμέρας κρίνεσιν οἱ ἔφοροι· Ὅπως, ἔφη, καὶ ἐν τοῖς πολεμίοις πιςεύωμεν [3] ἀλλήλοις.

Ζευξιδάμε. Ζευξίδαμος, πυθομένε τινὸς, διὰ τί τὲς περὶ ἀνδρείας [4] νόμες ἀγράφες τηρεσι, καὶ τοῖς νέοις ἀπογραψάμενοι ε διδόασιν ἀναγινώσκειν· Ὅτι, ἔφη, συνεθίζεσθαι δεῖ ταῖς ἀνδραγαθίαις κρεῖττον, ἢ ταῖς γραφαῖς, προσέχειν.

Αἰτωλε δέ τινος λέγοντος, ὅτι τοῖς ἀνδραγαθεῖν βελομένοις κρείσσων τῆς εἰρήνης ὁ πόλεμος [5]. Οὐ μὰ τὲς θεὲς, ἔφη, ἀλλὰ τέτοις κρείσσων ὁ θάνατος τῆς ζωῆς.

Ἡρώνδε. Ἡρώνδας, Ἀθήνησιν ἁλόντος τινὸς γραφὴν ἀργίας, παρὼν καὶ πυθόμενος, ἐκέλευσεν ἐπιδεῖξαι αὐτῷ τὸν τὴν ἐλευθερίαν [6] δίκην ἡττηθέντα.

Θεα-

1 Turn. & Petav. ἐξανιςάμενοι.

2 W. notante, abest περὶ ab H. J. Venet. Voss. Sed eodem monente, retinendum est, & transponendum τὰ περὶ τ. σ.

3 Petav. πιςεύομεν.

4 Petav. ἀνδρίας.

5 Xyl. a textu recedit, vertens: virtutem affectanti *commodiorem bello pacem esse.* Mox seq. ἔφη abest a Turn. & Pet.

6 Turn. τῆς ἐλευθερίας.

Θεαρίδυ. Θεαρίδας ξίφος ἀκονῶν, ἠρωτήθη, εἰ ὀξύ ἐςι· Καὶ [1], εἶπεν, ὀξύτερον διαβολῆς.

Θεμιςέυ. Θεμιςέας προεῖπε μὲν Λεωνίδῃ, τῷ βασιλεῖ, τὴν γενησομένην ἀπώλειαν περὶ Θερμοπύλας αὐτῦ τε καὶ τῶν συςρατευομένων αὐτῷ, μάντις ὤν. ἀποπεμπόμενος δὲ ὑπὸ [2] τῦ Λεωνίδυ εἰς τὴν Λακεδαίμονα προφάσει τῦ ἀπαγγεῖλαι τὰ συμβησόμενα, ταῖς δ' ἀληθείαις, ἵνα μὴ παραπόληται, ὐκ ἠνέσχετο [3], ἀλλ' εἶπε· Μαχητὴς ἐπέμφθην, ὐκ ἀγγελιαφόρος.

Θεοπόμπυ. Θεόπομπος πρὸς τὸν ἐρωτήσαντα, πῶς ἄν τις ἀσφαλῶς τηροίη τὴν βασιλείαν; Εἰ τοῖς μὲν φίλοις, ἔφη, μεταδιδοίη παῤῥησίας δικαίας, τὺς δ' ἀρχομένυς κατὰ δύναμιν μὴ περιορῴη ἀδικυμένυς.

Πρὸς δὲ τὸν ξένον, τὸν λέγοντα, ὅτι παρὰ τοῖς [4] ἑαυτῦ πολίταις καλεῖται Φιλολάκων· Κρεῖσσον, ἔφη, ἦν, σε Φιλοπολίτην, ἢ Φιλολάκωνα, καλεῖσθαι.

Τῦ δ' ἐκ τῆς Ἤλιδος πρεσβευτῦ εἰπόντος, ὅτι διὰ τῦτ' αὐτὸν ἐξαπέςειλαν οἱ πολῖται, ὅτι μόνος τὸν Λακωνικὸν ἐζήλωσε βίον· Καὶ πότερον, ἔφη, ὁ σὸς, ἢ ὁ τῶν ἄλλων πολιτῶν βίος βελτίων ἐςί; τῦ δ' εἰπόντος, τὸν αὐτῦ· Πῶς ὖν ἄν, ἔφη, αὕτη ἡ πόλις σώζοιτο, ἐν ᾗ πολλῶν ὄντων, εἷς μόνος ἀγαθός ἐςι;

Λέγοντος δέ τινος, ὅτι ἡ Σπάρτη σώζεται διὰ τὺς βασιλεῖς ἀρχικὺς ὄντας· Οὐκ, ἔφη, ἀλλὰ διὰ τὺς πολίτας πειθαρχικὺς ὄντας.

Πυλίων δ' αὐτῷ μείζονας τιμὰς ψηφισαμένων, ἐνέγραψεν [5], ὅτι τὰς μὲν μετρίας ὁ χρόνος αὔξει, τὰς δ' ὑπεραιρέσας ἀφανίζει.

Θηρυκίωνος. Θηρυκίων [6] ἐκ Δελφῶν παραγενόμενος,

1 Turn. καὶ pro καὶ.
2 Turn. & Petav. ἀπὸ.
3 Turn. ἠσχύνετο. Ald. & Bas. ἠνίχετο.
4 Turn. & Petav. παρὰ τῦ αὐτῦ.
5 W. corrigendum putat ἔγραψεν, vel ἀντέγραψεν.
6 Turn. & Petav. Θωρυκίων.

μενος, ἰδὼν τὸ Φιλίππȣ ϛρατόπεδον ἐν Ἰσθμῷ τὰ ϛενὰ κατειληφότος· Κακȣς, ἔφη, πυλωρȣς ὑμᾶς, ὦ Κορίνθιοι, ἡ Πελοπόννησος ἔχει.

Θεκταμένȣς. Θεκταμένης, καταγνόντων αὐτȣ θάνατον τῶν ἐφόρων, ἀπῄει [1] μειδιῶν· καί τινος τῶν παρόντων ἐρωτήσαντος, εἰ καὶ καταφρονεῖ τῶν τῆς Σπάρτης νομίμων· Οὐχὶ, εἶπεν, ἀλλὰ γέγηθα, ὅτι δεῖ με τὴν ζημίαν ἐκτίσαι ταύτην, παρ᾽ ȣδενὸς ȣτε διαιτήσαντά με, ȣτε δανεισάμενον.

Ἱπποδάμȣ. Ἱππόδαμος, ὅτε Ἆγις Ἀρχιδάμῳ [2] παρετάσσετο, συμπεμφθεὶς τῷ Ἄγιδι εἰς Σπάρτην ἐκεῖ τὰς χρείας παρέχεσθαι· Ἀλλ᾽ ȣτος, (ἔφη) ἔται καλλίω [3] θάνατον ἀποθανȣμαι ὑπὲρ Σπάρτης ἀνδραγαθῶν; ἦν δὲ βεβιωκὼς ὑπὲρ τὰ ὀγδοήκοντα [4] ἔτη. καὶ μετὰ ταῦτα λαβὼν τὰ ὅπλα, καὶ ϛὰς ἐν δεξιᾷ τȣ βασιλέως, μαχόμενος ἀπεθνήσκει.

Ἱπποκρατίδȣ. Ἱπποκρατίδας πρὸς τὸν τῆς Καρίας σατράπην, ἐπιϛείλαντα, διότι Λακεδαιμόνιος [5] ἀνὴρ, ἐπιβȣλευόντων τινῶν συνειδὼς, τὴν ἐπιβȣλὴν κατεσιώπησε, καὶ προσθέντος, πῶς χρήσεται αὐτῷ, ἀντέγραψεν· Εἰ μὲν μέγα τι αὐτὸν ἀγαθὸν πεποίηκας, κατάκτανε· εἰ δὲ μὴ, ἐκ τῆς χώρας ἔκβαλε, δειλὸν πρὸς ἀρετὴν ὄντα.

Ἀπαντήσαντος δέ ποτε αὐτῷ μειρακίȣ, ᾧ ἠκολȣθει

1 Petav. ἀπῄκει. Mox Turn. ȣτε τι αἰτήσα.

2 W. bene susp. Ἀντιπάτρῳ. Raph. Reg. vertit: *contra Archidamum aciem instruebat.* Mox W. pro συμπεμφθ. mavult πεμφθεὶς, *missus ab Agide.*

3 Recepi καλλίω, retentis reliquis, e W. conjectura, qui sic legi vult ἀλλ᾽ αὐτὸς, ἔφη, αὐτόθι καλλίω θάνατον — *at ipse, inquit, hoc in loco honestiorem obibo mortem.* Vulgo κάλλιον.

4 Turn. & Petav. πεντήκοντα.

5 R. cum Frst. Λακεδαιμονίοις. Correxi. Observa in h. l. participia ἀνακαταλλήλως posita, nisi mecum malis προσθέντας mutare cum προσθέντα.

θει ἐραςῆς τις, καὶ διατραπέντος· Μετὰ τοιούτων (ἔφη) βαδίζειν δεῖ, μεθ' ὧν ὀφθεὶς τὴν αὐτὴν χρόαν τηρήσεις.

Καλλικρατίδου. Καλλικρατίδας ναύαρχος, τῶν Λυσάνδρου φίλων ἀξιούντων ἐπιτρέψαι αὐτοῖς ἕνα τινὰ τῶν ἐχθρῶν ἀνελεῖν, καὶ λαβεῖν πεντήκοντα τάλαντα, καίτοι σφόδρα δεόμενος χρημάτων εἰς ὀψώνια τοῖς ναύταις, οὐ συνεχώρησε. Κλέανδρος δὲ, σύμβουλος ὤν· Ἀλλ' ἔγωγ' ἂν ἔλαβον, (εἶπεν) εἰ σὺ ἤμην. Καὶ γὰρ αὐτὸς, (εἶπεν) εἰ σὺ ἦν.

Παραγενόμενος δὲ πρὸς Κῦρον τὸν νεώτερον εἰς Σάρδεις, σύμμαχον ὄντα Λακεδαιμονίοις, ἐπὶ χρήματα τῷ ναυτικῷ, τῇ μὲν πρώτῃ ἡμέρᾳ ἐκέλευσεν εἰσαγγεῖλαι, ὅτι βούλεται Κύρῳ ἐντυχεῖν· ὡς δ' ἤκουσε πίνειν· Προσμένω [1], (εἶπεν) ἕως ἂν πίῃ. καὶ τότε μὲν ἀπηλλάγη, ὡς ἔγνω οὐχ οἷόν τ' εἶναι συμβαλεῖν αὐτῷ ἐκείνῃ τῇ ἡμέρᾳ, δόξας ἀγροικότερος εἶναι. τῇ δ' ἐχομένῃ, ὡς πάλιν αὐτὸν πίνειν ἤκουσε, καὶ οὐ προϊόντα, φήσας, οὐχ οὕτω σπουδαστέον χρήματα λαβεῖν, ὡς μηδὲν ἀνάξιον τῆς Σπάρτης ποιεῖν, ἀπηλλάγη εἰς Ἔφεσον, πολλὰ μὲν ἐπαρώμενος κακὰ τοῖς πρώτοις ἐντρυφηθεῖσιν ὑπὸ βαρβάρων, καὶ διδάξασιν αὐτοὺς ὑβρίζειν διὰ πλοῦτον. ὤμνυέ τε πρὸς τοὺς παρόντας, ὡς, ὅταν πρῶτον εἰς Σπάρτην παραγένηται [2], πάντα ποιήσει ὑπὲρ τοῦ διαλλάξαι τοὺς Ἕλληνας, ὡς φοβερώτεροι τοῖς βαρβάροις εἶεν, καὶ παύσαιντο τῆς ἐκείνων ἐπ' ἀλλήλους δεόμενοι δυνάμεως.

Ἐρωτηθεὶς δὲ, ὁποῖοι ἄνδρες εἰσὶν οἱ Ἴωνες· Ἐλεύθεροι μὲν (ἔφη) κακοὶ, δοῦλοι δ' ἀγαθοί.

Τοῦ δὲ Κύρου τὸν μισθὸν προπέμψαντος τοῖς στρατιώταις καὶ ξένια αὐτῷ, μόνον ἔλαβε τὸν μισθὸν, τὰ δὲ ξένια ἀντέπεμψε· φήσας, μὴ δεῖν φιλίαν αὐτῷ ἰδίαν πρὸς

1 Petav. προσμενῶ. Sic quoque Ald. Bas. Steph. ed. min.

2 Turn. simplex γένηται. Mox Petav. Ald. Bas. Steph. ed. min. ποιήσειν pro ποιήσει.

πρὸς αὐτὸν εἶναι, ἀλλὰ τὴν κοινὴν πρὸς ἅπαντας Λακεδαιμονίους γεγονυῖαν, καὶ αὐτῷ ὑπάρχειν [1].

Μέλλων δὲ περὶ τὰς Ἀργινέσας ναυμαχεῖν, Ἕρμωνος τοῦ κυβερνήτου εἰπόντος, ὅτι καλῶς [2] ἔχει ἀποπλεῦσαι, αἱ γὰρ τριήρεις τῶν Ἀθηναίων πολλῷ πλείους εἰσὶν, εἶπε· Καὶ τί τοῦτο; ἀλλὰ φεύγειν αἰσχρὸν καὶ βλαβερὸν τῇ Σπάρτῃ· μένοντα δὲ ἢ ἀποθανεῖν, ἢ νικᾷν, ἄριστον.

Προθυσάμενος δὲ, ὡς ἤκουσε τοῦ μάντεως σημαίνεσθαι διὰ τῶν ἐμπύρων τῷ μὲν στρατῷ νίκην, τῷ δὲ στρατηγοῦντι θάνατον· οὐδὲν καταπλαγεὶς εἶπεν· Οὐ παρ' ἕνα τᾷ Σπάρτᾳ. ἀποθανόντος γάρ μου, οὐδὲν ἡ πατρὶς ἐλαττωθήσεται· εἴξαντος δὲ τοῖς πολεμίοις, ἐλαττωθήσεται. ἀποδείξας οὖν ἀνθ' ἑαυτοῦ Κλέανδρον ἡγεμόνα, ὥρμησεν ἐπὶ τὴν ναυμαχίαν, καὶ μαχόμενος τελευτᾷ.

Κλεομβρότου τοῦ Παυσανίου. Κλεόμβροτος ὁ Παυσανίου, ξένου τινὸς διαφερομένου πρὸς τὸν πατέρα περὶ ἀρετῆς· Μέχρι τούτου (εἶπε) κρείσσων σου ἐστὶν ὁ πατὴρ, μέχρις ἂν καὶ σὺ γεννήσῃς.

Κλεομένους τοῦ Ἀναξανδρίδεω. Κλεομένης ὁ Ἀναξανδρίδεω τὸν μὲν Ὅμηρον Λακεδαιμονίων εἶναι ποιητὴν ἔφη, τὸν δὲ Ἡσίοδον, τῶν εἱλώτων. τὸν μὲν γὰρ, ὡς χρὴ πολεμεῖν, τὸν δὲ, ὡς χρὴ γεωργεῖν, παρηγγελκέναι.

Ἀνοχὰς δὲ ἑφθημέρους [3] πρὸς Ἀργείους ποιησάμενος, φυλάξας αὐτοὺς τῇ τρίτῃ νυκτὶ κοιμωμένους, διὰ τὸ πεποιθέναι ταῖς σπονδαῖς, ἐπέθετο· καὶ τοὺς μὲν ἀπέκτεινε, τοὺς δ' αἰχμαλώτους ἔλαβεν. ὀνειδιζόμενος δ' ἐπὶ τῇ παραβάσει τῶν ὅρκων, οὐκ ἔφη προσομωμοκέναι

 ταῖς

1 Bas. ὑπάρχον. Idem in ind. Var. Aldinae male tribuitur, haud dubie abbreviationis signo non intellecto.

2 Turn. & Petav. κακῶς.

3 Ald. & Bas. ἐφημέρους. Hinc Xyl. *aliquot dierum inducias.*

ταῖς ἡμέραις τὰς νύκτας· ἄλλως τε καὶ ὅ τι ἂν κακόν τις ποιῇ τὰς πολεμίας, τοῦτο καὶ παρὰ θεοῖς καὶ παρὰ ἀνθρώποις [1] δίκης ὑπέρτερον νομίζεσθαι.

Συνέβη δ' αὐτῷ τοῦ μὲν Ἄργους, δι' ὃ παρεσπόνδησεν, ἀποπεσεῖν διὰ τὸ τὰς γυναῖκας τὰ ἀπὸ τῶν ἱερῶν καθελούσας ὅπλα, τούτοις αὐτὸν ἀμύνασθαι [2]. καὶ ὕστερον δὲ τῶν Φρενῶν ἔξω γενόμενον δράξασθαι τινὸς μαχαιρίου, καὶ αὐτὸν ἀνατεμεῖν, ἀπὸ τῶν σφυρῶν ἕως ἐπὶ τοὺς καιρίους τόπους, καὶ οὕτως ἐκλιπεῖν τὸν βίον γελῶντα καὶ σεσηρότα.

Τοῦ δὲ μάντεως ἀποτρέποντος μὴ ἄγειν ἐπὶ τὴν τῶν Ἀργείων πόλιν στράτευμα [3]· τὴν γὰρ ἐπάνοδον αἰσχρὰν γενήσεσθαι· προσελθὼν τῇ πόλει τὰς μὲν πύλας κεκλεισμένας εἶδε, τὰς δὲ γυναῖκας ἐπὶ τῶν τειχῶν· Αὕτη σοι (ἔφη) ἡ ἐπάνοδος αἰσχρὰ φαίνεται εἶναι, ἐν ᾗ τῶν ἀνδρῶν τεθνηκότων αἱ γυναῖκες τὰς πύλας κεκλείκασι;

Πρὸς δὲ τοὺς λοιδοροῦντας αὐτὸν τῶν Ἀργείων, ὡς ἐπίορκον καὶ ἀσεβῆ· Τοῦ μὲν κακῶς λέγειν (ἔφη) ὑμεῖς κύριοι, τοῦ δὲ κακῶς ὑμᾶς ποιεῖν [4], ἐγώ.

Τοῖς δ' ἀπὸ τῆς Σάμου πρέσβεσι παρακαλοῦσιν αὐτὸν Πολυκράτει τῷ τυράννῳ πολεμεῖν, καὶ διὰ τοῦτο μακρολογοῦσιν· Ὧν εἰρήκατε (ἔφη) τὰ μὲν ἐξ ἀρχῆς οὐ μέμνημαι, διὰ τοῦτο δὲ καὶ τὰ μέσα οὐ συνίημι· τὰ δ' ἐπὶ πᾶσιν οὐ δοκιμάζω.

Πειρατοῦ δὲ καταδραμόντος τὴν χώραν, καὶ ὡς ἑάλω, λέγοντος· Ὅτι τροφὴν οὐκ εἶχον τοῖς στρατιώταις παρέχειν, πρὸς τοὺς ἔχοντας οὖν, ἑκοντὶ δ' οὐκ ἂν δόντας, βίᾳ ληψόμενος ἦλθον· ἔφη· Σύντομος ἡ πονηρία.

Φαυ-

1 Turn. & Petav. παρὰ θεοῖς καὶ ἀνθρ.

2 Turn. & Petav. ἀμύνεσθαι. Mox iid. γινόμενοι pro γενόμενον.

3 Turn. & Petav. τὸ στράτευμα.

4 Ald. πονεῖν. Mox Turn. αὐτῷ pro αὐτόν.

Φαύλου δέ τινος κακῶς αὐτὸν λέγοντος· Ἆρα διὰ τοῦτο (ἔφη) πάντας σὺ κακῶς λέγεις, ἵνα ἀπολογούμενοι μὴ εὐκαιρῶμεν περὶ τῆς σῆς κακίας λέγειν.

Τῶν δὲ πολιτῶν τινος λέγοντος, ὅτι τὸν ἀγαθὸν βασιλέα πάντη πάντως [1] πρᾶον εἶναι δεῖ· Οὐκοῦν (ἔφη) ἄχρι τοῦ μὴ εὐκαταφρόνητον εἶναι.

Ἑλκυσθεὶς δὲ νόσῳ μακρᾷ, ἐπεὶ καθάρταις καὶ μάντεσι προσεῖχε, τὸ πρὶν οὐ προσέχων, θαυμάζοντός τινος· Τί θαυμάζεις; (ἔφη) οὐ γάρ εἰμι ὁ αὐτὸς νῦν καὶ τότε· οὐκ ὢν δὲ ὁ αὐτὸς, οὐδὲ τὰ αὐτὰ δοκιμάζω.

Σοφιστοῦ δέ τινος περὶ ἀνδρείας [2] λέγοντος, πλεῖω ἐγέλασε· τοῦ δ' εἰπόντος· Τί γελᾷς, Κλεόμενες, περὶ ἀνδρείας λέγοντος ἀκούων, καὶ ταῦτα βασιλεὺς ὤν; Ὅτι, (ἔφη) ὦ ξένε, καὶ ἡ χελιδὼν εἰ περὶ αὐτῆς ἂν [3] ἔλεγε, τὸ αὐτὸ ἂν ἐποίουν· εἰ δ' ἀετὸς, πολλὴν [4] ἂν εἶχον ἠρεμίαν.

Τῶν δ' Ἀργείων τὴν προτέραν ἧτταν φασκόντων ἀναμαχεῖσθαι· Θαυμάζω, ἔφη, εἰ δύο συλλαβῶν προσθήκῃ νῦν κρείσσονες ἐγένεσθε, ἢ πρόσθεν ἦτε.

Λοιδοροῦντος δέ τινος αὐτὸν, καὶ φήσαντος· Θρυπτικὸς εἶ [5], ὦ Κλεόμενες· Ἀλλὰ κρεῖσσον ἔφη, ἢ ἄδικον εἶναι. σὺ δὲ φιλοχρήματος, καίτοι περισσὰ [6] κεκτημένος.

Ψάλτην δέ τις αὐτῷ βουλόμενος συστῆσαι, τά τ' ἄλλα τὸν ἄνδρα ἐπῄνει, καὶ ψάλτην αὐτὸν ἔφη κράτιστον



1 abest πάντως a Petav.

2 Petav. hoc loco & sequenti ἀνδρίας.

3 R. cum Frft. vitiose ὢν. Correxi.

4 Petav. πολὺν, adjectis hisce: forte χρόνον cum praepositione κατὰ subaudiendo.

5 Pro εἶ Petav. ᾖ.

6 Ald. Bas. Steph. ed. min. καὶ περὶ κακά; Turn. & Petav. καίπερ ἱκανά. Sic Xyl. legit e MS. Proxime sequentem locum Petav. omittit.

σου εἶναι τῶν Ἑλλήνων· ὁ δὲ δείξας τινὰ τῶν πλησίων· Νὴ τὼς θεὼς (ἔφη) ὗτος παρ' ἐμοὶ ψωμοποιός [1].

Μαιάνδρω δὲ, τῶ τῆς Σάμω τυράννω, διὰ τὴν Περσῶν ἔφοδον εἰς Σπάρτην φυγόντος, καὶ ἐπιδείξαντος, ὅσα κεκομίκει χρήματα, χαριζομένω τε, ὅσα βύλεται, ἔλαβε μὲν ὐδὲν, εὐλαβύμενος δὲ, μὴ ἑτέροις τισὶ τῶν ἀςῶν διαδῷ, πορευθεὶς ἐπὶ τὼς ἐφόρως, ἄμεινον ἔφη εἶναι τῇ Σπάρτῃ, τὸν ξένον ἑαυτῶ Σάμιον ἀπαλλάτ]εσθαι τῆς Πελοποννήσω, ἵνα μὴ πείσῃ τινὰ τῶν Σπαρτιατῶν κακὸν [2] γενέσθαι. οἱ δὲ ὑπακύσαντες ἐξεκήρυξαν τὸν Μαίανδρον αὐτῆς ἡμέρας.

Εἰπόντος δέ τινος· Διὰ τί πολεμῶντας ὑμῖν Ἀργείως πολλάκις κρατήσαντες ὐκ ἀνῃρήκατε· Οὐδ' [3] ἀνέλοιμεν, ἔφη, ὡς ἂν γυμναςὰς τοῖς νέοισιν ἔχοιμεν.

Πυνθανομένω δέ τινος αὐτῶ, διὰ τί Σπαρτιᾶται τοῖς θεοῖς ὐκ ἀνατιθέασι τὰ ἀπὸ τῶν πολεμίων σκῦλα· Ὅτι, ἔφη, ἀπὸ δειλῶν ἐςι. τὰ γῦν ἀπὸ τῶν κεκ]ημένων διὰ δειλίαν θηραθέντα, ὔτε τὼς νέως ὁρᾷν καλὸν, ὔτε τοῖς θεοῖς ἀνατιθέναι.

Κλεομένως τῶ Κλεομβρότω. Κλεομένης ὁ Κλεομβρότω, διδόντος αὐτῷ τινος μαχίμως ἀλεκ]ρυόνας, καὶ λέγοντος, ὅτι μαχόμενοι ἀποθνήσκωσι περὶ νίκης· Τῶν κατακ]εινόντων τοίνυν αὐτὼς τινας [4] δός μοι. ἐκεῖνοι γὰρ τύτων ἀμείνως.

Λαβώτα. Λάβωτος [5], μακρολογῶντός τινος, εἶπε· Τί μοι μικρῶν [6] πέρι μεγάλα φροιμιάζῃ; ὅσον γὰρ εἴη πρᾶγμα, τοσῦτον καὶ ὁ λόγος, ᾧ χρῆσαι.

Λεω-

1 Turn. ζωμοποιός.

2 Petav. κακῶν.

3 Petav. Ald. Baſ. poſt h. v. inſerunt ἂν.

4 Reſtitui τινας, quod a Frft. & R. abeſt, e Petav. enotatum.

5 Xyl. e Pauſan. legit Λαβώτας.

6 Sic e MS. legendum monuit Xyl. pro μικρὸν, quod eſt in Ald. & Baſ.

Λεωτυχίδȣ. Λεωτυχίδας ὁ πρῶτος, λέγοντός τινος, ὡς ἐςὶν εὐμετάβολος· Διὰ τȣ̀ς καιρȣ̀ς, ἔφη, ȣ̓χ ὡς ὑμεῖς, διὰ τὴν αὑτῶν κακίαν.

Πρὸς δὲ τὸν ἐρωτῶντα, πῶς ἄν τις μάλιςα διαφυλάσσοι [1] τὰ παρόντα τῶν ἀγαθῶν, εἶπεν· Εἰ μὴ πάντα τῇ τύχῃ πιςεύοι.

Ἐρωτηθεὶς δὲ, τί δεῖ μάλιςα μανθάνειν τȣ̀ς ἐλευθέρȣς παῖδας· Ταῦτ', ἔφη, ὅσ' ἂν [2] αὐτȣ̀ς ὠφελήσειαν ἄνδρας γενομένȣς.

Πυνθανομένȣ δέ τινος, διὰ τίνα αἰτίαν ὀλιγοποτȣ̃σιν οἱ Σπαρτιᾶται, ἔφη· Ἵνα μὴ ἄλλοι ὑπὲρ ἡμῶν βȣλεύωνται, ἀλλ' ἡμεῖς ὑπὲρ ἄλλων.

Λεωτυχίδȣ τȣ̃ Ἀρίςωνος. Λεωτυχίδας ὁ Ἀρίςωνος, πρὸς τὸν εἰπόντα, ὅτι Κακῶς σε οἱ τȣ̃ Δημαράτȣ λέγȣσι· Μὰ τȣ̀ς θεȣ̀ς, ἔφη, ȣ̓ θαυμάζω. καλῶς γὰρ λέγειν ȣ̓δεὶς ἂν αὐτῶν δυνηθείη.

Τῇ δ' ἐγγυτέρω πύλῃ [3] δράκοντος περὶ τὴν κλεῖν ἑλιχθέντος, καὶ τῶν μάντεων τέρας ἀποφαινομένων εἶναι· Οὔ τι ἔμοιγ', ἔφη, δοκεῖ, ἀλλ' εἰ ἡ [4] κλεὶς τῷ δράκοντι περιειλίχθη, τέρας ἂν ἦν.

Πρὸς Φίλιππον, τὸν ὀρφεωτελεςὴν, παντελῶς πτωχὸν ὄντα, λέγοντα δ', ὅτι οἱ παρ' αὐτῷ μυηθέντες [5] μετὰ τὴν τȣ̃ βίȣ τελευτὴν εὐδαιμονȣ̃σι· Τί ȣ̓̃ν, ὦ ἀνόητε, εἶπεν, ȣ̓ τὴν ταχίςην ἀποθνήσκεις, ἵνα ἀναπαύσῃ κακοδαιμονίαν τε [6] καὶ πενίαν κλαίων;



1 Petav. διαφυλάσσῃ; uti paulo ante αὑτῶν pro αὐτῶν.

2 Petav. ταῦτ' ἔφ ὅσα ἂν.

3 Xyl. ad haec: „quid fit ἡ ἐγγυτέρω πύλη, non facile dixerim.“ Simile eſt apud Tullium de divinatione.

4 abeſt ἡ a Petav. Idem mox ὀρφεοτελεςὴν.

5 Turn. & Petav. παρ' αὐτὸν μυηθέντες.

6 abeſt τε a Petav. item ab Ald. & Baſ. Pro praeced. ἀναπαύσῃ W. mavult παύσῃ.

Λέοντος τȣ̃ Εὐρυκρατίδα [1]. Λέων ὁ Εὐρυκρατίδα, ἐρωτηθεὶς, ποίαν τις ἂν πόλιν οἰκήσας ἀσφαλῶς οἰκοίη. Ὅπȣ, ἔφη, μήτε πλείω, μήτ' ἐλάσσονα, κεκτήσονται οἱ ἐνοικȣ̃ντες· καὶ ὅπȣ τὸ μὲν δίκαιον ἰσχύσει, τὸ δ' ἄδικον ἀσθενὲς ἔσαι.

Ὁρῶν δὲ τȣ̀ς ἐν Ὀλυμπίᾳ δρομεῖς σπȣδάζοντας περὶ τὴν ἄφεσιν, ἵνα πλεονεκτήσωσιν· Ὅσῳ μᾶλλον, ἔφη, οἱ δρομεῖς σπȣδάζȣσι περὶ τῆς ταχυτῆτος, ἢ περὶ τῆς δικαιοσύνης;

Ἀκκίρως δέ τινος περὶ πραγμάτων ȣ̓κ ἀχρήςων διαλεχθέντος· Ὦ ξένε, εἶπεν, ȣ̓κ ἐν δέοντι χρῇ [2] τῷ δέοντι.

Λεωνίδȣ τȣ̃ Ἀναξανδρίδα. Λεωνίδας ὁ Ἀναξανδρίδα, ἀδελφὸς δὲ [3] Κλεομένȣς, πρός τινα εἰπόντα· Πλὴν τȣ̃ βασιλεύειν ἡμῶν ȣ̓δὲν διαφέρεις· Ἀλλ' ȣ̓κ ἄν, (ἔφη) εἰ μὴ βελτίων ὑμῶν ἤμην, ἐβασίλευον.

Τῆς δὲ γυναικὸς αὐτȣ̃, Γοργȣ̃ς, πυνθανομένης, ὅτε εἰς Θερμοπύλας ἐξῄει τῷ Πέρσῃ μαχȣ́μενος, εἴ τι αὐτῇ ἐντέλλεται, ἔφη· Ἀγαθοῖς γαμεῖσθαι καὶ ἀγαθȣ̀ τίκτειν.

Λεγόντων δὲ τῶν ἐφόρων, ὀλίγȣς ἄγειν αὐτὸν εἰς Θερμοπύλας, ἔφη· Πολλοὶ [4] πρὸς ἣν βαδίζομεν πρᾶξιν.

Πάλιν δ' αὐτῶν εἰπόντων· Μήτι ἕτερόν τι [5] διέγνωκας ποιεῖν; Τὰς παρόδȣς τῶν βαρβάρων κωλύειν, τῷ λόγῳ, ἔφη, τῷ δ' ἔργῳ, ἀποθανȣ́μενος ὑπὲρ τῶν Ἑλλήνων.

Γε-

1 Ald. Steph. Frft. Εὐρυκρατίδας. E Petav. enotatur Εὐρυκρατίδα. Baf. Εὐρυκρατίδδȣ. W. receptam dediffe fe monet ex Venet. & P. quam tamen jam Mait. & R. habuerunt.

2 Petav. χρή.

3 abeft δὲ a Petav. Mox idem ἐξίει pro ἐξῄει; nec non ἐντέλλεται. & ἀγαθεῖς pro ἐντέλλ. & ἀγαθοῖς.

4 πολλοὶ a Petav. Ald. Baf. Steph. ed. min. abeft. Turn. πολλȣ̀ς.

5 abeft τι a Petav.

Γενόμενος δ' ἐν Θερμοπύλαις, πρὸς τὰς συστρατιώτας εἶπε· Λέγοντι, τὸν βάρβαρον ἐγγὺς γενόμενον, ἄμμε δὲ χρονοτριβέειν· ἤδη γὰρ ἥκαμες [1] τὰς βαρβάρως, ἢ αὐτοὶ τεθνάναι μέλλομες.

Λέγοντος δέ τινος· Ἀπὸ τῶν οἰστευμάτων τῶν βαρβάρων ἐδὲ τὸν ἥλιον ἰδεῖν ἐστιν· Οὐκῦν, ἔφη, χάριεν, εἰ ὑπὸ σκιὰν αὐτοῖς μαχεσόμεθα [2].

Ἄλλε δ' εἰπόντος· Πάρεισιν ἐγγὺς ἡμῶν [3]. Οὐκῦν, ἔφη, καὶ ἡμεῖς αὐτῶν ἐγγύς.

Εἰπόντος δέ τινος· Πρὸς πολλὰς, ὦ Λεωνίδα, μετ' ὀλίγων διακινδυνεύσων ὕτω πάρει [4]; Εἰ μὲν οἴεσθέ με, ἔφη, τῷ πλήθει, ἐδὲ ἡ πᾶσα Ἑλλὰς ἀρκεῖ. βραχεῖα γὰρ μοῖρα τῶ ἐκείνων πλήθυς ἐστίν· εἰ δὲ ταῖς ἀρεταῖς, καὶ ὗτος ὁ ἀριθμὸς ἱκανός.

Ἄλλε δὲ τὰ αὐτὰ λέγοντος· Καὶ μὴν, εἶπε, πολλὰς ἐπάγομαι ὡς ἀποθανεμένας [5].

Ξέρξε δὲ γράψαντος αὐτῷ· Ἔξεστί σοι, μὴ θεομαχῦντι, μετ' ἐμῦ δὲ τασσομένῳ [6], τῆς Ἑλλάδος μοναρχεῖν· ἀντέγραψεν· Εἰ τὰ καλὰ τῦ βίε γινώσκοις, ἀπέστης ἂν τῆς τῶν ἀλλοτρίων ἐπιθυμίας. ἐμοὶ δὲ κρείσσων ὁ ὑπὲρ τῆς Ἑλλάδος θάνατος τῦ μοναρχεῖν τῶν ὁμοφύλων.

Πάλιν δὲ τῦ Ξέρξε γράψαντος· Πέμψον τὰ ὅπλα, ἀντέγραψε· Μολὼν λάβε.

O 5 Βελο-

1 Hunc locum Raph. Reg. non vertit. Xyl. eum mutilum censet, & susp. aut legendum ἤδη γὰρ ἢ κτανέειν sive κτάνειν (*interficere*) τὰς βαρβάρας, aut ἥκομες ὡς τὰς &c. *nunc ita prope ad barbaros accessimus, ut eo simus loco, quo moriendum est.* Turn. pro ἥκαμες dat ἥκέμεν. Pro ἢ edd. priores omnes ἒ; Maitt. W. & R. ἢ.

2 Turn. μαχησόμεθα.

3 abest ἡμῶν a Petav.

4 Omittit Petav. quae sequuntur usque ad βραχεῖα. Pro μοῖρα idem μεῖρα.

5 Petav. ἀποθανομένας.

6 Turn. τασσαμένε; Petav. τασσομένω.

Βϐλομένϐ δ' αὐτῦ ἤδη τοῖς πολεμίοις ἐπιτίθεϑαι, οἱ πολέμαρχοι πρὸς αὐτὸν ἔφασαν, ὅτι δεῖ προσμένειν αὐτὸν τὰς ἄλλϐς συμμάχϐς. Οὐ γὰρ (ἔφη) πάρεισιν οἱ μάχεϑαι μέλλοντες; ἢ ὐκ ἴσε, ὅτι μόνοι πρὸς τὰς πολεμίϐς μάχονται οἱ τὰς βασιλέας αἰδϐμενοι καὶ φοβϐμενοι; Τοῖς δὲ ςρατιώταις παρήγγειλεν ἀρισοποιεῖϑαι, ὡς ἐν ᾅδϐ δειπνοποιησομένϐς [1]. Ἐρωτηϑεὶς δὲ, διὰ τί οἱ ἄρισοι τὸν ἔνδοξον ϑάνατον τῆς ἀδόξϐ προκρίνϐσι ζωῆς· Ὅτι, ἔφη, τὸ μὲν τῆς φύσεως ἴδιον, τὸ δὲ αὐτῶν [2] εἶναι νομίζϐσιν.

Τὰς δ' ἠϊϑέϐς βϐλόμενος σῶσαι, καὶ ἐπισάμενος ἄντικρυς ὐκ ἀνεξομένϐς, σκυτάλας δὺς καϑ' ἕνα αὐτῶν πρὸς τὰς ἐφόρϐς ἔπεμψε. καὶ τῶν τελείων δὲ τρεῖς ἐβϐλήϑη διασῶσαι· οἱ δὲ συννοήσαντες ὐκ ἠνέχοντο λαβεῖν τὰς σκυτάλας. ὧν [3] ὁ μὲν εἶπεν· Οὐ κῆρυξ, ἀλλὰ μαχητὰς, ἀκολϐϑησα. ὁ δὲ δεύτερος· Αὐτϐ μένων, κρείσσων ἂν εἴην [4]· ὁ δὲ τρίτος· Οὐχ ὕςερος τϐτων, πρῶτος δὲ μαχήσομαι.

Λοχαγϐ. Λοχαγὸς, ὁ Πολυαινίδϐ καὶ Σείρωνος πατὴρ, ἀπαγγείλαντός τινος αὐτῷ, ὅτι τῶν υἱῶν τεϑνήκει ὁ ἕτερος· Πάλαι ᾔδειν, ἔφη, ὅτι ἀποϑανεῖν αὐτὸν ἔδει.

Λυκϐργϐ. Λυκϐργος, ὁ νομοϑέτης, βϐλόμενος ἐκ τῆς προϋπαρχϐσης διαίτης τὰς πολίτας εἰς σωφρονεςέραν [5] βίϐ τάξιν μετάγειν, καὶ καλοκαγαϑικὰς ἀπεργάζεϑαι, (ἁβροδίαιτοι γὰρ ἦσαν) δύο σκύλακας ἀνέϑρεψε τϐ αὐτϐ πατρὸς καὶ μητρὸς γενομένϐς· καὶ τὸν μὲν εἴϑισε περὶ λιχνείας, οἴκοι ἐάσας· τὸν δ' ἐπαγόμενος ἤσκησε περὶ κυνηγέσια. ἔπειτ' ἀγαγὼν εἰς τὴν ἐκκλη-

1 Turn. & Petav. δαπνησομένϐ.
2 Petav. αὐτόν. Idem mox συνοήσαντες pro συννοήσ.
3 Turn ᾧ ὁ μὲν; idem mox μαχατὰς pro μαχητάς.
4 Ald. Bas. Petav. εἴη.
5 Petav. σωφρονεςέρας. Mox idem cum Turn. ἔϑισε pro εἴϑ.

ἐκκλησίαν, ἔθηκεν ἀκάνθας καὶ λιχνείας τινὰς [1], ἀφῆκε δὲ καὶ λαγών· ἐπὶ τὰ συνήθη δ' ἑκατέρου ὁρμήσαντος, καὶ θατέρου τὸν λαγὼν χειρωσαμένου, εἶπεν· Ὁρᾶτε, ὦ πολῖται, ὅτι ταυτοῦ γένους ὑπάρχοντες, ἐν τῇ τοῦ βίου ἀγωγῇ παρὰ πολὺ ἀλλήλων διάφοροι ἀπέβησαν. καὶ ποιητικωτέρα τῆς φύσεως ἡ ἄσκησις πρὸς τὰ καλὰ τυγχάνει; Τινὲς δέ [2] φασιν, ὡς οὐ παρῆγε σκύλακας, οἳ ἐκ τῶν αὐτῶν γεγονότες ἐτύγχανον, ἀλλ' ὁ μὲν ἐξ οἰκουρῶν, ἕτερος δὲ κυνηγετῶν [3]. κἄπειτα τὸν μὲν ἐκ τοῦ χείρονος γένους πρὸς τὰ κυνηγέσια ἤσκησε, τὸν δ' ἐκ τοῦ ἀμείνονος περὶ λιχνείας μόνον ἤσκησεν· εἶθ' ἑκατέρου [4], ἐφ' ἃ εἴθιστο, ὁρμήσαντος, φανερὸν ποιήσας, ὅσον ἡ ἀγωγὴ πρὸς τὰ ἀμείνω καὶ χείρω συλλαμβάνεται, εἶπεν· Οὐκοῦν καὶ ἡμᾶς, ὦ πολῖται, οὐδὲν ἡ παρὰ τοῖς πολλοῖς θαυμαζομένη εὐγένεια, καὶ τὸ ἀφ' Ἡρακλέους εἶναι, ὀνίνησιν, εἰ μὴ πράττομεν, δι' ἃ ἐκεῖνος ἁπάντων ἀνθρώπων ἐπιδοξότερος καὶ εὐγενέστερος ἐφάνη, ἀσκούμενοι καὶ μανθάνοντες καλὰ δι' ὅλου τοῦ βίου.

Ἀναδασμὸν δὲ τῆς γῆς ποιήσας, καὶ ἅπασιν ἴσον κλῆρον τοῖς πολίταις νείμας, λέγεται ὕστερόν ποτε χρόνῳ τὴν χώραν διερχόμενος ἐξ ἀποδημίας ἄρτι τεθερισμένην [5], ἰδὼν τοὺς σωροὺς κειμένους παρ' ἀλλήλους καὶ ὁμαλοὺς, ἡσθῆναι, καὶ μειδιάσαντα εἰπεῖν πρὸς τοὺς παρόντας,

1 Xyl. vertit: *quibusdam gulae irritamentis*, adnotans se nondum didicisse, quibus carduis spinisve libenter vescerentur canes. Raph. Reg. exprimit *spinas*. Si quid suspicari licet, in voce ἀκάνθας latere mihi videtur vox τενθεία, loco huic maxime conveniens. Suid. τενθεία. συναμωρία. λιχνότης — γαστριμαργία. Cf. quoque Hesych. in v. τένθαι, τένθας. In libello de *educ. lib.* (Vol. VII. pag. 9.) τὸν μὲν ἀπέφηνε λίχνον καὶ σινάμωρον. Lego hinc: ἔθηκε τὰ sive τινὰ τῆς τενθείας καὶ λιχνείας.

2 abest δὲ a Petav. nec non ab eod. Ald. Bas. mox seq. ὡς.

3 Rectius, W. judice, δ' ἐκ κυνηγετικῶν, quorum illud addit Venet. hoc habet Jun.

4 Sic cum W. dedi e Voss. Turn. Petav. Vulgo ἑκάστου.

5 Ald. Bas. θερισμένην.

ὄντας, ὡς ἡ Λακωνικὴ Φαίνεται πᾶσα πολλῶν ἀδελφῶν εἶναι νεωςὶ νενεμημένων.

Καὶ τῶν χρεῶν δ' ἀποκοπὰς εἰσηγησάμενος, ἐπεχείρησε καὶ τὰ κατ' οἶκον ὄντα πάντα [1] ἐξ ἴσε διαιρεῖν, ὅπως παντάπασιν ἐξέλοι τὸ ἄνισον καὶ ἀνώμαλον. ἐπεὶ δὲ χαλεπῶς ἑώρα προσδεξομένες τὴν ἄντικρυς ἀΦαίρεσιν, τό τε χρυσῦν καὶ ἀργυρῦν νόμισμα ἠκύρωσε, μόνῳ δὲ τῷ σιδηρῷ [2] προσέταξε χρῆσθαι· καὶ μέχρις ἦ δεῖ ἔχειν τὴν ὅλην ὕπαρξιν πρὸς ἀμοιβὴν τέτε, περιώρισε. τέτε δὲ γενομένε, ἐξέπεσε τῆς Λακεδαίμονος ἀδικία πᾶσα. ὄτε γὰρ κλέπτειν, ὄτε δωροδοκεῖν, ὄτ' ἀποςερεῖν, ἢ ἁρπάζειν, ἔτι ἠδύνατό τις, ὃ μήτε καταχρύψαι δυνατὸν ἦν, μήτε κτήσαθαι ζηλωτὸν, μήτε χρήσαθαι ἀκίνδυνον, μήτ' ἐξάγειν, ἢ ἐπάγειν ἀσΦαλές. Πρὸς δὲ τέτοις καὶ ἁπάντων τῶν περισσῶν ξενηλασίαν ἐποιήσατο. διὸ ὄτ' ἔμπορος, ὄτε σοΦιςὴς, ὄτε μάντις, ἢ ἀγύρτης, ὄτε τῶν κατασκευασμάτων δημιεργὸς εἰσῄει εἰς τὴν Σπάρτην. ὀδὲ γὰρ νόμισμα παρ' αὐτοῖς εὔχρηςον εἴασε, μόνον δὲ τὸ σιδηρῦν εἰσηγήσατο, ὃ ἐςι μνᾶ ὁλκῇ [3] Αἰγιναία, δυνάμει δὲ χαλκοὶ τέσσαρες.

Ἐπιθέσθαι δὲ τῇ τρυΦῇ καὶ τὸν ζῆλον ἀΦελέσθαι τῦ πλέτε διανοηθεὶς, τὰ συσσίτια εἰσηγήσατο. πρὸς γῦν τὲς ἐπιζητῦντας, διὰ τί ταῦτα συνεςήσατο, καὶ μεθ' ὅπλων κατ' ὀλίγες τὲς πολίτας διῄρηκεν· Ὅπως (εἶπεν) ἐξ ἑτοίμε τὰ παραγγελλόμενα δέχωνται· καὶ ἐάν τι νεωτερίζωσιν, ἐν ὀλίγοις ᾖ τὸ ἀμπλάκημα· ἰσομοιρία τε τῆς τροΦῆς καὶ πόσεως ᾖ, καὶ μήτε πόσει τινὶ,

1 Restitui πάντα ex Ald. Bas. Steph. ed. min. simul e Petav. enotatum, pro volg. πάντας; quod ex Steph. ed. opp. univ. in reli. transiit. Etiam W. id dedisse se monet ex H J. Voss. P.

2 Accentu sic posito dedi e Petav. Sic quoque in Vit. Lyc. T. I. p. 105. Vulgo σιδήρῳ. Steph. ed. min. dubie inter utrumque σιδηρῷ.

3 Petav. Ald. Bas. ὁλκή.

τινὶ, ἢ βρώσει, ἀλλὰ μηδὲ ϛρωμνῇ [1], ἢ σκεύεσιν, ἢ ἄλλῳ τινὶ τὸ σύνολον, πλέον ἔχῃ ὁ πλέσιος τῦ πένητος.

Ἄζηλον δὲ ποιήσας τὸν πλῦτον, ὐδενὸς ὐδὲ [2] χρῆσθαι, ὐδὲ ἐπιδεῖξαι δυναμένυ, ἔλεγε πρὸς τὺς συνήθεις· Ὡς καλόν ἐϛιν, ὦ ἑταῖροι, διὰ τῶν ἔργων ἐπιδεῖξαι τὸν πλῦτον, ὁποῖός ἐϛι τῇ ἀληθείᾳ, ὅτι τυφλός.

Παρεφύλαξε δὲ, ὥϛε μηδ' οἴκοι προδειπνήσαντας ἐξεῖναι βαδίζειν ἐπὶ τὰ συσσίτια, πεπληρωμένυς ἑτέρων ἐδεσμάτων, ἢ πομάτων. ἐκάκιζον δὲ οἱ λοιποὶ τὸν μὴ πιόντα, ἢ φαγόντα μετ' αὐτῶν, ὡς ἀκρατῆ καὶ πρὸς τὴν κοινὴν ἀπομαλακιζόμενον δίαιταν. ἐζημιῦτο δὲ καὶ ὁ φανερὸς γενόμενος. Ἄγιδος ὖν μετὰ πολὺν χρόνον τῦ βασιλέως ἐπανελθόντος [3] ἀπὸ ϛρατείας (καταπεπολεμήκει δ' Ἀθηναίοις) βυλομένυ παρὰ τῇ γυναικὶ μιᾷ ἡμέρᾳ δειπνῆσαι, καὶ μεταπεμπομένυ τὰς μερίδας, ὐκ ἔπεμψαν οἱ πολέμαρχοι· μεθ' ἡμέραν δὲ φανερῦ γενομένυ τοῖς ἐφόροις, ἐζημιώθη ὑπ' αὐτῶν.

Πρὸς ὖν τὰ τοιαῦτα τῶν νομοθετημάτων χαλεπήναντες οἱ εὔποροι [4], ἐπισυνέϛησαν, καὶ ἐβλασφήμυν αὐτὸν, καὶ ἔβαλον, καταλεῦσαι βυλομενοι. διωκόμενος δὲ [5] διέπεσε διὰ τῆς ἀγορᾶς· καὶ τὺς μὲν ἄλλυς ἔφθασεν εἰς τὸ ἱερὸν τῆς χαλκιοίκυ Ἀθηνᾶς καταφυγών· Ἄλκανδρος δ' ἐπιϛραφέντος αὐτῦ διώκων, τῇ βακτηρίᾳ τὸν ὀφθαλμὸν ἐξέκοψεν αὐτῦ. τῦτον δὲ κοινῷ δόγματι παραλαβὼν ἐπὶ τιμωρίᾳ, ὔτε κακῶς διέθηκεν, ὔτ' ἐμέμ-

1 Petav. ϛρωμνὴν, & mox ἄλλο.

2 Petav ὐδενὸς δὲ χρ.

3 Tu n & Petav. ἐπελθόντος. Mox Petav. Ἀθηναίυς cum Ald. & Baf.

4 Recepi fic cum W. ex Lyc. Vit. l. c. p. 108. adfentientibus J. Collat. Mur. Mez Raph. & Xyl. verfionibus. E Turn. porro pro ἐπισυνέϛ. notatur: forfan ἐπεισυνέϛησαν. Pro ἔβαλον Petav. ἔβαλλον cum Ald. & Baf.

5 abeft δὲ a Turn.

ἐμέμψατο, συνδιαιτώμενον δ' ἔχων, ἀπέδειξεν [1] ἐπαινέτην αὐτȣ͂ τε καὶ τῆς διαίτης, ἣν εἶχε σὺν αὐτῷ, καὶ καθόλȣ τῆς ἀγωγῆς ἐραστήν. τȣ͂ δὲ πάθȣς ὑπόμνημα ἱδρύσατο ἐν τῷ τῆς χαλκιοίκȣ τεμένει ἱερὸν Ἀθηνᾶς, ὀπτιλλέτιν προσαγορεύσας [2]. τȣ̀ς γὰρ ὀφθαλμȣ̀ς ὀπτίλλȣς οἱ τῇδε Δωριεῖς λέγȣσιν.

Ἐρωτηθεὶς δὲ, διὰ τί ȣ̓κ ἐχρήσατο νόμοις ἐγγράφοις· Ὅτι (ἔφη) οἱ πεπαιδευμένοι καὶ ἀχθέντες τῇ προσηκέσῃ ἀγωγῇ τὸ τȣ͂ καιρȣ͂ χρήσιμον δοκιμάζȣσι.

Πάλιν δ' ἐπιζητȣ́ντων τινῶν, διὰ τί ὀροφὴν ἀπὸ πελέκεως ταῖς οἰκίαις ἐπιτιθέναι προσέταξε, θύραν δ' ἀπὸ πρίονος μόνȣ καὶ μηδενὸς τῶν ἄλλων ἐργαλείων· Ὅπως ἂν, ἔφη, μετριάζοιεν οἱ πολῖται περὶ πάντα, ὅσα εἰς τὴν οἰκίαν εἰσάγȣσι, καὶ μηδὲν τῶν παρ' ἄλλοις [3] ζηλȣμένων ἔχωσιν.

Ἐκ δὲ ταύτης τῆς συνηθείας φασὶ καὶ Λεωτυχίδην τὸν πρῶτον βασιλέα δειπνȣ͂ντα παρά τινι, καὶ θεασάμενον [4] τῆς ςέγης τȣ͂ οἴκȣ τὴν παρασκευὴν πολυτελῆ καὶ φατνωματικὴν, ἐρωτῆσαι [5] τὸν ξένον, εἰ τετράγωνα παρ' αὐτοῖς ξύλα φύεται.

Ἐρωτηθεὶς δὲ, διὰ τί ἐκώλυσεν ἐπὶ τȣ̀ς αὐτȣ̀ς πολεμίȣς πολλάκις ςρατεύεσθαι, ἔφη· Ἵνα μὴ πολλάκις ἀμύνεσθαι συνεθιζόμενοι, ἔμπειροι πολέμȣ γένωνται. Διὸ καὶ Ἀγησιλάȣ [6] ἔγκλημα ȣ̓ βραχὺ ἔδοξεν εἶναι, ταῖς εἰς τὴν Βοιωτίαν συνεχέσιν εἰσβολαῖς καὶ ςρατείαις τȣ̀ς

1 Dedi ſic cum W. e Turn. Petav. Voſſ. Xyl. MS. pro vulg. ἐπίδειξιν.

2 Petav. προσηγόρευσας, & mox ὀπίλλȣς pro ὀπτίλλȣς.

3 Turn. & Petav. παρ' ἄλλων.

4 Turn. & Petav. θεασάμενος.

5 Petav. Ald. Baſ. ἠρώτησε. Xyl. corrigendum monuit.

6 Petav. Ald. Baſ. Ἀγησιλάῳ. Idem habet ed. min. Steph. ſimul tamen κατασκευάσαντι in fine loci. In verſione Raph. Regii repetuntur hoc loco, quae jam ſupra ab Antalcida hanc in rem dicta ſunt commemorata.

τὰς Θηβαίας ἀντιπάλας Λακεδαιμονίοις κατασκευάσαντος.

Ἄλλα δ' ἐπιζητοῦντος, διὰ τί σώματα τῶν παρθένων δρόμοις καὶ πάλαις καὶ βολαῖς δίσκων καὶ ἀκοντίων διεπόνησεν· Ἵν' (ἔφη) ἡ τῶν γεννωμένων [1] ῥίζωσις, ἰσχυρὰν ἐν ἰσχυροῖς σώμασιν ἀρχὴν λαβοῦσα, καλῶς βλαστάνῃ· αὐταί τε μετὰ ῥώμης τοὺς τόκους ὑπομένουσαι, ῥαδίως τε ἅμα καὶ καλῶς ἀγωνίζωνται πρὸς τὰς ὠδῖνας· καὶ εἴ τις ἀνάγκη γένοιτο, δύνωνται ὑπὲρ αὐτῶν καὶ τέκνων καὶ τῆς πατρίδος μάχεσθαι.

Μεμφομένων δέ τινων τὴν γύμνωσιν τῶν παρθένων ἐν ταῖς πομπαῖς, καὶ τὴν αἰτίαν ζητούντων· Ἵν' (ἔφη) τὰ αὐτὰ τοῖς ἀνδράσιν ἐπιτηδεύουσαι, μηδὲν μεῖον ἔχωσι μήτε κατὰ σώματος ἰσχὺν καὶ ὑγείαν, μήτε κατὰ ψυχῆς φιλοτιμίαν καὶ ἀρετήν· δόξης δὲ τῆς παρὰ τοῖς πολλοῖς ὑπερφρονῶσιν. ὅθεν καὶ περὶ Γοργοῦς ἱστορεῖται, τῆς Λεωνίδου γυναικός, τοιοῦτον. εἰπούσης γάρ τινος (ὡς ἔοικε) ξένης πρὸς αὐτήν, ὡς Μόναι τῶν ἀνδρῶν ἄρχετε ὑμεῖς αἱ Λάκαιναι, ἀπεκρίνατο· Μόναι γὰρ ἡμεῖς ἄνδρας τίκτομεν.

Εἴρξας δὲ τοὺς ἀγάμους τῆς ἐν ταῖς γυμνοπαιδίαις θέας, καὶ ἀτιμίαν προθείς, πολλὴν πρόνοιαν ἐποιήσατο τῆς παιδοποιίας· τιμῆς δὲ καὶ θεραπείας, ἣν νέοι πρεσβυτέροις παρεῖχον, ἐστέρησε [2]. Καὶ τὸ πρὸς Δερκυλλίδαν ῥηθὲν οὐδεὶς ἐμέμψατο, καίπερ εὐδόκιμον ὄντα στρατηγόν. ἐπιόντι γὰρ αὐτῷ τῶν νεωτέρων τις οὔδρας ἐχ ὑπεῖξεν, εἰπών· Οὐδὲ γὰρ ἐμοὶ σὺ [3] τὸν ὑπείξοντα ἐγέννησας.

Πυνθανομένου δέ τινος, διὰ τί τὰς κόρας ἐνομοθέτησεν ἀπροίκους ἐκδίδοσθαι· Ὅπως, ἔφη, μήτε δι' ἐν-

1 Petav. γινομένων. Post seq. ἰσχυρὰν Turn. & Petav. inserunt καί. Infra Petav. ἀγωνίζωνται, & ὑπὲρ αὐτῶν.

2 Deesse τοὺς ἀγάμους, aut tale quid, Xyl. monet.

3 Petav. σε, & mox σπουδάζοντα.

ἔνδειαν ἄγαμοί τινες ἐαθῶσι, μήτε διὰ περιουσίαν σπουδάζωνται, ἕκαστος δ' εἰς τὸν τρόπον τῆς παιδὸς ἀφορῶν, ἀρετῇ τὴν αἵρεσιν ποιῶνται. διὰ τοῦτο δὲ καὶ τὸν καλλωπισμὸν τῆς πόλεως ἀπήλασεν.

Ὁρίσαντος δ' αὐτοῦ καὶ τὸν χρόνον τῶν τε γαμουμένων καὶ τῶν γαμούντων, πρὸς τὸν ζητοῦντα [1]. Ἵν' (ἔφη) τὰ γεννώμενα ἰσχυρὰ ᾖ ἐκ τελείων γεννώμενα.

Πρὸς δὲ τὸν θαυμάζοντα, διότι τὸν γεγαμηκότα ἀπεῖρξε μὴ συγκοιμᾶσθαι τῇ γεγαμημένῃ, προσέταξε δὲ τὸ πλεῖστον τῆς ἡμέρας συνεῖναι τοῖς ἡλικιώταις, καὶ τὰς νύκτας ὅλας συναναπαύεσθαι, τῇ δὲ νύμφῃ κρύφα καὶ μετ' εὐλαβείας συνεῖναι· Ὅπως, ἔφη, καὶ τοῖς σώμασιν ἰσχυροὶ ὦσι, διακορεῖς μὴ γενόμενοι, καὶ τῷ φιλεῖν ἀεὶ καινοὶ ὑπάρχωσι, καὶ τὰ ἔγγονα [2] ἐρρωμενέστερα παρέχωσι.

Καὶ τὸ μὲν μύρον ἐξήλασεν [3], ὡς τοῦ ἐλαίου φθορὰν καὶ ὄλεθρον. τὴν δὲ βαφικὴν, ὡς κολακείαν αἰσθήσεως.

Πᾶσι δὲ τοῖς περὶ τὸν τοῦ σώματος καλλωπισμὸν δημιουργοῖς ἀνεπίβατον ἐποίησε τὴν Σπάρτην, ὡς διὰ τῆς κακοτεχνίας τὰς τέχνας λυμαινομένοις.

Τοσαύτη δ' ἦν κατ' ἐκείνους τοὺς χρόνους σωφροσύνη τῶν γυναικῶν, καὶ τοσοῦτον ἀπεῖχε τῆς ὕστερον περὶ αὐτὰς εὐχερείας, ὡς πρότερον ἄπιστον εἶναι τὸ τῆς μοιχείας παρ' αὐταῖς. καὶ λόγος απομνημονεύεται Γεραδάτα τινὸς Σπαρτιάτου τῶν σφόδρα παλαιῶν, ὃς ἐρωτηθεὶς ὑπὸ ξένου, τί πάσχουσιν οἱ μοιχοὶ παρ' αὐτοῖς, οὐδὲν γὰρ ὁρᾶν περὶ τούτων [4] νενομοθετημένον ὑπὸ Λυκούργου·

εἶπεν·

1 Etiam hoc loco deesse τὴν αἰτίαν, Xyl. monet. Pro seq. γεννώμ. Petav. γενόμενα. Voluisse videtur γεννόμενα, quod est in Ald. & Bas.

2 Petav. A d Bas ἔκγονα.

3 Ald. Bas. Steph. ed. min. Frst. ἐξέλασεν. Hinc in ind. Var. * Turn. enotatur ἐξήλασεν.

4 Ald. Bas. Steph utraque Petav. ταῦτα. Frst. dedit τούτων, quod ipse W. retinuit.

εἶπεν· Οὐδεὶς, ὦ ξένε, γίνεται μοιχὸς παρ' ἡμῖν. ἐκείνου δὲ ὑπολαβόντος· Ἂν δὲ γένηται, ταῦρον [1] ἔφη ὁ Γεραδάτας· Πῶς ἄν, ἔφη, μοιχὸς ἐν Σπάρτῃ γένοιτο, ἐν ᾗ πλοῦτος μὲν καὶ τρυφὴ καὶ καλλωπισμὸς ἀτιμάζονται [2], αἰδὼς δὲ καὶ εὐκοσμία καὶ τῶν ἡγουμένων πειθὼ πρεσβεύονται;

Πρὸς δὲ τὸν ἀξιοῦντα δημοκρατίαν ἐν τῇ πόλει καταστήσασθαι ὁ Λυκοῦργος εἶπε· Σὺ πρῶτος ἐν τῇ οἰκίᾳ σου ποίησον δημοκρατίαν.

Πυνθανομένου δέ τινος, διὰ τί μικρὰς οὕτω καὶ εὐτελεῖς ἔταξε τὰς θυσίας· Ὅπως (ἔφη) μηδέποτε τιμῶντες τὸ θεῖον διαλείπωμεν [3]. Μόνα δὲ ταῦτα τῶν ἀθλημάτων ἐφέντος αὐτοῦ τοῖς πολίταις ἀγωνίζεσθαι, ὅπου ἡ χεὶρ οὐκ ἀνατείνεται, ἐπύθετό τις τὴν αἰτίαν· ὁ δέ· Ὅπως, εἶπε, μηδεὶς αὐτῶν ἐν τῷ πονεῖν ἀπαυδᾷν ἐθίζηται.

Ἐρωτῶντος δέ τινος, διὰ τί πυκνὰ μεταστρατοπεδεύειν κελεύει· Ὅπως, εἶπε, πλείω τοὺς ἐχθροὺς βλάπτοιμεν [4].

Ἄλλου δ' ἐπιζητοῦντος, διὰ τί πυργομαχεῖν ἀπεῖπε· Ἵνα, ἔφη, μὴ ὑπὸ γυναικὸς, ἢ παιδὸς, ἤ τινος παραπλησίου ἀνθρώπου, οἱ ἀμείνονες ἀποθνήσκωσιν.

Τοῖς δὲ συμβουλευομένοις τῶν Θηβαίων περὶ τῆς ἱερουργίας καὶ τοῦ πένθους, ἣν ποιοῦνται τῇ Λευκοθέᾳ, συνεβούλευσεν, εἰ μὲν θεὸν ἡγοῦνται, μὴ θρηνεῖν· εἰ δ' ἄνθρωπον, μὴ ἱερουργεῖν ὡς θεῷ.

Πρὸς δὲ τοὺς ἐπιζητοῦντας τῶν πολιτῶν· Πῶς ἂν πολε-

1 Bene W. monet, ταῦρον ἔφη veram esse lectionem, & reliquam dicti partem excidisse, obviam in Lyc. Vit. l. c. p. 119. & a Xyl. hic loci in versione receptam. Paulo ante pro ἐκείνου Turn. & Petav. ἐκείνῳ.

2 Turn. & Petav. ἀτιμάζεται.

3 Petav. διαλείπομεν. Mox id. ἐν τῷ πον. pro ἐν τῷ π.

4 Turn. & Petav. βλάπτοιεν.

πολεμίων ἔφοδον ἀλεξοίμεθα; Ἐὰν πτωχοί, ἔφη, ἦτε, καὶ μὴ μεῖζον ἅτερος θατέρου ἐρεείνῃ [1].

Καὶ πάλιν ἐπιζητούντων περὶ τειχῶν, οὐκ ἔφη πόλιν εἶναι ἀτείχιστον, ἥτις ἀνδράσι καὶ οὐ πλίνθοις ἐστεφάνωται.

Ἐπεμέλοντο [2] δὲ οἱ Σπαρτιάται καὶ τῆς κόμης, ἀπομνημονεύοντες τινὰ Λυκούργου λόγον περὶ τούτου, ὅτι τοὺς μὲν καλοὺς εὐπρεπεστέρους ποιεῖ, τοὺς δ' αἰσχροὺς φοβερωτέρους.

Παρήγγειλε δ' ἐν τοῖς πολέμοις τρεψαμένους καὶ νικήσαντας μέχρι τοῦ βεβαιώσασθαι τὸ νίκημα, ἐπιδιώκειν, εἶτα εὐθὺς ἀναχωρεῖν. οὔτε [3] Ἑλληνικὸν φονεύειν τοὺς παρακεχωρηκότας φάσκων, ἀλλὰ καὶ χρήσιμον. εἰδότας γὰρ τοὺς μαχομένους πρὸς αὐτοὺς [4], ὅτι φείδονται μὲν τῶν ἐνδιδόντων, ἀναιροῦσι δὲ τοὺς ὑφισαμένους, τοῦ μένειν τὸ φεύγειν ὠφελιμώτερον ἡγήσεσθαι. Πυνθανομένου δέ τινος, διὰ τί τοὺς τῶν πολεμίων νεκροὺς ἀπηγόρευσε σκυλεύειν· Ὅπως, ἔφη, μὴ κυπτάζοντες [5] περὶ τὰ σκῦλα, τῆς μάχης ἀμελῶσιν, ἀλλὰ καὶ τὴν πενίαν ἅμα τῇ τάξει διασώζωσι.

Λυσάνδρου. Λύσανδρος, προσπέμψαντος [6] αὐτῷ τοῦ Διονυσίου δύο στολάς, καὶ κελεύσαντος ἣν βούλεται

1 Petav. ἐρεείνει. Sic quoque Ald. & Baſ.

2 Petav. ἐπεμέλλοντο. Mox id. τοὺς αἰσχροὺς absque δ'.

3 Turn. οὐ γε. Mox poſt χρήσιμον ſubaud. Xyl. monente, τὸ φείδεσθαι. W. mutilum cenſet dictum parte ſupplenda ex Vit. Lyc. ἦν δὲ οὐ μόνον καλὸν τοῦτο καὶ μεγαλόψυχον, ἀλλὰ καὶ χρήσιμον. Turn. καὶ οὐ χρήσιμον.

4 Petav. πρὸς αὐτοὺς. Sic Ald. quoque & Baſ. & Steph. ed. pecul. Mox Ald. & Baſ. ἡγεῖσθαι. Steph. ed. pec. & Petav. ἡγήσασθαι, pro quo Xyl. reponi voluit ἡγήσεσθαι, quod dedit Steph. in ed. opp. univ.

5 Turn. & Petav. σκυπτάζοντες.

6 Turn. & Petav. δὲ πέμψαντος. Iid. mox κομίζοντα pro κομίζειν.

ται ἑλέσθαι τῇ θυγατρὶ κομίζειν, αὐτὴν ἐκείνην ἔφη βέλτιον αἱρήσεσθαι· καὶ λαβὼν ἀμφοτέρας, ἀπῆλθεν.

Ὁ δὲ Λύσανδρος, δεινὸς σοφιστὴς γενόμενος, καὶ ἀπάταις τὰ πολλὰ ποικίλλων, τὸ δίκαιον ἐν μόνῳ [1] τῷ λυσιτελεῖ τιθέμενος, καὶ τὸ καλὸν ἐν τῷ συμφέροντι, τὸ ἀληθὲς ἔλεγε τοῦ ψεύδους κρεῖττον εἶναι, ἑκατέρου δὲ τῇ χρείᾳ τὴν ἀξίαν καὶ τὴν τιμὴν ὁρίζεσθαι.

Πρὸς δὲ τοὺς ψέγοντας αὐτὸν ἐπὶ τῷ δι' ἀπάτης τὰ πλεῖστα πράττειν, ὡς ἀνάξιον τοῦ Ἡρακλέους, καὶ δόλῳ οὐκ ἄντικρυς κατορθοῦντα, γελῶν ἔλεγεν, ὅπου μὴ ἐφικνεῖται ἡ λεοντῆ [2], προσραπτέον εἶναι τὴν ἀλωπεκῆν.

Ἀπομεμφομένων δ' ἑτέρων αὐτὸν ἐπὶ ταῖς παραβάσεσι τῶν ὅρκων, οὓς ἐν Μιλήτῳ ἐποιήσατο, ἔλεγε· Τοὺς μὲν παῖδας ἀστραγάλοις δεῖ ἐξαπατᾷν, τοὺς δ' ἄνδρας ὅρκοις.

Νικήσας δὲ τοὺς Ἀθηναίους ἐξ ἐνέδρας περὶ Αἰγὸς ποταμοὺς, καὶ λιμῷ πιέσας αὐτοὺς, παρεστήσατο τὴν πόλιν, καὶ ἔγραψε τοῖς ἐφόροις· Ἑαλώκαντι ταὶ Ἀθᾶναι [3].

Πρὸς Ἀργείους δὲ περὶ γῆς ὅρων ἀμφισβητοῦντας πρὸς Λακεδαιμονίους, καὶ δικαιότερα λέγειν αὐτῶν φάσκοντας, σπασάμενος τὴν μάχαιραν. Ὁ ταύτης (ἔφη) κρατῶν, βέλτιστα περὶ γῆς ὅρων διαλέγεται.

Τοὺς δὲ Βοιωτοὺς ἐπαμφοτερίζοντας, ὅτε διῄει τὴν χώραν, ὁρῶν, προσέπεμψε, πυνθανόμενος, πότερον ὀρθοῖς τοῖς δόρασιν, ἢ κεκλιμένοις, διαπορεύηται τὴν χώραν αὐτῶν.

Μεγαρέως [4] δ' ἀνδρὸς ἐν τῷ κοινῷ συλλόγῳ παῤῥησίᾳ χρησαμένου πρὸς αὐτόν· Οἱ λόγοι σου, (εἶπεν) ὦ ξένε, πόλεως δέονται.



1 Turn. & Petav. ἐν νόμῳ.
2 Ald. Bas. & Steph. ed. min. τῇ λεοντῇ.
3 Turn. & Petav. Ἀθῆναι.
4 Turn. & Petav. Μεγαρέων.

Ἐπεὶ δὲ, Κορινθίων ἀφεςώτων [1], διερχόμενος παρὰ τὰ τείχη τὰς Λακεδαιμονίȣς ἑώρα προσβάλλειν ὀκνȣ̃ντας, καὶ λαγώς τις ὤφθη διαπηδῶν τὴν τάφρον· Οὐκ αἰσχύνεσθε, (εἶπεν) ὦ Σπαρτιᾶται, τοιȣ́τȣς φοβȣ́μενοι πολεμίȣς, ὧν δι' ἀργίαν οἱ λαγωοὶ τοῖς τείχεσιν ἐγκαθεύδȣσιν;

Ἐν δὲ Σαμοθράκῃ χρηςηριαζομένῳ αὐτῷ ὁ ἱερεὺς ἐκέλευσεν εἰπεῖν, ὅ τι [2] ἀνομώτατον ἔργον αὐτῷ ἐν τῷ βίῳ πέπρακται· Πότερον ȣ̓̃ν σȣ̃ τȣ̃το κελεύσαντος, ἢ τῶν θεῶν, τȣ̃το δεῖ ποιεῖν, ἐπηρώτησε. Φαμένȣ δέ· Τῶν θεῶν· Σὺ τοίνυν (ἔφη) ἐκποδὼν μοι κατάςηθι, κἀκείνοις ἐρῶ, ἐὰν πυνθάνωνται.

Πέρσȣ δ' ἐρωτήσαντος, ποίαν μάλιςα ἐπαινεῖ πολιτείαν· Ἥτις (ἔφη) τοῖς ἀνδρείοις καὶ δειλοῖς τὰ προσήκοντα ἀποδίδωσι.

Πρὸς δὲ τὸν εἰπόντα, ὅτι ἐπαινοίη αὐτὸν καὶ ὑπερασπάζοιτο [3]. Δύο βȣ̃ς (ἔφη) ἐν ἀγρῷ ἔχω· σιγώντων δ' ἀμφοτέρων, ἀκριβῶς ἐπίςαμαι τόν τ' ἀργὸν καὶ τὸν ἐργαζόμενον.

Λοιδορȣμένȣ δέ τινος αὐτῷ, εἶπε· Λέγε πυκνῶς, ὦ ξενύλλιον, λέγε μηδὲν ἐλλείπων, ἂν σȣ δύνῃ τὰν ψυχὰν κενῶσαι κακῶν, ὧν ἔοικας πλήρης εἶναι.

Χρόνῳ δ' ὕςερον μετὰ τὴν τελευτὴν ἀντιλογίας [4] συμμαχικῆς γενομένης, Ἀγησίλαος ἦλθεν ἐπὶ τὴν τȣ̃ Λυσάνδρȣ οἰκίαν, ὅπως τὰ περὶ αὐτῆς γράμματα διασκέψηται· Ταῦτα γὰρ παρ' αὐτῷ [5] κατέχεν ὁ Λύσανδρος. εὗρε δὲ καὶ βιβλίον γεγραμμένον τῷ Λυσάνδρῳ περὶ

1 Dedi ſic pro vulg. ἐφεςώτων e vers. Raph. Reg. & Xyl. a cujus MS. tota haec periodus abſuit, nec non a Petav.

2 Pro ὅ τι in cod. Pet. paſſim eſſe ὅτι, enotatur in ind. Var. Idem mox ἐκποδῶν; nec non ἀνδρίοις.

3 Dedi ſic cum W. e Voſſ. & Turn. pro vulg. ὑπερασπίζοιτο.

4 Turn. & Petav. ἀναλογίας.

5 Petav. αὐτῷ. Sic quoque Ald. & Baſ.

περὶ τῆς πολιτείας, ὡς χρὴ τῶν Εὐρυπρωτιδῶν καὶ Ἀγιδῶν [1] τὴν βασιλείαν ἀφελομένες, εἰς μέσον θεῖναι, καὶ ποιεῖσθαι τὴν αἵρεσιν ἐκ τῶν ἀρίστων, ἵνα μὴ τῶν ἀφ' Ἡρακλέες, ἀλλ' οἷος Ἡρακλῆς τῇ ἀρετῇ, κρινομένων [2] τὸ γέρας ᾖ, ᾗ κἀκεῖνος εἰς θεῶν τιμὰς ἀνήχθη. καὶ τῦτον τὸν λόγον ὥρμησε μὲν εἰς τὲς πολίτας ἐξενεγκεῖν, καὶ παραδεικνύναι τὸν Λύσανδρον, οἷος ὢν πολίτης διελάνθανε [3], καὶ ἐπὶ διαβολῇ τῶν Λυσάνδρε φίλων. Κρατίδην δέ φασι τότε προεςῶτα [4] τῶν ἐφόρων, εὐλαβηθέντα, μὴ πείσῃ ἀναγνωσθεὶς ὁ λόγος, ἐπιλαβέσθαι τῦ Ἀγησιλάε, καὶ εἰπεῖν, ὡς ἐ δεῖ ἀνορύττειν τὸν Λύσανδρον, ἀλλὰ καὶ τὸν λόγον αὐτῷ συγκατορύττειν, πανέργως [5] καὶ πιθανῶς συντεταγμένον.

Τὲς δὲ μνηςεύσαντας αὐτῦ τὰς θυγατέρας, εἶτα μετὰ τὴν τελευτὴν πένητος εὑρεθέντος ἀπειπαμένες, ἐζημίωσαν [6] οἱ ἔφοροι, ὅτι πλέσιον μὲν νομίζοντες ἐθεράπευον, δίκαιον δὲ καὶ χρηςὸν ἐκ τῆς πενίας ἐπιγνόντες, ὑπερεῖδον.

Ναμέρτε. Ναμέρτης πρεσβευτὴς ἀποςαλεὶς, μακαρίζοντός τινος αὐτὸν τῶν ἐκεῖθι, διότι πολύφιλος εἴη, ἠρώτησεν, εἰ δοκίμιον ἔχει, τίνι τρόπῳ πειράζεται ὁ πολύφιλος· ἐπιζητῦντος δὲ θατέρε μαθεῖν· Ἀτυχίᾳ [7], εἶπε·

 Νικάν-

1 Vera vocabula Xyl. restituit, vertendo, *Eurytionidarum & Agiadarum.* W. verum esse censet Εὐρυποντιδῶν. Cf. Lys. Vit. T. III. pag. 173.

2 Dedi sic cum W. e Turn. & Venet. Vulgo κρινόμενον.

3 Petav. A d. Bas. Steph. ed. min. διαλανθάνοι. Mox Turn. & Petav. φύλων pro φίλων.

4 Turn. παρεςῶτα. Mox id. ἐπιβαλέσθαι pro ἐπιλαβ.

5 Petav. πανῦργος.

6 Petav. ἐζημιώθησαν.

7 Ald. & Bas. εὐτυχίᾳ. Hinc Xyl. vertit: *rebus secundis.* Raph. Reg. *fortuna adversa.*

Νικάνδρȣ. Νίκανδρος, εἰπόντος τινὸς, ὅτι κακῶς αὐτὸν λέγȣσιν οἱ Ἀργεῖοι· Οὐκȣ̃ν (ἔφη) δίκην τίνȣσι τὰς ἀγαθὰς κακῶς λέγοντες.

Πυθομένȣ δέ τινος, διὰ τί κομῶσι καὶ πωγωνοτροφȣ̃σιν, ὅτι (ἔφη) πάντων κάλλιϛος καὶ ἀδαπανώτατος ἀνδρὶ ὁ ἴδιος κόσμος.

Τῶν Ἀθηναίων δ' εἰπόντος τινός· Λίαν αντέχεσθε [1], ὦ Νίκανδρε, τȣ̃ σχολάζειν· Ἀληθίζεις, (ἔφη) ἀλλ' ȣ̓χ, ὥσπερ ὑμεῖς, ὅπως τύχοι, σπȣδάζομεν.

Πανθοίδȣ. Πανθοίδας πρεσβεύων εἰς τὴν Ἀσίαν, ἐπιδεικνύντων αὐτῷ τεῖχος ἐχυρὸν, εἶπε· Νὴ τὰς θεὰς, ὦ ξένοι, καλὴ γυναικωνῖτις.

Ἐν Ἀκαδημίᾳ δὲ τῶν Φιλοσόφων διαλεγομένων πολλὰ καὶ σπȣδαῖα, ἐπερωτώντων δὲ τὸν Πανθοίδαν μετὰ ταῦτα [2], τί δοκȣ̃σιν αὐτῷ οἱ λόγοι ȣ̂τοι εἶναι· Τί δ' ἄλλο (ἔφη) ἢ σπȣδαῖοι; ὄφελος δ' ȣ̓δὲν, μὴ χρωμένων ὑμῶν αὐτοῖς.

Παυσανίȣ τȣ̃ Κλεομβρότȣ. Παυσανίας ὁ Κλεομβρότȣ, Δηλίων δικαιολογȣμένων περὶ τῆς νήσȣ πρὸς Ἀθηναίȣς, καὶ λεγόντων, ὅτι κατὰ τὸν νόμον τὸν [3] παρ' αὐτοῖς ȣ̎τε αἱ γυναῖκες ἐν τῇ νήσῳ τίκτȣσιν, ȣ̎τε οἱ τελευτήσαντες θάπτονται· Πῶς ȣ̂ν (ἔφη) αὕτη πατρὶς ὑμῶν εἴη, ἐν ᾗ ȣ̎τε γέγονέ τις ὑμῶν, ȣ̎τ' ἔϛαι;

Τῶν δὲ Φυγάδων αὐτὸν προτρεπομένων ἐπὶ τȣ̀ς Ἀθηναίȣς ἄγειν τὴν ϛρατιὰν, λεγόντων τε, ὅτι τοῖς Ὀλυμπίοις ἀνακηρυττομένȣ αὐτȣ̃, ἐσύριττον αὐτὸν μόνοι· Τί ȣ̂ν οἴεσθε (ἔφη) τȣ̀ς, ὅτε εὖ ἔπαχον, συρίττοντας, παθόντας κακῶς, ποιήσειν;

Πυνθανομένȣ δέ τινος, διὰ τί Τυρταῖον τὸν ποιητὴν ἐποιήσαντο πολίτην· Ὅπως (ἔφη) μηδέποτε ξένος φαίνηται ἡμῶν ἡγεμών.

Πρὸς

1 Petav. ἀντέχεσθαι.
2 absunt a Turn. μετὰ ταῦτα.
3 Hoc posterius τὸν abest a Petav.

Πρὸς δὲ τὸν ἀθενῆ μὲν τῷ σώματι, συμβȣλεύοντα δὲ πρὸς τȣ̀ς πολεμίȣς κατὰ γῆν καὶ θάλατ]αν διακινδυνεύειν· Θέλεις ȣ̃ν (ἔφη) δεῖξαι σεαυτὸν ἐκδὺς, οἷος ὢν ἡμῖν μάχεθαι συμβȣλεύεις;

Θαυμαζόντων δέ τινων ἐν τοῖς λαφύροις τῶν βαρβάρων τὴν πολυτέλειαν τῆς ἐσθῆτος, κρεῖσσον ἔφη αὐτȣ̀ς εἶναι πολλȣ̃ ἀξίȣς, ἢ κεκ]ῆθαι πολλȣ̃ ἄξια.

Μετὰ δὲ τὴν ἐν Πλαταιαῖς κατὰ Μήδων γενομένην νίκην τοῖς ἀμφ' αὐτὸν ἐκέλευσε τὸ προητοιμασμένον Περσικὸν δεῖπνον παραθεῖναι· τȣ́τȣ δὲ θαυμαςὴν πολυτέλειαν ἔχοντος· Νὴ τȣ̀ς θεȣ̀ς (ἔφη) λίχνος ἦν Πέρσης [1], ὅτι τοσαῦτα ἔχων ἐπὶ τὴν ἡμετέραν ἦλθε μάζαν.

Παυσανίȣ τȣ̃ Πλειςάνακ]ος. Παυσανίας ὁ Πλειςάνακ]ος [2], πρὸς τὸν ἐρωτήσαντα, διὰ τί τῶν ἀρχαίων νόμων ȣ̓δένα κινεῖν ἔξεςι παρ' αὐτοῖς· Ὅτι τȣ̀ς νόμȣς (ἔφη) τῶν ἀνδρῶν, ȣ̓ τȣ̀ς ἄνδρας τῶν νόμων κυρίȣς εἶναι δεῖ.

Ἐπαινȣ̃ντος δ' αὐτȣ̃ ἐν Τεγέα μετὰ τὴν φυγὴν τȣ̀ς Λακεδαιμονίȣς, εἶπέ τις· Διὰ τί ȣ̃ν ȣ̓κ ἔμενες ἐν Σπάρτῃ, ἀλλ' ἔφυγες; Ὅτι ȣ̓δ' ἰατροὶ [3] (ἔφη) παρὰ τοῖς ὑγιαίνȣσιν, ὅπȣ δὲ οἱ νοσȣ̃ντες, διατρίβειν εἰώθασιν.

Πυθομένȣ δέ τινος αὐτȣ̃, πῶς ἂν δυνηθεῖεν τȣ̀ς Θρᾶκας νικῆσαι· Εἰ τὸν ἄριςον (εἶπε) ςρατηγὸν καταςήσαιμεν.

Ἰατρȣ̃ δ' ἐπισκεπ]ομένȣ αὐτὸν, καὶ εἰπόντος· Οὐδὲν κακὸν ἔχεις· Οὐ γὰρ σοι ἰατρῷ (ἔφη) χρῶμαι.

Μεμφομένȣ δέ τινος αὐτὸν τῶν φίλων, διότι ἰατρόν τινα κακῶς λέγει, πεῖραν ȣ̓κ ἔχων αὐτȣ̃, ȣ̓δ' ἀδικηθείς τι· Ὅτι, (εἶπεν) εἰ ἔλαβον [4] αὐτȣ̃ πεῖραν, ȣ̓κ ἂν ἔζων.



1 Turn. ἦν ὁ Πέρσ. Mox Ald. & Baf. εἶλθε pro ἦλθε.
2 Petav. Πλειςάνακ]ος.
3 Turn. & Petav. ȣ̓δ' οἱ ἰατροί.
4 Petav. ἔλαβεν.

Τȣ̃ δ' ἰατρȣ̃ εἰπόντος αὐτῷ· Γέρων γέγονας· Διότι (εἶπεν) ȣ̓κ ἐχρησάμην σοὶ ἰατρῷ.

Κράτιϛον δ' ἔλεγε τȣ̃τον ἰατρὸν εἶναι τὸν μὴ κατασήποντα τȣ̀ς ἀῤῥωϛȣ̃ντας, ἀλλὰ τάχιϛα θάπτοντα.

Παιδαρήτȣ. Παιδάρητος, λέγοντός τινος, ὅτι πολλοί εἰσιν οἱ πολέμιοι· Οὐκȣ̃ν (ἔφη) ἡμεῖς εὐκλεέϛεροι ἐσόμεθα· πλείȣς γὰρ ἀποκτενȣ̃μεν.

Ἰδὼν δέ τινα τῇ μὲν φύσει μαλακὸν, δι' ἐπιείκειαν δ' ἐπαινȣ́μενον ὑπὸ τῶν πολιτῶν, ἔφη· Οὔτ' ἄνδρας γυναιξὶν ὁμοίȣς ὄντας ἐπαινεῖν δεῖ, ȣ̓́τε γυναῖκας ἀνδράσιν, ἐὰν μὴ τὴν γυναῖκα χρεία τις καταλάβῃ [1].

Οὐκ ἐγκριθεὶς δ' εἰς τȣ̀ς τριακοσίȣς (ἥτις ἐν τῇ πόλει πρωτεύȣσα [2] τιμὴ τῇ τάξει ἦν) ἱλαρὸς καὶ μειδιῶν ἀπῄει· ἀνακαλεσαμένων δ' αὐτὸν τῶν ἐφόρων καὶ πυνθανομένων, διότι γελᾷ, εἶπε· Διότι συγχαίρω τῇ πόλει τριακοσίȣς κρείττονάς μȣ πολίτας ἐχȣ́σῃ.

Πλειϛάρχȣ. Πλείϛαρχος Λεωνίδȣ, πρὸς τὸν ἐπερωτήσαντα, διὰ τίνα αἰτίαν ȣ̓κ ἀπὸ τῶν πρώτων βασιλέων προσαγορεύονται· Ὅτι (ἔφη) ἐκεῖνοι μὲν ἄγειν, ἢ βασιλεύειν [3], ἔχρῃζον, οἱ δ' ἐκείνων ὕϛερον, ȣ̓δαμῶς.

Συνηγόρȣ δέ τινος γελοῖα λέγοντος· Οὐ φυλάξῃ (ἔφη [4]) ὦ ξένε, συνεχῶς γελοιάζων, ὅπως μὴ γελοῖος γένῃ, ὥσπερ καὶ οἱ συνεχῶς παλαίοντες, παλαιϛαί;

Λέ-

1 Obſcure haec ſunt dicta aut corrupte, ab interpp. varie tranſlata. Xyl. vertit: *niſi earum aliquis uſus incidat*; Raph. Reg. *niſi mulier aliqua neceſſitate cogatur*; Kaltw. autem; *wenn nicht beſondere Umſtände darzwiſchen kommen*.

2 Turn. & Petav. ϛρατεύȣσα.

3 Xyl. monente, hoc dicere voluit, primos reges neceſſitate regnum tenuiſſe, reliquos autem ob virtutem ei praeeſſe. Raph. Reg. vertit: *quia magis duces eſſe, quam regnare volebant*. Hinc Xyl. adnotat, aut aliud eum legiſſe, aut locum ſuſpectum habuiſſe ſecum videri. In Petav. & MS. Xyl. abeſt mox ſeq. ȣ̓δαμῶς.

4 abeſt ἔφη a Petav. Omittit idem, quae ſequuntur poſt ξένε usque ad alterum συνεχῶς.

Λέγοντος δέ τινος, ὅτι κακολόγος τις αὐτὸν ἐπήνει· Θαυμάζω, (εἶπεν) εἰ μή τις αὐτῷ ἔφη, ὅτι ἀπέθανον. ζῶντα γὰρ ἐκεῖνος ἐδένα καλῶς λέξαι δύναται.

Πλειςώνακτος. Πλειςώναξ ὁ Παυσανίε, Ἀττικῶ τινος ῥήτορος ἀμαθεῖς ἀποκαλῶντος τὲς Λακεδαιμονίες· Ὀρθῶς (ἔφη) λέγεις· ἡμεῖς γὰρ Ἑλλήνων μόνοι ἐδὲν κακὸν μεμαθήκαμεν παρ' ὑμῶν.

Πολυδώρε. Πολύδωρος ὁ Ἀλκαμένες, ἀπειλῶντός τινος τοῖς ἐχθροῖς συχνά· Οὐ συνίης (ἔφη) τὸ πλεῖςον καταναλίσκων τῆς τιμωρίας;

Ἐξάγοντος δ' αὐτῶ τὸ ςράτευμα ἐπὶ Μεσσήνην, ἤρετό τις, εἰ τοῖς ἀδελφοῖς μάχεσθαι μέλλει· Οὐκ, ἔφη, ἀλλ' ἐπὶ τὴν ἀκλήρωτον τῆς χώρας βαδίζειν [1].

Ἀργείων δὲ πάλιν μετὰ τὴν τῶν τριακοσίων μάχην ἐκ παρατάξεως πανδημεὶ κρατηθέντων, τὸν Πολύδωρον οἱ σύμμαχοι παρεκελεύοντο μὴ παρεῖναι τὸν καιρὸν, ἀλλ' ἐπελθόντα τῷ τείχει τῶν πολεμίων, τὴν πόλιν αἱρεῖν· ῥᾷςον γὰρ ἔςεσθαι, τῶν μὲν ἀνδρῶν ἀπολωλότων, τῶν γυναικῶν δ' ἀπολελειμμένων· ἔφη πρὸς αὐτές· Τὸ μὲν ἐκ τῶ ἴσε μαχόμενον νικᾷν τὲς ἐναντιεμένες, ἔςι μοι καλόν· τὸ δ' ὑπὲρ τῶν ὅρων τῆς χώρας μεμαχημένον [2] τὴν πόλιν ἐπιθυμεῖν λαβεῖν ἐ δίκαιον τίθεμαι εἶναι. ἦλθον γὰρ χώραν ἀπολαβεῖν, ἐ καταλαβέσθαι πόλιν.

Ἐρωτηθεὶς δὲ [3], διὰ τί Σπαρτιᾶται κατὰ πόλεμον κινδυνεύεσιν ἀνδρείως· Ὅτι (ἔφη) αἰδεῖσθαι τὲς ἡγεμόνας ἔμαθον, ἐ φοβεῖσθαι.

Πολυκρατίδε. Πολυκρατίδας πρεσβεύων πρὸς τὲς τῶ βασιλέως ςρατηγὲς μεθ' ἑτέρων, ἐρομένων αὐτῶν [4], πότε-

P 5

1 Recepi, quod eſt in Baſ. & Steph. ed. pecul. Vulgo βαδίζει. Pro τοῖς ἀδελφοῖς Raph. Reg. vertit *adverſus Delphos.*

2 Petav. μεμαχημένων.

3 Poſt δὲ Turn. & Petav. addunt καί.

4 Ald. & Baſ. αὐτὸν. Mox Petav. αἰκεῖν.

πότερον ἰδίᾳ πάρεισιν, ἢ δημοσίᾳ ἐπέμφθησαν· Αἴκε τύχωμεν, δημοσίᾳ· (εἶπεν) εἰ δὲ μὴ, ἰδίᾳ.

Φοιβίδε. Φοιβίδας [1], πρὸ τῦ κινδύνυ τῦ Λευκτρικῦ λεγόντων τινῶν δείξειν τὴν ἡμέραν ταύτην τὸν ἀγαθὸν, πολλῦ τὴν ἡμέραν, ἔφησεν, ἀξίαν εἶναι δυναμένην τὸν ἀγαθὸν δεῖξαι.

Σόυ. Σόον [2] λέγεται ἐν χωρίῳ χαλεπῷ καὶ ἀνύδρῳ πολιορκέμενον ὑπὸ Κλειτορίων [3], ὁμολογῆσαι τὴν δορύκτητον αὐτοῖς ἀφεῖναι γῆν, εἰ πίοιεν [4] μετ' αὐτῦ πάντες ἀπὸ τῆς πλησίον πηγῆς· ἐφρέρεν δ' αὐτὴν οἱ πολέμιοι· γενομένων δὲ τῶν ὅρκων, συναγαγόντα τὲς μεθ' ἑαυτῦ, διδόναι τῷ μὴ πιόντι τὴν βασιλείαν, ἐδενὸς δὲ καρτερήσαντος, ἀλλὰ πάντων πιόντων, αὐτὸν ἐπὶ πᾶσι καταβάντα καὶ περιῤῥανάμενον, ἔτι τῶν πολεμίων παρόντων, ἀπελθεῖν [5], καὶ τὴν χώραν κατασχεῖν, ὡς μὴ πιόντα.

Τηλέκλε. Τήλεκλος [6] πρὸς τὸν εἰπόντα, ὅτι ὁ πα-

1 Dedi hoc nomen e Xyl. mente, exhibitum quoque in J. Anon. Voff. a correctore. Vulgo Σοιβίδας. Recte Xyl. observat, in historia illorum locorum & temporum nullum memorari *Soebidam*, at *Phoebidam* nobilem. Turbatus quidem ordo literarum, quo haec conscripta sunt, videtur. Sed facillime, quod Xyl. observat, fieri potuit, ut homo non accuratissimus literam φ literae συστοίχῳ (τῷ π nimirum) subjungeret.

2 Etiam hoc loco Xylandrum sequi haud dubitavi, sive potius restituere, quae distincte leguntur in Vita Lycurgi Vol. I. pag. 93. Vulgo nimirum hic locus ad eundem Soebidam refertur, & in fine praecedentis loci ad δεῖξαι male subjungitur σῶον, quod vertit quoque Raph. Reg. *multi faciendum diem, qui virum fortem salvum monstrare possit.*

3 Petav. Κλειτορείων. Sic quoque Ald. & Baf.

4 Post πίοιεν Turn addit οἱ, quod W. probat.

5 Dedi ἀπελθεῖν e Turn. quod etiam est in Lyc. Vit. l. c. Vulgo ἐπελθεῖν. In fine dicti aliquid labis subesse, W. suspicatur.

6 Etiam hic loci nomen dedi e mente Xyl. mutatum, quale est pag. 125. h. V. Vulgo Τήλεκρος.

πατὴρ λέγει κακῶς αὐτόν· Εἰ μὴ αὐτῷ (ἔφη) λεκ]ὸν ἦν, ἐκ ἂν ἔλεγεν.

Εἰπόντος δὲ τȣ̃ ἀδελφȣ̃, ὅτι ἐχ ὁμοίως αὐτῷ προσφέρȣνται οἱ πολῖται, ὡς ἐκείνῳ, ἔντι ἐκ [1] τῶν αὐτῶν, ἀγνωμονέϛερον δὲ, εἶπεν· Σὺ γὰρ ἐκ οἶδας ἀδικεῖσθαι, ἐγὼ δέ.

Ἐρωτηθεὶς δὲ, διὰ τί ἔθος παρ' αὐτοῖς ἐϛι [2] τȣ̀ς νεωτέρȣς τοῖς πρεσβυτέροις ἐξανίϛαϑαι· Ὅπως (ἔφη) περὶ τȣ̀ς μὴ προσήκοντας ἐτως ἔχοντες τιμῆς, μᾶλλον τιμῶσι τȣ̀ς γονέας.

Πυθομένȣ δέ τινος, πόσην κέκ]ηται [3] ἐσίαν, ἔφη· Οὐ πλείω τῆς ἱκανῆς.

Χαρίλλȣ. Χάριλλος [4] ἐρωτηθεὶς, διὰ τί τȣ̀ς νόμȣς ὁ Λυκȣ̃ργος ἐτως ὀλίγȣς ἔθηκεν· Ὅτι (ἔφη) τοῖς ὀλίγα λέγȣσιν ὀλίγων καὶ νόμων ἐϛὶ χρεία.

Πυνθανομένȣ δέ τινος, διὰ τί τὰς μὲν κόρας ἀκαλύπ]ȣς, τὰς δὲ γυναῖκας ἐγκεκαλυμμένας εἰς τȣ̀μφανὲς ἄγȣσιν· Ὅτι (ἔφη) τὰς μὲν κόρας, ἄνδρας εὑρεῖν δεῖ· τὰς δὲ γυναῖκας, σώζειν τȣ̀ς ἔχοντας.

Τῶν δὲ εἱλώτων τινὸς θρασύτερον αὐτῷ προσφερομένȣ· Εἰ μὴ ὠργιζόμην, (εἶπε) κατέκ]ανον ἄν σε.

Ἐρωτηθεὶς δὲ, τίνα νομίζει πολιτείαν ἀρίϛην, ἔφη· Ἐν ᾗ ἂν περὶ ἀρετῆς πλεῖϛοι πολιτευόμενοι πρὸς ἀλλήλȣς ἄνευ ϛάσεως ἀγωνίζωνται.

Πυνθανομένȣ δέ τινος, διὰ τί πάντα τὰ τῶν θεῶν ξόανα μεθ' ὅπλων ἵδρυται παρ' αὐτοῖς· Ὅπως (ἔφη) μήτε τὰ κατὰ τῶν ἀνθρώπων ὀνείδη λεγόμενα διὰ τὴν δειλίαν ἐπὶ τȣ̀ς θεȣ̀ς ἀναφέρωμεν, μήτε οἱ νέοι τοῖς θεοῖς ἄνοπλοι εὔχωνται.

ΔΙΑ-

1 R. cum Frft. ὄντι καὶ τ. α. Reftitui ἐκ.
2 abeſt ἐϛι a Petav.
3 Turn. κέκ]ηνται.
4 Rectius eſſe Χαρίλαος, bene monet W.

# ΔΙΑΦΟΡΑ ΤΩΝ ΕΝ ΤΟΙΣ ΛΑΚΩΣΙΝ ΑΔΟΞΩΝ ΑΠΟΦΘΕΓΜΑΤΑ [1].

Σαμίων πρεσβευταῖς μακρολογȣ̃σιν ἔφασαν οἱ Σπαρτιᾶται· Τὰ μὲν πρῶτα ἐπιλελάθαμες [2], τὰ δὲ ὕςερα ȣ̓ συνήκαμες, διὰ τὸ τὰ πρῶτα ἐπιλελᾶθαι.

Πρὸς Θηβαίȣς [3] περί τινων ἀντιλέγοντας· Ἢ φρονεῖν (εἶπον) δεῖ ἔλασσον, ἢ δύναθαι μεῖζον.

Λάκων ἐρωτηθεὶς, δι' ἣν αἰτίαν τὰς τȣ̃ πώγωνος τρίχας ἐπὶ πολὺ κομώσας ἔχει [4], εἶπεν· Ἵνα βλέπων τὰς πολιὰς, μηδὲν ἀνάξιον αὐτῶν πράττῃ.

Ἐπαινȣ̃ντός τινος τȣ̀ς ἀρίςȣς μαχητὰς, Λάκων ἀκȣ́σας εἶπεν· Ἐν Τροίᾳ.

Ἕτερος ἀκȣ́σας δειπνήσαντάς τινας βιάζεθαι πίνειν· Μὴ καὶ ἐσθίειν (εἶπε) βιάζονται;

Πινδάρȣ γράψαντος· Ἑλλάδος ἔρεισμα Ἀθῆναι· Λάκων ἔφη, καταπεσεῖν ἂν τὴν Ἑλλάδα ὀχȣμένην ἐρείσματι τοιȣ́τῳ.

Ἐπεὶ δ' ἰδών τις ἐν πίνακι γραπτῷ Λάκωνας ὑπ' Ἀθηναίων σφαττομένȣς, ἔλεγεν· Ἀνδρεῖοί γ' Ἀθηναῖοι· Λάκων ὑποτυχών· Ἐν τῷ πίνακι, εἶπεν.

Πρὸς δέ τινα, προσιέμενον τὰς ἐκ διαβολῆς βλασφημίας, Λάκων εἶπε· Παῦσαι κατ' ἐμȣ̃ τὰ ὦτα χορηγῶν.

Πρὸς δὲ τὸν κολαζόμενον, καὶ λέγοντα· Ἄκων ἥμαρτον [5]. εἶπέ τις· Ἄκων τοίνυν καὶ κολάζȣ.

Ἰδών τις ἐν ἀποχωρήσει θακέοντας [6] ἐπὶ δίφρων ἀνθρώ-

1 abest haec inscriptio a c. MS. Petav. nec non ab Ald. Bas. Xyl. Venet. Voss.

2 Turn. ἐπιλελάσμεθα.

3 Turn. & Petav. Θηβαῖον, & statim ἀντιλέγοντα. Hunc locum omittit Raph. Reg.

4 Petav. ἔχοι. Sic quoque Ald. Bas. Steph. ed. min.

5 Petav. ἄκρον ἥμαρτον.

6 Turn. θακȣ̃ντας.

ἀνθρώπες· Μὴ γένοιτο (εἶπεν) ἐνταῦθα καθίσαι, ὅθεν ἐκ ἔστιν ἐξαναστῆναι πρεσβυτέρῳ.

Χίων ποτὲ κατ' ἐπιδημίαν ἀπὸ δείπνε ἐμεσάντων ἐν τῷ ἐφορείῳ, καὶ χεσάντων ἐπὶ τῶν δίφρων, ἔνθα οἱ ἔφοροι ἐκάθηντο, τὸ μὲν πρῶτον ἰσχυρῶς ἀνεζήτεν τὲς ποιήσαντας, μὴ πολῖται τυγχάνωσιν· ὡς δ' ᾔσθοντο, ὅτι Χῖοι εἴησαν, ἐκήρυξαν, τοῖς [1] Χίοις ἐφιᾶσιν ἀσελγαίνειν.

Ἐπεὶ δέ τις τὰς ἀμυγδαλὰς τῶν σκληρῶν ἑώρα διπλασίῳ [2] πωλεμένας· Μὴ σπάνιοι (ἔφη) οἱ λίθοι;

Τίλας τις ἀηδόνα, καὶ βραχεῖαν πάνυ σάρκα εὑρὼν, εἶπε· Φωνά τυ τίς ἐσσὶ, καὶ ἐδὲν ἄλλο.

Ἰδών τις Λάκων Διογένην τὸν κύνα περιλαμβάνοντα ἀνδριάντα χάλκεον, ψύχες ὄντος σφοδρῦ, ἐπύθετο, εἰ ῥιγώη· ἀρνησαμένε δέ· Τί ἂν (ἔφη) μέγα ποιεῖς;

Ὀνειδιθείς τις τῶν Μεταποντίων εἰς δειλίαν ὑπὸ Λάκωνος· Ἀλλὰ μὴν (ἔφη) ἐκ ὀλίγα τῆς ἀλλοτρίας ἔχομεν. ὁ δέ· Οὐ μόνον ἄρα (ἔφη) δειλοὶ, ἀλλὰ καὶ ἄδικοι ἐστέ.

Κατ' ἐπιδημίαν τις ἐν Σπάρτῃ κρηπιδέμενος ὀρθὸς ἐπὶ θατέρε σκέλες, εἶπε πρὸς Λάκωνα· Οὐκ ἂν οἶμαί σε, ὦ Λάκων, τοσῦτον χρόνον ἐπὶ τῦ ποδὸς, ὅσον ἐγὼ, στῆναι. καὶ ὃς ὑπολαβών· Οὐ γὰρ, ἔφη· τῶν μέντοι χηνῶν ἐκ ἔστιν, ὅστις ἔ.

Μεγαλυνομένε τινὸς ἐπὶ τῇ ῥητορικῇ τέχνῃ, εἶπέ τις Λάκων· Ἀλλὰ νὴ τὼ Σιὼ, τέχνη ἄνευ τῦ ἀληθείας ἦφθαι, ἔτε ἐστὶν, ἔτε μή ποτε γένηται.

Ἀργείε ποτ' εἰπόντος· Πολλοὶ τάφοι παρ' ἡμῖν εἰσι Σπαρτιατῶν· Λάκων εἶπεν· Ἀλλὰ μὴν παρ' ἡμῖν Ἀργείων ἐδὲ εἷς· ὡς αὐτῶν μὲν πολλάκις Ἄργες ἐπιβεβηκότων, Ἀργείων δὲ τῆς Σπάρτης ἐδέποτε.

Λάκων

1 T rn. ὅτι τοῖς Χ.

2 Turn. & Petav. διπλασίες.

Λάκων αἰχμαλωτιϑεὶς καὶ πιπρασκόμενος, τȣ͂ κήρυκος λέγοντος· Λάκωνα πωλῶ· ἐπεςόμισεν, εἰπών· Αἰχμάλωτον κήρυσσε.

Τῶν παρὰ Λυσιμάχῳ ςρατευομένων ἐρωτηϑείς τις ὑπ' αὐτȣ͂, μή τις τῶν εἱλώτων ἐςί· Σὺ δ' οἴει (ἔφη) ἐπὶ τὸ παρὰ σȣ͂ τετρώβολον [1] Λάκωνα ἥξειν;

Ὅτε Θηβαῖοι νικήσαντες τȣ̀ς Λάκωνας ἐν Λεύκτροις πρὸς αὐτὸν παρῆσαν τὸν Εὐρώταν, καί τις μεγαλαυχῶν εἶπε· Πȣ͂ νῦν εἰσιν οἱ Λάκωνες· Σπαρτιάτης ληφϑεὶς ὑπ' αὐτῶν· Οὐ πάρεισιν, ἔφη· ȣ̓ γὰρ ἂν ὑμεῖς δεῦρο ἤλϑετε.

Ἀϑηναίων ἀξιȣ́ντων, ὅτε παρέδωκαν τὸ ἄςυ, Σάμον αὐτοῖς μόνον ἐᾶσαι [2], εἶπον· Ὅταν αὐτῶν ȣ̓κ ἦτε, τότε καὶ ἄλλȣς ἔχειν ζητεῖτε; Ἀφ' ȣ͂ καὶ ἡ παροιμία· Ὃς αὐτὸς αὐτὸν [3] ȣ̓κ ἔχει, Σάμον ϑέλει.

Πόλιν τινὰ κατὰ κράτος ἑλόντων [4] Λακεδαιμονίων, οἱ ἔφοροι εἶπον· Οἴχεται τὸ πάλαισμα τῶν νέων· ȣ̓κ ἔτι ἕξȣσιν ἀνταγωνιςάς.

Ἄλλην πόλιν ὑπισχνȣμένȣ βασιλέως [5] αὐτῶν τέλεον ἀφανιεῖν, ἣν συμβεβήκει πράγματα πολλάκις παρεσχῆσθαι τοῖς Λάκωσιν, ȣ̓κ ἐπέτρεψαν, φάμενοι· Μηδαμῶς ἀφανίσῃς, μηδ' ἀνέλῃς, τὰν ἀκόναν τῶν νέων.

Τοῖς παλαίȣσι παιδοτρίβας ȣ̓κ ἐφίςανον, ἵνα μὴ τέχνης, ἀλλ' ἀρετῆς, ἡ φιλοτιμία γένηται. διὸ καὶ Λύσανδρος [6] ἐρωτώμενος, ὅπως ὁ Χάρων ἐνίκησεν αὐτόν· Τᾷ πολυμηχανίᾳ, εἶπε.

Φιλίππȣ γράφοντος, ὅτε εἰς τὴν χώραν αὐτῶν παρεγένε-

1 Turn. πεβȣτρώβολον (sic). Mox Petav. Λάκων.

2 Turn. & Petav. αὐτοῖς μονὴν ἐᾶσθαι.

3 Ald. & Bas. αὐτῶν.

4 Petav. ἕλοντα.

5 Turn. & Petav. τȣ͂ βασιλέως.

6 Kaltw. appellandum esse monet Λυσανορίδας. Cf. Plut. in Vit. Pelopid. Vol. VII. pag. 244. not. 4.

εγένετο [1], πότερον βȣ́λονται φίλον ἐλθεῖν, ἢ πολέμιον, αὐτὸν, ἀντεφώνησαν· Οὐδέτερον.

Πρεσβευτήν τινα πέμψαντες πρὸς Ἀντίγονον τὸν Δημητρίȣ, πυθόμενοι, ὅτι ἐκάλεσεν αὐτὸν βασιλέα, ἐζημίωσαν, καίτοι μέδιμνον πυρῶν ἑκάςῳ παρ' αὐτȣ̃ σιτοδείας [2] ȣ̓́σης κομίζοντα.

Ἐνέγκαντός τινος ἀρίςην γνώμην μοχθηρȣ̃, ταύτην μὲν ἀπεδέξαντο, περιελόμενοι δὲ τȣ́τȣ, περιέθηκαν ἑτέρῳ καλῶς βεβιωκότι.

Ἀδελφῶν [3] πρὸς ἀλλήλȣς διαφερομένων, τὸν πατέρα ἐζημίωσαν, ὅτι τȣ̀ς υἱεῖς ςασιάζοντας περιορᾷ.

Ψάλτην ἐπιδημήσαντα [4] ἐζημίωσαν, ὅτι δακτύλοις κιθαρίζει.

Δύο παῖδες ἐμάχοντο, ἅτερος δ' αὐτῶν τὸν ἕτερον ἔτρωσε δρεπάνῳ, πληγῇ θανασίμῳ· τῶν δὲ συνήθων παίδων, ἐπεὶ διαλύεσθαι ἔμελλεν [5], ἐπαγγελλομένων ἀμυνεῖσθαι καὶ ἀναιρήσειν τὸν πλήξαντα· Μηδαμῶς εἶπε πρὸς θεῶν· ȣ̓ γὰρ δίκαιον· καὶ γὰρ ἂν ἐγὼ ἐποίησα [6] τȣ̃το, εἰ ἔφθασα καὶ ἀγαθὸς ἐγενόμην.

Ἕτερον παιδάριον, ἐπεὶ παρῆν ὁ καιρὸς, ἐν ᾧ κλέπτειν νενόμιςο τȣ̀ς ἐλευθέρȣς παῖδας, ὅτι τις δύναιτο, καὶ μὴ λαθεῖν αἰσχρὸν ἦν, ὡς οἱ σὺν αὐτῷ παῖδες ζῶν ἔκλεψαν [7] ἀλωπέκιον, καὶ ἔδοσαν αὐτῷ φυλάττειν· παραγενομένων τῶν ἀπολωλεκότων ἐπὶ ζήτησιν, ἔτυχε μὲν ὑπολαβὼν τὸ ἀλωπέκιον ὑπὸ τὸ αὐτȣ̃ ἱμάτιον· ἀγριαίνοντος δὲ τȣ̃ θηρίȣ, καὶ τὴν πλευρὰν αὐτȣ̃ κατεσθίοντος μέχρι τῶν σπλάγχνων, ἠρέμει, ἵνα μὴ γένηται

1 Turn. & Petav. παρεγίνετο.

2 Turn. & Petav. σιτοδοσίας.

3 Turn. & Petav. addunt δὲ post ἀδελφῶν.

4 Petav. ἐπιδημίσαντα, & mox κυθαρίζει.

5 Xyl. vertit: *qui pacis componendae gratia intervenerant.* Legit nimirum ἔμελλον e fcripto. Obfervat idem, διαλύεσθαι, *mori*, effe alieno fenfu. Sic Raph. Reg. vertit.

6 Turn. ἔπαθον.

7 Petav. ἔκλεψεν; nec non mox ὑποβαλὼν pro ὑπολαβών.

ται καταφανής. ὡς δὲ ὕςερον, ἐκείνων ἀπελθόντων, ἐθεάσαντο τὸ γεγονὸς οἱ παῖδες καὶ ἐμέμφοντο, λέγοντες, ἄμεινον εἶναι φανερὸν ποιῆσαι τὸ ἀλωπέκιον, ἢ μέχρι θανάτε κρύπτειν. Οὔμενεν, (εἶπεν) ἀλλὰ κρεῖττον ταῖς ἀλγηδόσι τελευτᾷν, ἢ περίφωρον γενόμενον, διὰ μαλακίαν τὸ ζῆν αἰσχρῶς περιποιήσασθαι.

Περιτυχόντες τινὲς Λάκωσι καθ' ὁδὸν, εἶπον· Εὐτυχήκατε, ἀρτίως ἐντεῦθεν λῃςῶν ἀπιόντων. οἱ δέ· Οὐ μὰ τὸν Ἐνυάλιον, ἀλλ' ἐκεῖνοι, μὴ περιτυχόντες ἡμῖν.

Λάκων ἐρωτηθεὶς, τί ἐπίςαται, εἶπεν· Ἐλεύθερος εἶναι.

Παῖς Σπαρτιάτης αἰχμαλωτιθεὶς ὑπ' Ἀντιγόνε τε βασιλέως καὶ πραθεὶς, τὰ μὲν ἄλλα πάντα ὑπήκοος ἦν τῷ πριαμένῳ, ὅσα ᾤετο προσήκειν ἐλευθέρῳ ποιεῖν· ὡς δὲ προσέταξεν ἀμίδα κομίζειν, ἐκ ἠνέχετο, εἰπών· Οὐ δελεύσω. ἐνιςαμένε δ' ἐκείνε, ἀναβὰς ἐπὶ τὸν κέραμον, καὶ εἰπών· Εἴσῃ [1] τῆς ὠνῆς, ἔβαλεν ἑαυτὸν κάτω, καὶ ἐτελεύτα.

Ἕτερος πωλέμενος, εἰπόντος τινὸς· Χρήσιμος ἔσῃ, ἐὰν ἀγοράσω σε; Κἂν μὴ ἀγοράσῃς, εἶπεν.

Ἄλλος αἰχμάλωτος πιπρασκόμενος, τε κήρυκος ἐπιλέγοντος ἀνδράποδον πωλεῖν· Κατάρατε, (εἶπεν) ἐκ ἐρεῖς αἰχμάλωτον;

Λάκων ἐπὶ τῆς ἀσπίδος μυῖαν ἔχων ἐπίσημον, καὶ ταύτην ἐ μείζω τῆς ἀληθινῆς, ὡς καταγελῶντες τινὲς ἔλεγον, ὅτι [2] ὑπὲρ τε λανθάνειν τῦτο πεποιήκει· Ἵνα μὲν ἐν (εἶπε) φανερὸς ὦ· ἔτω γὰρ τοῖς πολεμίοις πλησίον προσέρχομαι, ὥςε τὸ ἐπίσημον, ἡλίκον ἐςὶν, ὑπ' αὐτῶν ὁρᾶσθαι.

Ἑτε-

1 W. susp. ὀνήσῃ τῆς ὠνῆς, frueris emtione. Mez. οἰμώξῃ, quo recepto delendum est τῆς ὠνῆς. Paulo ante Turn. ἀνιςαμένε pro ἐνιςαμ.

2 Recepi ὅτι ex Turn. Vulgo deest.

Ἕτερος, ἐν συμποσίῳ προσενεχθείσης λύρας· Οὐ Λακωνικὸν (εἶπε [1]) τὸ φλυαρεῖν.

Σπαρτιάτης ἐρωτηθεὶς, εἰ ἀσφαλὴς ἡ εἰς Σπάρτην ὁδὸς, εἶπεν· Ὁποῖος καθίσεις. οἱ μὲν γὰρ λέοντες βαδίζοντες ἀποκλαίοντι [2], τὼς δὲ λαγὼς ἐπὶ τᾶ σκηνᾶ θηρεύομες.

Ἐν χειραψίᾳ [3] περικρέοντος τῶ προσραχηλίζοντος κενοσπέδως, καὶ κατασπῶντος ἐπὶ τὴν γῆν, ἐπειδὴ τῷ σώματι ἐλείπετο ὁ προσπεσὼν, ἔδακε τὸν βραχίονα. καὶ ὁ ἕτερος εἶπε· Δάκνεις, ὦ Λάκων, ὥσπερ αἱ γυναῖκες· Οὔμενων, (εἶπεν ἅτερος) ἀλλ' ὥσπερ οἱ λέοντες.

Χωλὸς ἐπὶ πόλεμον ἐξιὼν καὶ διαγελώμενος, εἶπεν· Οὐ φευγόντων δεῖ, ἀλλ' ἱσταμένων καὶ τὴν τάξιν [4] τηρέντων.

Ἕτερος τοξευθεὶς καὶ τὸν βίον ἐκλείπων, ἔλεγεν· Οὐ μέλει μοι τῶτο, ὅτι ἀποθανῶμαι, ἀλλ' ὅτι ὑπὸ γύνιδος τοξότω καὶ μηδὲν πράξας.

Εἰς

1 Turn. & Petav. ὦ λακονικὸν ἔφη.

2 Frst. & R. ἀπολαίοντι. Restitui lectionem priorem. Locus quidem ipse corruptus, & aegre restituendus. Pro καθίσεις Xyl. legit καθίσαις, *descendes*, quod tamen futurum, eo ipso monente, in communi lingua negant usurpari Grammatici. Pro ἀποκλαίοντι legit ἀποκναίοντι, & hanc inde elicit sententiam: Lacones eunt venatum contra leones; adeo sunt magnanimi: lepores si Spartam veniant, capiuntur. In scripto addit pro λέοντες esse λέγοντες. W. susp. καθίξεις, a καθίκω, *descendo*, & ἀποκλείονται. J. καθίσῃς — ἀποκαλέοντι. E Turn. & Petav. pro βαδίζοντες enotatur βαδίζεσι & βαδίζεσιν. Kaltw. vertit: *es kömmt darauf an, wie du hingehst. Denn Löwen gehen daselbst ihres Weges fort, die Hasen aber fangen wir im Lager.*

3 Alibi hoc a Plut. tribuitur Alcibiadi, hic loci satis perplexe prolatum.

4 Turn. & Petav. μετὰ τάξιν.

Εἰς πανδοκεῖόν τις καταλύσας καὶ δὲς ὄψον τῷ πανδοκεῖ σκευάσαι, ὡς ἅτερος τυρὸν ᾔτει καὶ ἔλαιον [1]. Τί, (ἔφη) εἰ τυρὸν εἶχον, ἔτι ἂν ἐδεόμην ὄψε;

Πρὸς δὲ τὸν μακαρίζοντα Λάμπιν τὸν Αἰγινίτην, διότι ἐδόκει πλεσιώτερος εἶναι [2] ναυκλήρια πολλὰ ἔχων, Λάκων εἶπεν· Οὐ προσέχω εὐδαιμονίᾳ ἐκ χοινίων ἀπηρτημένῃ.

Εἰπόντος δέ τινος Λάκωνι, ὅτι ψεύδεται, ἀπεκρίνατο· Ἐλεύθεροι γὰρ εἰμές. οἱ δ' ἄλλοι, αἴκα μὴ τὰ ἀληθῆ λέγοντι, οἰμώξονται.

Προθέμενός τις νεκρὸν ςῆσαι ὄρθιον, ὡς πάντα ποιῶν οὐκ ἠδύνατο· Νὴ Δία (εἶπεν) ἔνδον τὶ εἶναι δεῖ.

Τύννιχος [3], Θρασυβέλε τε παιδὸς ἀποθανόντος, εὐρώςως ἤνεγκε· καὶ ἐπίγραμμα εἰς τετον ἐγένετο·

Τὰν Πιτάναν Θρασύβελος ἐπ' ἀσπίδος ἤλυθεν ἄπνες,
Ἑπ]ὰ πρὸς Ἀργείων τραύματα δεξάμενος,
Δεικνὺς ἀντία πάντα, τὸν αἱματόεντα δ' ὁ πρέσβυς
Θεὶς ἐπὶ πυρκαϊὴν Τύννιχος εἶπε τάδε·
Δειλοὶ κλαιέσθωσαν· ἐγὼ δέ σε, τέκνον, ἄδακρυς
Θάψω, τὸν καὶ ἐμὸν καὶ Λακεδαιμόνιον.

Ἀλκιβιάδῃ, τῷ Ἀθηναίῳ, βαλανέως ἐπὶ πλεῖςον παρέχοντος [4] ὕδωρ· Λάκων εἶπε· Τί τετο ὡς ε καθαρῷ, σφόδρα δὲ ὡς ῥυπαρῷ πλεῖον παρέχει;

Φίλιππος, ὅτε ἐνέβαλεν εἰς τὴν Λακωνικὴν, καὶ ἐδόκεν ἅπαντες ἀπολεῖσθαι, εἶπε πρός τινα τῶν Σπαρτιατῶν· Τί νῦν ποιήσετε, ὦ Λάκωνες; Τί γὰρ (ἔφη) ἄλλο, ἢ ἀνδρείως ἀποθανέμεθα; μόνοι γὰρ ἡμεῖς Ἑλλήνων ἐλεύθεροι εἶναι καὶ μὴ ὑπακέειν ἄλλοις ἐμάθομεν.

Μετα

1 Raph. Reg. addit *&* *acetum*, καὶ ὄξον.

2 Post εἶναι Turn. & Petav. addunt καί. Mox Petav. εὐδαιμονίαν.

3 Petav. h. l. & infra Τύνιχος. Mox idem εἰς τετο.

4 W. recepit ex Voss. Turn. Petav. παραχέοντος. & deinde παράχει. Priori loco idem legisse videtur Raph. Reg. vertens: *infunderet*. Dicti sententia haud satis expedita.

Μετὰ δὲ τὴν Ἄγιδος ἧτ]αν ὁμήρους αἰτοῦντος Ἀντιπάτρου πεντήκοντα παῖδας, Ἐτεοκλῆς ἐφορεύων εἶπε, παῖδας μὲν οὐ δώσειν, ἵνα μὴ ἀπαίδευτοι γένωνται, τῆς πατρίου ἀγωγῆς [1] ἀτακ]ήσαντες· οὐδὲ πολῖται γὰρ ἂν [2] εἴησαν· πρεσβύτας δ', ἢ γυναῖκας, εἰ βούλοιτο, διπλασίους δώσειν. Ἀπειλοῦντος δ' αὐτοῦ δεινὰ, εἰ μὴ λάβοι, ἀπεκρίναντο [3] κοινῇ· Ἐὰν χαλεπώτερα θανάτου ἐπιτάττῃς, εὐκολώτερον ἀποθανούμεθα.

Πρεσβύτης ἐν Ὀλυμπίᾳ [4] συντελουμένου τοῦ ἀγῶνος προθυμούμενος θεάσασθαι, καθέδρας ἠπόρει· πολλοὺς δ' ἐπιπορευόμενος τόπους, ὑβρίζετο καὶ ἐσκώπ]ετο, μηδενὸς αὐτὸν παραδεχομένου. ὡς δὲ κατὰ τοὺς Λακεδαιμονίους ἧκεν, ἀνέστησαν πάντες οἱ παῖδες καὶ πολλοὶ τῶν ἀνδρῶν, τοῦ τόπου ἐκχωροῦντες· τῶν δὲ Πανελλήνων ἐπισημειωσαμένων κρότῳ τὸ ἦθος καὶ ὑπερεπαινούντων, ὁ πρεσβύτης κινήσας πολιόν τε κάρη πολιόν τε γένειον, καὶ δακρύσας· Οἴμοι τῶν κακῶν, (φησὶν) ὡς ἅπαντες μὲν οἱ Ἕλληνες ἐπίσανται τὰ καλὰ, χρῶνται δ' αὐτοῖς μόνοι Λακεδαιμόνιοι. Φασὶ δέ τινες, ὅτι καὶ Ἀθήνησι τὸ αὐτὸ ἐγένετο. Παναθηναίων [5] γὰρ ὄντων, οἱ Ἀττικοὶ γέροντα προεπηλάκιζον, προσκαλούμενοι μὲν ὡς παραδεξόμενοι, εἰ δὲ παραγένοιτο, οὐ προσδεχόμενοι· ὡς δὲ διεξιὼν σχεδὸν ἅπαντας ἐγένετο κατὰ τοὺς τῶν Λακεδαιμονίων θεωροὺς, ἅπαντες τῶν βάθρων ἀνασάντες, τοῦ τόπου παρεχώρουν. ἀγασθεὶς δὲ ὁ ὄχλος ἐπὶ τῷ γεγονότι, ἐκρότησε μετὰ πολλῆς ἐπισημασίας. καί τις εἶ-



1 Turn. & Petav. τῆς πατρίδος ἀγωγῆς. Pro ἀτακ]ήσαντες W. licet satis bonum esse moneat, melius & forte verum esse suspicatur ἀτυχήσαντες; J. Venet. ἀτευκ]ήσαντες; Voss. ἀτακ]ίσαντες.

2 Turn. pro γὰρ ἂν dat γ' ἄν.

3 Petav. ἀπεκρίνατο.

4 Turn. ἐν ὀλυμπίοις.

5 Ald. & Bas. παναθηνίων. Mox Turn. & Petav. προσεπηλάκιζον.

πε τῶν Σπαρτιατῶν· Νὴ τὼ Σιὼ, ἴσασι μὲν οἱ Ἀθηναῖοι τὰ καλὰ, ȣ πράσσȣσι δέ.

Ἐπαίτης ᾔτησε Λάκωνα· Ἀλλ' εἰ δῴην [1] σοι, (ἔφη) μᾶλλον πτωχεύσεις. τῆς δ' ἀσχημοσύνης σȣ ταύτης, ὁ πρῶτος μεταδȣ̀ς, αἴτιος, ἀργόν σε ποιήσας.

Λάκων ἰδὼν ἀγείροντά τινα θεοῖς, ȣ̓δὲν, εἶπε, φροντίζειν θεῶν [2] πτωχοτέρων ἑαυτȣ̃.

Λαβών τις μοιχὸν ἐπ' αἰσχρᾷ γυναικί· Ἄθλιε (εἶπε) τίς τοι ἀνάγκα;

Ἄλλος ἀκȣ́ων ῥήτορος μεγάλας ςρέφοντος περιόδȣς· Ἀλλὰ νὴ τὼ Σιὼ (εἶπεν) ἀνδρεῖός γε ὁ ἄνθρωπος πρὸς ȣ̓δὲν ὑποκείμενον εὖ ςροβιλοῖ [3] τὴν γλῶσσαν.

Εἰς Λακεδαίμονά παραγενόμενός τις, καὶ τὴν πρὸς τȣ̀ς πρεσβύτας τῶν νέων τιμὴν θεασάμενος· Ἐν Σπάρτῃ μόνῃ (εἶπε) λυσιτελεῖ γηράσκειν.

Ἐρωτηθεὶς Λάκων, ὁποῖός ἐςι Τυρταῖος ὁ ποιητής· Ἀγαθὸς (εἶπε) κακανεῖν [4] νέων ψυχάς.

Ἕτερος ἀλγῶν τȣ̀ς ὀφθαλμȣ̀ς ἐξῄει ἐπὶ πόλεμον· λεγόντων δ' αὐτῷ τινῶν· Πȣ̃ ἄπει ȣ̔́τως ἔχων, ἢ τί ποιήσων; Κᾂν μηδὲν ἕτερον πράξω, (ἔφη) πολεμίȣ γε [5] μάχαιραν ἀμβλυνῶ.

Βȣ̃ρις καὶ Σπέρτις [6] Λακεδαιμόνιοι πορευθέντες ἐθελον-

1 Turn. & Petav. δοίην.

2 Petav. φροντίζει; Turn. & Bong. θεόν.

3 Turn. & Petav. ςρεβλοῖ.

4 Raph. Reg. vertit: *excitare*; alius interp. *contumelia imbuere & stultitia*; Xyl. *blande ducere*, suspicans καλλύνειν. quod est *ornare*, *elegantes reddere*, & ap. Plut. Soleit animal. legitur. In Cleomene Plut. Vol. V. pag. 156. est αἰκάλλει. Vide, quae ibi not. 3. de verbo κακανεῖν e R. mente afferuntur. Hoc loco Venet. κακύνειν. Mez. κακκονεῖν, *acuere*, quod W. verum censet, aut proximum vero. E Turn. notatur: forsan εἶπεν ἀκονεῖν.

5 Dedi γε pro vulg. δὲ e Mez. probante W. A Voss. plane abest.

6 Turn. Πάρτις.

λονται πρὸς Ξέρξην, τῶν Περσῶν βασιλέα, ἐπὶ τιμαρίᾳ, ἣν ὤφειλεν ἡ Λακεδαίμων κατὰ χρησμὸν, διότι κήρυκας πεμφθέντας [1] ἀπὸ τȣ̃ Πέρσȣ ὡς αὐτȣ̀ς, ἀπέκτειναν. ἐλθόντες πρὸς τὸν Ξέρξην, ἐκέλευον ᾧ βȣ́λεται τρόπῳ διαχρήσασθαι αὐτȣ̀ς ὑπὲρ Λακεδαιμονίων. ὡς δ' ἐκεῖνος ἀγασθεὶς ἀπέλυσε τȣ̀ς ἄνδρας, καὶ ἠξίȣ μένειν παρ' αὐτῷ· Καὶ πῶς ἂν (ἔφασαν) δυναίμεθα ζῆν ἐνταῦθα, πατρίδα καταλιπόντες καὶ νόμȣς, καὶ τȣ́τȣς τȣ̀ς ἄνδρας, ὑπὲρ ὧν τοσαύτην ἤλθομεν ὁδὸν ἀποθανȣ́μενοι; Ἰνδάρνȣ δὲ, τȣ̃ ςρατηγȣ̃, ἐπὶ πλέον δεομένȣ, καὶ λέγοντος τεύξεσθαι αὐτȣ̀ς τῆς ἴσης τιμῆς τοῖς μάλιςα ἐν προαγωγῇ φίλοις τȣ̃ βασιλέως, ἔφασαν· Ἀγνοεῖν ἡμῖν δοκεῖς, ἡλίκον ἐςὶ τὸ τῆς ἐλευθερίας, ἧς ȣ̓κ ἂν ἀλλάξαιτό τις νȣ̃ν ἔχων τὴν Περσῶν βασιλείαν.

Λάκων, ἐπεὶ τῇ μὲν προτέρᾳ ἡμέρᾳ ὁ ξένος αὐτὸν ἐξέκλινε, τῇ δ' ἑξῆς ςρώματα χρησάμενος δαψιλῶς ὑπεδέχετο, ἐπιβὰς τοῖς ςρώμασι, κατεπάτει, ἐπιλέγων, διὰ ταῦτα ἐχθὲς ȣ̓δ' ἐπὶ ψιάθȣ ὑπνωκέναι.

Ἕτερος ἐλθὼν εἰς Ἀθήνας, καὶ ὁρῶν τȣ̀ς Ἀθηναίȣς τὸ τάριχος ἀποκηρύττοντας [2] καὶ τὸ ὄψον, καὶ τελωνȣ̃ντας, καὶ πορνοβοσκȣ̃ντας, καὶ ἕτερα ἔργα ἀσχήμονα πράττοντας, καὶ μηδὲν αἰσχρὸν ἡγȣμένȣς· ὅτε ἐπανῆλθεν εἰς τὴν πατρίδα, τῶν πολιτῶν πυνθανομένων αὐτȣ̃, ποῖά τινα τὰ ἐν Ἀθήναις· Πάντα (εἶπε) καλὰ· εἰρωνευόμενος, καὶ παριςȣ̀ς, ὅτι πάντα παρὰ τοῖς Ἀθηναίοις καλὰ νομίζεται, αἰσχρὸν δ' ȣ̓δέν.

Ἄλλος [3] ἐρωτώμενος περί τινος, ἀπεκρίνατο· Οὔ. ὡς δὲ ὁ ἐρωτήσας ἀπεκρίνατο, ὅτι Ψεύδῃ· Ὁρᾷς ȣ̓̃ν, (ἔφη) ὅτι μάταιος εἶ περὶ ὧν ἐπίςασαι ἐρωτῶν.

Ἧκόν ποτε κατὰ πρεσβείαν Λάκωνες πρὸς Λύγδαμιν



1 Petav. πεμφθέντες. Mox Turn. ἔφησαν pro ἔφασαν. Petav. porro Ἰνδάρȣ pro Ἰνδάρνȣ.

2 Turn. ὑποκηρύττοντος.

3 Turn. ἄλλȣ; idem infra cum Petav. ἐρωτᾷν pro ἐρωτῶν.

δαμιν τὸν τύραννον· ὡς δ' ἐκεῖνος ὑπερτιθέμενος πολλάκις συντυχεῖν ἀνεβάλλετο, τὸ δ' ἐπὶ πᾶσι μαλακῶς ἔχειν αὐτὸν ἔφασαν, οἱ πρέσβεις· Λέγε αὐτῷ, (εἶπον) ὅτι μὰ τοὺς θεοὺς οὐ παλαισόμενοι πρὸς αὐτὸν ἐληλύθαμεν, ἀλλὰ διαλεχθησόμενοι.

Λάκωνά τινα τις μυσταγωγῶν ἠρώτα, τί πρᾶξας ἑαυτῷ σύνοιδεν ἀσεβέστατον [1]. ὁ δέ· Γινώσκουσιν οἱ θεοί, ἔφη. ἐπικειμένου δὲ μᾶλλον, καὶ λέγοντος· Πάντως σε δεῖ εἰπεῖν· ὁ Λάκων ἀντηρώτησε· Τίνι με δεῖ εἰπεῖν; σοί, ἢ τῷ θεῷ; τοῦ δ' εἰπόντος· Τῷ θεῷ· Σὺ τοίνυν (ἔφη) ἀποχώρησον.

Ἕτερος νυκτὸς μνῆμα παριὼν καὶ φαντασιωθεὶς δαιμόνιόν τι, ἐπέδραμε τῇ λόγχῃ διαράμενος· καὶ [2] ἐναπερείδων, εἶπε· Πῇ με φεύγεις δὶς ἀποθανουμένη ψυχή [3];

Ἄλλος εὐξάμενος ἀπὸ τοῦ Λευκάτα [4] ῥίπτειν ἑαυτόν, ἀνέβη, καὶ ὑπέστρεψεν, ἰδὼν τὸ ὕψος. ὀνειδιζόμενος δ' εἶπεν· Οὐκ ᾤμην τὰν εὐχὰν ἄλλας μείζονος εὐχᾶς δεῖσθαι.

Ἄλλος ἐπὶ παρατάξεως τῷ πολεμίῳ τὸ ξίφος καταφέρειν μέλλων, ἐπεὶ τὸ ἀνακλητικὸν ἐσήμηνεν, οὐκ ἔτι κατήνεγκε. πυθομένου δέ τινος, διὰ τί τὸν ἐχθρὸν ἔχων ὑποχείριον, οὐκ ἀπέκτεινεν [5]. Ὅτι (ἔφη) βέλτιόν ἐστι τοῦ φονεύειν τὸ πείθεσθαι τῷ ἄρχοντι.

Λάκωνί τινι ἡττωμένῳ ἐν Ὀλυμπίᾳ εἶπέ τις· Ὁ ἀνταγωνιστής, ὦ Λάκων, ἐγένετό σου κρείσσων· Οὐ μὲν οὖν (ἔφη) ἀλλὰ καββαλικώτερος.

TA

1 Turn. Petav. ἀσέβαστον.

2 R. τῇ λόγχῃ· διαράμενος δὲ ἐναπ. Frſt. diſtinguit poſt διαράμ. at pro καὶ male habet δέ. Reſtitui lectionem priorem.

3 Turn. ἀποθανομένα ψυχά; Petav. ἀποθανουμένα ψ.

4 Turn. Bong. Λευκάδα. Mox iid. cum Petav. οὐ ᾤμαν.

5 Turn. Petav. ἀπέκτανας.

# ΤΑ ΠΑΛΑΙΑ ΤΩΝ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ΕΠΙΤΗΔΕΥΜΑΤΑ [1].

Τῶν δ' εἰσιόντων εἰς τὰ συσσίτια [2] ἑκάστῳ δεικνύων ὁ πρεσβύτατος τὰς θύρας· Διὰ τούτων (φησὶν) οὐδεὶς ἐξέρχεται λόγος.

Δοκιμαζομένου μάλιστα παρ' αὐτοῖς τοῦ μέλανος λεγομένου ζωμοῦ, ὥστε μὴ κρεαδίου δεῖσθαι τοὺς πρεσβυτέρους, παραχωρεῖν δὲ τοῖς νεανίσκοις [3], λέγεται Διονύσιος ὁ τῆς Σικελίας τύραννος τούτου χάριν Λακωνικὸν μάγειρον πρίασθαι καὶ προστάξαι σκευάσαι αὐτῷ μηδενὸς φειδόμενον ἀναλώματος· ἔπειτα γευσάμενον καὶ δυσχεράναντα ἀποπτύσαι, καὶ τὸν μάγειρον εἰπεῖν· Ὦ βασιλεῦ, τοῦτον δεῖ τὸν ζωμὸν γυμνασάμενον Λακωνικῶς, ἔν τε [4] τῷ Εὐρώτᾳ λελουμένον ἐποψᾶσθαι.

Πίνοντες οἱ Λάκωνες ἐν τοῖς συσσιτίοις μετρίως, ἀπίασι δίχα λαμπάδος. οὐ γὰρ ἔξεστι πρὸς φῶς βαδίζειν οὔτε ταύτην, οὔτ' ἄλλην ὁδὸν, ὅπως ἐθίζωνται [5] σκότους καὶ νυκτὸς εὐθαρσῶς καὶ ἀδεῶς ὁδεύειν. Γράμματα ἕνεκα τῆς χρείας ἐμάνθανον· τῶν δ' ἄλλων παιδευμάτων ξενηλασίαν ἐποιοῦντο, οὐ μᾶλλον ἀνθρώπων, ἢ λόγων· ἡ δὲ παιδεία ἦν αὐτοῖς πρὸς τὸ ἄρχεσθαι καλῶς, καὶ καρτερεῖν πονοῦντα, καὶ μαχόμενον νικᾶν, ἢ ἀποθνήσκειν.

Διετέλουν δὲ καὶ ἄνευ χιτῶνος [6], ἓν ἱμάτιον εἰς τὸν



1 abest inscriptio ab Ald. Bas. Voss. At Xyl. habet inscriptionem Νόμιμα Λακώνων.

2 Ald. συσσία.

3 Dedi hoc casu, Xyl. & Steph. jubentibus, e Turn. & Lycurg. Vit. Vol. I. p. 111. Vulgo τοὺς νεανίσκους.

4 Dedi sic e mente H. Steph. Vulgo deest ἔν τε. Turn. & Petav. καὶ τῷ Εὐρότᾳ.

5 Petav. ἐθίζονται.

6 H. Steph. docente, idem est ac si dixisset διετέλουν ἀχίτωνες.

τὸν ἐνιαυτὸν λαμβάνοντες, αὐχμηροὶ τὰ σώματα, καὶ λϑτρῶν καὶ ἀλειμμάτων κατὰ τὸ πλεῖϛον ἀπεχόμενοι.

Ἐκάθευδον δὲ οἱ νέοι ὁμϑ κατ' ἴλην καὶ κατὰ ἀγέλην ἐπὶ ϛιβάδων, ἃς αὐτοὶ συνεφόρϑν, τϑ παρὰ τῷ Εὐρώτᾳ [1] πεφυκότος καλάμϑ τὰ ἄκρα ταῖς χερσὶν ἄνευ σιδήρϑ κατακλάσαντες. ἐν δὲ τῷ χειμῶνι τϑς λεγομένϑς λυκοφάνας [2] ὑπεβάλλοντο καὶ κατεμίγνυσαν ταῖς ϛιβάσι, θερμαντικὸν ἔχειν τι τῆς ὕλης δοκϑσης.

Ἐρᾷν τῶν τὴν ψυχὴν σπϑδαίων παίδων ἐφίετο· τὸ δὲ πλησιάζειν, αἰσχρὸν νενόμιϛο, ὡς τϑ σώματος ἐρῶντας [3], ἀλλ' ϑ τῆς ψυχῆς· ὁ δὲ ἐγκληθεὶς ὡς ἐπ' αἰσχύνῃ πλησιάζων, ἄτιμος διὰ βίϑ ἦν.

Ἔθος ἦν καὶ τϑς νεωτέρϑς ὑπὸ τῶν πρεσβυτέρων ἐρωτᾶσθαι, πϑ πορεύονται, καὶ ἐπὶ τί· καὶ τὸν μὴ ἀποκρινόμενον, ἢ προφάσεις πλέκοντα, ἐπιπλήττειν. ὁ δὲ μὴ ἐπιπλήττων [4] παρόντος αὐτϑ ἁμαρτάνοντα, ἔνοχος ἦν τῷ ἴσῳ ἐπιτιμίῳ ὥσπερ καὶ ὁ ἁμαρτών. καὶ ὁ δυσχεραίνων δὲ, εἰ ἐπιτιμῷτο, ἐν μεγάλῳ ὀνείδει ἦν.

Εἴ τις φωραθείη ἁμαρτάνων, ἔδει τϑτον βωμόν τινα τῶν ἐν τῇ πόλει κύκλῳ περιϊέναι, ψόγον ᾄδοντα πεποιημένον εἰς ἑαυτόν· ὅπερ ἦν ϑδὲν ἕτερον, ἢ ἐπιπλήττειν αὐτὸν ἑαυτῷ.

Καὶ τϑς νέϑς δὲ, ϑ μόνον τϑς ἰδίϑς αἰδεῖσθαι πατέρας, καὶ ὑπηκόϑς τϑτοις εἶναι, ἀλλὰ πάντας τϑς πρεσβυτέρϑς ἐντρέπεσθαι, καὶ ὁδῶν ὑποχωρϑντας καὶ καθέδρας [5] ὑπεξιϛαμένϑς, καὶ παρόντων ἡσυχάζοντας. διὰ

1 Petav. παρὰ τϑ Εὐρότα.

2 Turn. λυκοφῶνας. Planta haud nota, cujus nomen varie datur.

3 Turn. & Petav. ἐρῶντος.

4 Quae interjacent inter hanc vocem, & ἔδει in loco sequenti, absunt a Petav.

5 Sic dari voluit Steph. dedique e Turn. & Petav. pro vulg. καθ' ἕδρας. Recepit idem W, adsentientibus J. & Voss. Dedi porro

διὸ καὶ ἦρχεν ἕκαστος, ἐχ ὥσπερ ἐν ταῖς ἄλλαις πόλεσι, τῶν αὐτῦ [1] τέκνων καὶ δέλων καὶ κτημάτων, ἀλλ' ὥσπερ [2] τῶν αὐτῦ, καὶ τῶν τῦ πλησίον, ὅπως ὅτι μάλιστα κοινωνῶσι καὶ φροντίζωσιν ὡς ἰδίων.

Παῖς δὲ ὑπό τινος κολασθεὶς, εἰ τῷ πατρὶ ἐξήγγειλεν, αἰσχρὸν ἦν τῷ πατρὶ μὴ προσεντεῖναι ἀκέσαντα, πάλιν ἑτέρας [3]. ἐπίστευον γὰρ αὐτοῖς [4] ἐκ τῆς πατρίυ ἀγωγῆς μηδὲν αἰσχρὸν προστάξαι τοῖς τέκνοις.

Κλέπτεσι δὲ οἱ νέοι καὶ τῶν σιτίων ὅ τι ἂν δύνωνται, μανθάνοντες εὐφυῶς ἐπιτίθεσθαι [5] τοῖς καθεύδεσιν, ἢ ῥαθύμως φυλάσσεσι· τῷ δὲ ἁλόντι ζημία πληγαὶ καὶ τὸ πεινῆν. γλίσχρον γὰρ αὐτοῖς ἐσι δεῖπνον, ὅπως δι' αὑτῶν ἀμυνόμενοι τὴν ἔνδειαν ἀναγκάζωνται τολμᾷν καὶ πανεργεῖν.

Τὸ δὲ ἔργον τῆς σιτοδείας διά τε ταῦτα γλίσχρον ἦν, καὶ ἵν' [6] ἐθίζωνται μηδέποτε γίνεσθαι πλήρεις, δύνασθαι δὲ πεινῆν. ἔτω γὰρ ᾤοντο [7] καὶ ἐν πολέμῳ χρησιμωτέρες ἔσεσθαι, εἰ δύναιντο καὶ ἀσιτήσαντες ἐπιπονῆσαι· καὶ ἐγκρατεςέρες [8] δὲ καὶ εὐτελεςέρες, εἰ πλείω χρόνον διάγοιεν ἀπὸ μικρᾶς δαπάνης· τὴν δ' ἀνοψίαν



αὖ

porro παρόντων, Xyl. versione ductus pro vulg. παριόντων. Idem W. dedit, nulla tamen ratione allata. Cum infinitivis subaudiendum est ex antecedenti ἔθος ἦν.

1 Sic Ald. Bas. Steph. utraque ed. Maitt. & Petav. & restituendum censui pro αὐτῶν, quod est in Fist. & R. Etiam W. habet αὐτῶν; quanam ratione, latet.

2 Turn. & Petav. ἀλλ' ὅπως τ. αὐ.

3 Subaud. πληγάς.

4 Sic cum W. dedi e Turn. & Petav. pro vulg. ἑαυτοῖς

5 Turn. μανθάνεσι (Petav. μανθάνεσιν) εὐφυῶς ὑποτίθεσθαι. Etiam ὑποτ·θ. habet Petav. nec non δι' αὑτῶν pro δι' αὐτ. & ἀναγκάζονται.

6 Partic. καὶ e Turn. & Petav. addendam censui.

7 Ald. & Bas. ᾤονται.

8 Ald. & Bas. ἀκρατεςέρες contra loci sententiam. Xyl. e scripto correxit.

αὖ φέρειν [1], ὡς βρῶμα τὸ τυχὸν προσφέρεσθαι, ᾤοντο ὑγιεινότερα τὰ σώματα ἀπὸ τῆς ἐλλειπούσης ποιεῖν τροφῆς, καὶ μὴ αὔξειν εἰς βάθος καὶ πλάτος πιεζόμενον, ἐπαίρειν δὲ εἰς ὕψος τὰ σώματα· καὶ καλὰ δὲ ποιεῖν· τὰς γὰρ ἰσχνὰς καὶ διακένους ἕξεις ὑπακούειν πρὸς τὴν διάρθρωσιν, τὰς δὲ πολυτρόφους [2] διὰ βάρος ἀντιβαίνειν.

Ἐσπούδαζον δὲ καὶ περὶ τὰ μέλη καὶ τὰς ᾠδὰς οὐδὲν ἧττον. κέντρον δ' εἶχε ταῦτα ἐγερτικὸν θυμοῦ καὶ φρονήματος, καὶ παραστατικὸν ὁρμῆς ἐνθουσιώδους καὶ πρακτικῆς. καὶ ἡ λέξις ἦν ἀφελὴς καὶ ἄθρυπτος· οὐδὲν δ' ἕτερον εἶχεν, ἢ ἐπαίνους τῶν γεννικῶς [3] ζησάντων, καὶ ὑπὲρ τῆς Σπάρτης ἀποθανόντων καὶ εὐδαιμονιζομένων· καὶ ψόγους τῶν τρεσάντων, ὡς ἀλγεινὸν καὶ κακοδαίμονα βιούντων βίον· ἐπαγγελία τε καὶ μεγαλαυχία πρὸς ἀρετὴν πρέπουσα ταῖς ἡλικίαις.

Τριῶν

1 In his secutus sum Wyttenbachii conjecturam. Vulgo ita extant: τὴν δ' ἀνοψίαν ἀποφέρειν, ᾧ βρῶμα τὸ τυχὸν προσφέρεσθαι ᾤοντο ὑγ. τ. σ. ἀ. τ. ἐ. π. τροφῆς, καὶ αὔξειν ε. β. κ. πλάτος, μὴ πιεζόμενον ἐπαίρειν εἰς ὕψ. τὰ σώμ. Pro ᾧ βρῶμα Xyl. & H. Steph. reponi voluerunt τῷ βρ. ut sit τῷ προσφέρεσθαι pro διὰ τοῦ προσφ. Raph. Reg. vertit: absque obsonio degendo & cibum quemlibet ac vulgarem sumendo. E Turn. notatur: forsan ὑποφέρειν τὸ βρῶμα. Locus ipse compilatus est ex Vit. Lycurg. Vol. I. p. 122. unde reliquae emendationes facile sese probant. In Ald. & Bas. legitur καὶ αὔξειν ante ἀπὸ τῆς ἐλλ. Steph. reposuit post τροφῆς. Turn. porro pro πιεζόμενον dat πιεζόμενα. Raph. Reg plane omittit, quae sequuntur post τροφῆς usque ad posterius σώματα, vertendo: putabant corpora cibi paucitate reddi & saniora & pulchriora.

2 Sic Xyl. & Steph. legendum monuerunt pro πολυτρόπους, quod in Ald. & Bas. extat. Enotatur simul e Turn. Bong. Petav.

3 Pro hac voce legi voluit Xyl. γενναίως. At Hesychio teste idem valet. W. γενικῶς, quod quidem a Suida per ἰσχυρῶς & γενναίως explicatur, sed in notis ad Hesych. sub voce γενικαὶ & γεννικῶς improbatur, utpote male a Kustero retentum, & cum γεννικῶς mutandum. Pro ζησάντων Turn. ζητησάντων.

Τριῶν ὖν χορῶν ὄντων κατὰ τὰς [1] τρεῖς ἡλικίας, καὶ συνισαμένων ἐν ταῖς ἑορταῖς, ὁ μὲν τῶν γερόντων, ἀρχόμενος ᾖδεν· Ἄμες ποτ' ἦμες ἄλκιμοι νεανίαι· εἶτα ὁ τῶν ἀκμαζόντων ἀνδρῶν, ἀμειβόμενος· Ἄμες δέ γ' ἐσμέν· αἰ δὲ λῇς, αὐγάσδεο· ὁ δὲ τρίτος ὁ τῶν παίδων· Ἄμες δέ γ' ἐσσόμεθα [2] πολλῷ κάῤῥονες.

Καὶ οἱ ἐμβατήριοι [3] δὲ ῥυθμοὶ παρορμητικοὶ πρὸς ἀνδρείαν καὶ θαῤῥαλεότητα καὶ ὑπερΦρόνησιν θανάτου, οἷς ἐχρῶντο ἔν τε χοροῖς καὶ πρὸς αὐλὸν ἐπάγοντες τοῖς πολεμίοις. ὁ γὰρ Λυκοῦργος παρέζευξε τῇ κατὰ πόλεμον ἀσκήσει τὴν Φιλομουσίαν, ὅπως τὸ ἄγαν πολεμικὸν τῷ ἐμμελεῖ κεραθὲν, συμΦωνίαν καὶ ἁρμονίαν ἔχῃ· διὸ καὶ ἐν ταῖς μάχαις προεθύετο ταῖς μούσαις ὁ βασιλεὺς, ἵνα λόγου ἀξίας παρέχωσι τὰς πράξεις οἱ μαχόμενοι καὶ μνήμης εὐκλεοῦς.

Εἰ δέ τις παραβαίνοι τι τῆς ἀρχαίας μουσικῆς, οὐκ ἐπέτρεπον· ἀλλὰ καὶ τὸν Τέρπανδρον ἀρχαϊκώτερον ὄντα καὶ ἄρισον τῶν καθ' ἑαυτὸν κιθαρῳδῶν, καὶ τῶν ἡρωϊκῶν πράξεων ἐπαινέτην, ὅμως οἱ ἔΦοροι ἐζημίωσαν, καὶ τὴν κιθάραν αὐτοῦ προσεπαττάλευσαν Φέροντες· ὅτι μίαν μόνην [4] χορδὴν ἐνέτεινε περισσοτέραν, τοῦ ποικίλου τῆς Φωνῆς χάριν. μόνα γὰρ τὰ ἁπλέσερα τῶν μελῶν ἐδοκίμαζον. Τιμοθέου δὲ ἀγωνιζομένου τὰ Κάρνεια [5], εἷς τῶν ἐΦόρων μάχαιραν λαβὼν ἠρώτησεν αὐτὸν, ἐκ ποτέρου τῶν μερῶν ἀποτέμοι τὰς πλείους τῶν ἑπτὰ χορδῶν.

Τῶν δὲ τάΦων ἀνεῖλε τὴν δεισιδαιμονίαν ἅπασαν ὁ Λυκοῦργος, ἐν τῇ πόλει θάπτειν τοὺς νεκροὺς, καὶ πλησίον

1 Petav. omittit τάς.

2 Ald. & Baf. ἐσσόμεθα. Petav. ἐσόμεθα.

3 Sic Xyl. e Lyc. Vita legendum monuit, pro ἐμβάτεροι, quod eſt in Ald. Baf. Steph. ed. min. Mox Petav. ἀνδρίαν.

4 Petav. inverſo ordine μόνην μίαν.

5 Feſtum Apollini ſacrum.

σίον ἔχειν [1] τὰ μνημεῖα τῶν ἱερῶν συγχωρήσας. Περιεῖλε δὲ καὶ τὰς μιασμὰς, συνθάπτειν δὲ ὐδὲν ἐπέτρεψεν, ἀλλ' ἐν Φοινικίδι καὶ Φύλλοις ἐλαίας θέντας, τὸ σῶμα περιστέλλειν κατ' ἴσον ἅπαντας. ἀνεῖλε δὲ καὶ τὰς ἐπιγραφὰς τὰς ἐπὶ τῶν μνημείων, πλὴν τῶν ἐν πολέμῳ πεσόντων, καὶ τὰ πένθη καὶ τὰς ὀδυρμάς.

Ἀποδημεῖν δὲ [2] ὐκ ἐξῆν αὐτοῖς, ἵνα μὴ ξενικῶν ἐθῶν καὶ βίων ἀπαιδεύτων μετάσχωσι.

Καὶ ξενηλασίας δὲ εἰσηγήσατο, ὅπως οἱ παρεισρέοντες μὴ διδάσκαλοι κακῦ τινος τοῖς πολίταις ὑπάρχωσι.

Τῶν πολιτῶν ὃς ἂν μὴ ὑπομείνῃ τὴν τῶν παίδων ἀγωγὴν, ὐ μετεῖχε τῶν τῆς πόλεως δικαίων.

Ἔνιοι δ' ἔφασαν, ὅτι καὶ τῶν ξένων ὃς ἂν ὑπομείνῃ ταύτην τὴν ἄσκησιν τῆς πολιτείας, κατὰ τὸ βύλημα τῦ Λυκύργυ μετεῖχε τῆς ἀρχῆθεν διατεταγμένης [3] μοίρας· πωλεῖν δ' ὐκ ἐξῆν.

Τοῖς τῶν πλησίον οἰκέταις ὡς ἰδίοις χρῆσθαι ἔθος ἦν, εἴπυ δέοιντο, καὶ κυσὶ καὶ ἵπποις, εἰ μὴ οἱ δεσπόται χρήζοιεν. καὶ ἐν ἀγρῷ δὲ εἴ τις τινὸς ἐλλιπὴς γενόμενος δεηθείη, ἀνοίξας καὶ βαστάσας τὰ ἐπιτήδεια τῦ ἔχοντος, τὰ ταμεῖα σημηνάμενος κατέλειπεν.

Ἐν τοῖς πολέμοις Φοινικίσιν ἐχρῶντο. ἅμα μὲν γὰρ ἡ χρόα ἐδόκει [4] αὐτοῖς ἀνδρικὴ εἶναι, ἅμα δὲ τὸ αἱματῶδες τῦ χρώματος πλείονα τοῖς ἀπείροις Φόβον παρέχειν. καὶ τὸ μὴ εὐπερίΦωρον [5] δὲ τοῖς πολεμίοις εἶναι,

1 Petav. ἔχειν.

2 Ald. δεῖ pro δὲ. Turn. ἠθῶν pro ἐθῶν. Locum sequentem omittit Petav.

3 Petav. διατεταμένης. Mox idem πλησίων pro πλησίον. Ad πωλεῖν δ' ὐκ ἐξῆν W. adnotat, videri, ut peculiare Institutum, a proximis disjungendum.

4 Ald. & Baſ. δοκεῖ; Petav. δοκῇ, & mox παρέχειν.

5 Reſtitui cum W. pro εὐπερίΦορον, quod ex Steph. edd. in rell. transiit. Ipſe Steph. in adnott. corrigendum monuit.

εἶναι, ἐὰν τις αὐτῶν πληγῇ, ἀλλὰ διαλανθάνειν [1] διὰ τὸ ὁμόχρουν, χρήσιμον.

Ὅταν στρατηγήματι τοὺς πολεμίους νικήσωσι, βοῦν τῷ Ἄρει θύουσιν· ὅταν δ' ἐκ τοῦ Φανεροῦ, ἀλεκτρυόνα· ἐθίζοντες τοὺς ἡγουμένους οὐ μόνον πολεμικοὺς, ἀλλὰ καὶ στρατηγικοὺς εἶναι.

Ταῖς εὐχαῖς [2] προστιθέασι τὸ ἀδικεῖσθαι δύνασθαι. εὐχὴ δ' αὐτῶν, διδόναι τὰ καλὰ ἐπὶ τοῖς ἀγαθοῖς, καὶ πλέον οὐδέν.

Ἀφροδίτην σέβουσι τὴν ἐνόπλιον· καὶ πάντας δὲ τοὺς θεοὺς θήλεις καὶ ἄῤῥενας λόγχας ἔχοντας ποιοῦνται, ὡς ἁπάντων τὴν πολεμικὴν ἀρετὴν ἐχόντων.

Ἐπιλέγουσι δὲ καὶ [3] παροιμιαζόμενοι, τὰν χεῖρα ποτιΦέροντα τὰν τύχαν καλεῖν· ὡς δέον ἐπικαλεῖσθαι τοὺς θεοὺς μετὰ τοῦ ἐγχειρεῖν τι καὶ πράττειν, ἄλλως δὲ μή.

Τοῖς παισὶν ἐπεδείκνυον τοὺς εἵλωτας μεθύσαντας, εἰς ἀποτροπὴν πολυοινίας.

Ἔθος ἦν αὐτοῖς μηδὲ κόπτειν τὰς αὐλείους θύρας [4] ἀλλ' ἔξωθεν βοᾶν.

Στλεγγίσιν οὐ σιδηραῖς, ἀλλὰ καλαμίναις, ἐχρῶντο.

Κωμῳδίας καὶ τραγῳδίας οὐκ ἠκροῶντο, ὅπως μήτε ἐν σπουδῇ, μήτε ἐν παιδιᾷ ἀκούωσι τῶν ἀντιλεγόντων τοῖς νόμοις.

Ἀρχίλοχον τὸν ποιητὴν ἐν Λακεδαίμονι γενόμενον, αὐτῆς ὥρας ἐδίωξαν, διότι ἐπέγνωσαν αὐτὸν πεποιηκότα,

1 Petav. λανθάνειν.

2 Ald. Baf. & Turn. ἀχαῖς, quod Xyl. e MS. corrigi jusfit, jam a Raph. Reg. bene translatum. Steph. dedit εὐχαῖς, adnotans fimul, male quosdam ἀρχαῖς reponendum cenfuiffe.

3 Poft καὶ vulgo fuit οἱ, quod ex mente Xyl. delevi. In feq. Turn. & Petav. τὴν χεῖρα ποτιΦέροντας. Iid. poftea ἐπιχειρεῖν pro ἐγχειρεῖν.

4 abeft θύρας a Petav.

κόντα, ὡς κρεῖττόν ἐστιν ἀποβαλεῖν [1] τὰ ὅπλα, ἢ ἀποθανεῖν·

'Ασπίδι μὲν Σαίων [2] τις ἀγάλλεται, ἣν περὶ θάμνῳ
'Εντὸς ἀμώμητον κάλλιπον οὐκ ἐθέλων.
— ἀσπὶς [3] ἐκείνη
'Εῤῥέτω· ἐξαῦθις κτήσομαι οὐ κακίω.

Κόραις καὶ κόροις κοινὰ τὰ ἱερά.

Σκιραφίδαν ἐζημίωσαν οἱ ἔφοροι, ὅτι ὑπὸ πολλῶν ἠδικεῖτο.

Σακκοφόρον ἀνεῖλον, διότι παρυφὴν εἰς τὸν σάκκον ἐνέβαλε [4].

Τὸν ἐκ τοῦ γυμνασίου νεανίσκον ἐπετίμων, ὅτι τὴν εἰς Πυλαίαν [5] ὁδὸν ἠπίστατο.

Κηφισοφῶντα, εἰπόντα περὶ τοῦ τυχόντος δύνασθαι ὅλην τὴν ἡμέραν λέγειν, ἐξέβαλον, φάμενοι τὸν ἀγαθὸν μυθητὰν δεῖν τοῖς πράγμασιν ἴσον τὸν λόγον ἔχειν.

Οἱ παῖδες παρ' αὐτοῖς ξαινόμενοι μάστιξι δι' ὅλης τῆς ἡμέρας ἐπὶ τοῦ βωμοῦ τῆς 'Ορθίας 'Αρτέμιδος, μέχρι θανάτου πολλάκις διακαρτεροῦσιν, ἱλαροὶ καὶ γαῦροι, ἁμιλλώμενοι περὶ νίκης πρὸς ἀλλήλους, ὅστις αὐτῶν ἐπιπλέον τε καὶ μᾶλλον καρτερήσειε τυπτόμενος· καὶ ὁ περιγενόμενος, ἐν τοῖς μάλιστα ἐπίδοξός ἐστι. καλεῖται δὲ ἡ ἅμιλλα διαμαστίγωσις. γίνεται δὲ καθ' ἕκαστον ἔτος.

Ἓν δέ τι τῶν καλῶν καὶ μακαρίων ἐδόκει παρεσκευα-

1 Restitui ἀποβαλεῖν ex Ald. Bas. Steph. utraque & Petav. pro ἀπολαβεῖν, quod Frft. & R. habent. Hoc ipsum quoque retineri in W. miror.

2 Saji Thraces erant. Strabon. L. X.

3 Versus integer a Stephano sic affertur αὐτὸς δ' ἐξέφυγον θανάτου τέλος —; a Mez. autem ψυχὴν δ' ἐξεσάωσα φυγών. — Mox Petav. ἐῤῥέτω.

4 Ald. & Bas. σάκον & ἀνέβαλε. Hinc in ind. Var. e Turn. enotatum esse videtur ἐνέβ.

5 Xyl. vertendo sic explicat: quod viam nosset, quae ducit ad portam, ubi in trivio colloqui homines solebant. Pro νεανίσκον, quod praecessit, Turn. νεανίσκων.

σκευακέναι τοῖς πολίταις ὁ Λυκοῦργος, ἀφθονίαν [1] σχολῆς. τέχνης μὲν γὰρ ἅψασθαι βαναύσου τὸ παράπαν οὐκ ἔξεστι· χρηματισμοῦ δὲ συναγωγὴν ἔχοντος ἐργώδη καὶ πραγματείας, οὐδ' ὁτιοῦν ἔδει [2], διὰ τὸ κομιδῇ τὸν πλοῦτον ἄζηλον πεποιηκέναι καὶ ἄτιμον. οἱ δὲ εἵλωτες αὐτοῖς εἰργάζοντο τὴν γῆν, ἀποφέροντες [3] ἀποφορὰν τὴν ἄνωθεν ἱσταμένην. Ἐπάρατον δ' ἦν πλείονός τινα μισθῶσαι, ἵνα ἐκεῖνοι μὲν κερδαίνοντες, ἡδέως ὑπηρετῶσιν· οὗτοι δὲ μὴ πλέον ἐπιζητῶσιν.

Ἀπείρητο δ' αὐτοῖς ναύταις εἶναι καὶ ναυμαχεῖν· ὕστερον μέντοι ἐναυμάχησαν, καὶ τῆς θαλάσσης κρατήσαντες, πάλιν ἀπέστησαν, διαφθειρόμενα τὰ ἤθη τῶν πολιτῶν θεωροῦντες. ἀλλὰ πάλιν μετεβάλοντο [4], καθάπερ ἐν τοῖς ἄλλοις πᾶσι· καὶ γὰρ χρημάτων συναχθέντων τοῖς Λακεδαιμονίοις, οἱ συναγαγόντες θανάτῳ κατεδικάσθησαν. Ἀλκαμένει γὰρ καὶ [5] Θεοπόμπῳ τοῖς βασιλεῦσι χρησμὸς ἐδόθη· Ἁ φιλοχρηματία [6] Σπάρταν ὀλεῖ. ἀλλ' ὅμως Λύσανδρος ἑλὼν Ἀθηναίους, πολὺν χρυσὸν καὶ ἄργυρον εἰσήγαγε, καὶ παρεδέξαντο καὶ ἐτίμησαν τὸν ἄνδρα.

Τοῖς μὲν οὖν Λυκούργου χρωμένη νόμοις ἡ πόλις, καὶ τοῖς ὅρκοις ἐμμείνασα, ἐπρώτευε τῆς Ἑλλάδος, εὐνο-

1 Turn. ἀφθονίας.

2 Turn. & Petav. ἐδόκει pro ἔδει.

3 Recepi hoc participium, quod vulgo deest, e Turn. a quo quidem omissum est ἀποφορὰν. Locum id habere posse, Steph. monuit. In Vita Lyc. datur τελοῦντες (Vol. I. pag. 132.) quod Br. in hoc loco reponi voluit, aut corrigi ἱστάμενοι. Cum W. porro dedi ἱσταμένην ex E. pro vulg. ἱσταμένην; & in seq. ἐπάρατον e Turn. Petav. E. Voss. Venet. pro vulg. ἀπάρατον. Scriptum etiam fuisse poterat, W. monente, ἀπόρρητον, vetitum.'

4 Petav. μετεβάλλοντο.

5 Abest hoc καὶ ab Ald. & Bas. quod inserendum monuit Xyl. e MS.

6 Frst. & R. una voce ἀφιλοχρηματία, quod etiam e Petav. notatur.

εὐνομίᾳ καὶ δόξῃ, χρόνον [1] ἐτῶν πεντακοσίων· κατ' ὀλίγον δὲ παραβαινομένων, καὶ Φιλοπλουτίας καὶ πλεονεξίας παρεισδυομένης, καὶ τὰ τῆς δυνάμεως ἠλαττοῦτο· καὶ οἱ σύμμαχοι διὰ ταῦτα δυσμενῶς εἶχον πρὸς αὐτούς. ἀλλ' ὅμως οὕτως ἔχοντες μετὰ τὴν Φιλίππου τοῦ Μακεδόνος ἐν Χαιρωνείᾳ νίκην, πάντων αὐτὸν τῶν Ἑλλήνων ἡγεμόνα κατά τε [2] γῆν καὶ θάλασσαν ἀναγορευσάντων, καὶ μεταξὺ δ' Ἀλέξανδρον τὸν υἱὸν μετὰ τὴν Θηβαίων καταστροφὴν, μόνοι Λακεδαιμόνιοι (καίπερ ἀτείχιστον πόλιν ἔχοντες, καὶ ὀλίγοι πάνυ ὄντες, διὰ τοὺς συνεχεῖς πολέμους, καὶ πολὺ ἀσθενέστεροι, καὶ εὐχείρωτοι γενόμενοι) πάνυ βραχέα τινὰ ζώπυρα διασώζοντες τῆς Λυκούργου νομοθεσίας, οὔτε συνεστράτευσαν οὔτε τούτοις, οὔτε τοῖς μεταξὺ Μακεδονικοῖς βασιλεῦσιν, οὔτ' εἰς συνέδριον κοινὸν εἰσῆλθον, οὐδὲ Φόρον ἤνεγκαν· ἕως οὖ παντάπασιν ὑπεριδόντες τὴν Λυκούργου νομοθεσίαν, ὑπὸ τῶν ἰδίων πολιτῶν ἐτυραννεύθησαν, μηδὲν ἔτι σώζοντες τῆς πατρίου ἀγωγῆς· καὶ παραπλήσιοι τοῖς ἄλλοις γενόμενοι, τὴν πρόσθεν εὔκλειαν καὶ παῤῥησίαν ἀπέθεντο καὶ εἰς δουλείαν μετέστησαν, καὶ νῦν ὑπὸ Ῥωμαίοις, καθάπερ οἱ ἄλλοι Ἕλληνες, ἐγένοντο.

1 Ald. & Baf. χρόνων.
2 Ald. & Baf. μετά τε γῆν.

---

ΛΑΚΑΙ-

# ΛΑΚΑΙΝΩΝ ΑΠΟΦΘΕΓΜΑΤΑ [1].

Αργιλεωνίδος. Ἀργιλεωνὶς ἡ Βρασίδȣ μήτηρ, τελευτήσαντος αὐτῇ τȣ̃ υἱȣ̃, ὡς παραγενόμενοί τινες τῶν Ἀμφιπολιτῶν εἰς Σπάρτην, ἧκον πρὸς αὐτὴν, ἠρώτησεν, εἰ καλῶς καὶ ἀξίως τῆς Σπάρτης ὁ υἱὸς ἐτελεύτα. μεγαλυνόντων δ' ἐκεῖνον, καὶ λεγόντων ἄριστον ἐν τοῖς τοιȣ́τοις ἔργοις ἁπάντων Λακεδαιμονίων εἶναι, εἶπεν· Ὦ ξένοι, καλὸς μὲν ἦν καὶ ἀγαθὸς ὁ παῖς μȣ, πολλȣ̀ς δ' ἄνδρας Λακεδαίμων ἔχει τήνȣ [2] κάῤῥονας.

Γοργȣ̃ς. Γοργὼ, βασιλέως [3] Κλεομένȣς θυγάτηρ, Ἀρισαγόρȣ τȣ̃ Μιλησίȣ παρακαλȣ̃ντος αὐτὸν ἐπὶ τὸν πρὸς βασιλέα πόλεμον ὑπὲρ Ἰώνων, καὶ [4] ὑπισχνȣμένȣ χρημάτων πλῆθος, καὶ ὅσῳ ἀντέλεγε, πλείονα προστιθέντος· Καταφθαρεῖ σε, (ἔφη) ὦ πάτερ, τὸ ξενύλλιον, ἐὰν μὴ τάχιον αὐτὸν τῆς οἰκίας ἐκβάλῃς.

Προστάξαντος δέ ποτε αὐτῇ τȣ̃ πατρὸς δȣ̃ναί τινι σῖτον εἰς μισθȣ̃ λόγον, καὶ προστιθέντος· Ἐδίδαξε γάρ με τὸν οἶνον χρησὸν ποιεῖν· Οὐκȣ̃ν, ὦ πάτερ, (ἔφη) ὁ τ' οἶνος πλείων ἐκποθήσεται, καὶ οἱ πίνοντες θρυπτικώτεροι καὶ χείρονες ἔσονται.

Τὸν δ' Ἀρισαγόραν ὑπό τινος τῶν οἰκετῶν ὑποδȣ́μενον θεασαμένη· Πάτερ, (ἔφη) ὁ ξένος χεῖρας ȣ̓κ ἔχει. Ξένȣ δέ τινος μαλακῶς σολὴν [5] προσαγαγόντος, παρ-

1 deest inscriptio hujus libelli in Ald. Bas. & Petav. Ejus initium cum fine praecedentis continuatur.

2 Turn. & Petav. τήνω.

3 abest βασιλέως a Petav.

4 Inserendum duxi καὶ, quod vulgo deest, e Turn. & Petav.

5 Primus sic dedit Steph. Antea in Ald. & Bas. legebatur χολῇ, a Petav. quoque Venet. & Voss. exhibitum. Hinc Xyl. legit

παρωσαμένη αὐτόν· Οὐκ ἄπει ἐντεῦθεν (εἶπεν) οὔτε τὰ γυναικὸς δυνάμενος;

Γυρτιάδος. Γυρτιὰς, Ἀκροτάτου ποτὲ τοῦ θυγατριδοῦ αὐτῆς ἔκ τινος τῶν παίδων μάχης πολλὰς πληγὰς λαβόντος, καὶ ἀπενεχθέντος οἴκαδε ὡς τεθνηκότος, κλαιόντων τῶν οἰκείων τε καὶ γνωρίμων· Οὐ σιωπήσετε, ἔφη; ἔδειξε γὰρ, οἵου αἵματος ἦν, καὶ οὐκ ἔφη δεῖν [1] τοὺς ἀγαθοὺς βοᾷν, ἀλλ' ἰατρεύεσθαι.

Ὅτε ἄγγελος ἦλθεν ἐκ Κρήτης τὸν Ἀκροτάτου θάνατον ἀπαγγέλλων· Οὐκ ἔμελλεν (ἔφη) πρὸς τοὺς πολεμίους ἥκων, ἢ αὐτὸς ἀποθανεῖσθαι, ἢ καταιναίνειν ἐκείνους; ἥδιον δ' ἀκούειν, ὅτι ἀπέθανε καὶ ἑαυτῆς καὶ τῆς πόλεως ἄξιος καὶ τῶν προγόνων, ἢ εἰ ἔζη [3] τὸν ἅπαντα χρόνον κακὸς ὤν.

Δαματρίας. Δαματρία τὸν υἱὸν δειλὸν καὶ ἀνάξιον ἑαυτῆς [4] ἀκούσασα, παραγενόμενον ἀνεῖλε. τὸ δ' ἐπίγραμμα ἐπ' αὐτῆς τόδε·

Τὸν παραβάντα νόμους Δαμάτριον ἔκτανε μάτηρ,
Ἁ Λακεδαιμονία τὸν Λακεδαιμόνιον.

Ἑτέρα Λάκαινα τὸν υἱὸν λειποτακτήσαντα ὡς ἀνάξιον τῆς πατρίδος ἀνεῖλεν, εἰποῦσα· Οὐκ ἐμὸν τὸ φίτυμα. ἐφ' ἧς τὸ ἐπίγραμμα τόδε·

Ἔῤῥε κακὸν φίτυμα διὰ σκότος, οὗ [5] διὰ μῖσος
Εὐρώτας δειλαῖς μηδ' ἐλάφοισι ῥέοι.

Ἀχρεῖον

legit injecto καὶ, & vertit: *molliter ac lente accedentem*, non probans στολὴν, quod Raph. Reg. legisse suspicabatur. H. Steph. relinqui posse χολῇ monet, hunc in modum legendo: μαλακῶς καὶ χολῇ τὸ ἱμάτιον προσαγ. W. probat στολὴν, & vertit: *Hospite quodam difficulter stolam amiciente.*

1 Turn. & Petav. δεῖ.

2 Xyl. vertit, ac si legisset ἑαυτοῦ.

3 Ald. Bas. Steph. ed. min. ἢ ἔζη, omisso εἰ. Paulo ante Petav. ἀξίως cum iisdem edd.

4 Turn. & Petav. ἑαυτοῦ.

5 Petav. Ald. Bas. οὐ διὰ μ. MS. Xyl. οὔ.

ʼΑχρεῖον σκυλάκευμα, κακὰ μερὶς [1], ἕῤῥε ποθ' ᾅδαν,
"Εῤῥε· τὸ μὴ Σπάρτας [2] ἄξιον ἐδ' ἔτεκον.

ʼΑκέσασά τις τὸν υἱὸν σεσωσμένον καὶ πεφευγότα ἐκ τῶν πολεμίων, γράφει αὐτῷ· Κακὰ φάμα τεῦ κακκέχυται [3]· ἢ ταύταν νῦν ἔκνιψαι, ἢ μὴ ἔσο.

ʼΑλλη, τῶν υἱῶν φυγόντων ἐκ μάχης, καὶ παραγενομένων ὡς αὐτήν· Πῶ (φησὶν) ἥκετε δραπετεύσαντες, κακὰ ἀνδράποδα; ἢ δεῦρο ὅθεν ἐξέδυτε καταδυσόμενοι; ἀνασυραμένη καὶ ἐπιδείξασα αὐτοῖς τὴν κοιλίαν [4].

Προσάγοντά τις τὸν υἱὸν θεασαμένη, ἐπύθετο, τί πράσσει ἡ πατρίς. εἰπόντος [5] δέ· Πάντες ἀπολώλασι· κεραμίδα ἄρασα, ἐπαφῆκεν αὐτῷ, καὶ ἀνεῖλεν, εἰπῦσα· Σὲ ἦν κακάγγελον [6] ἔπεμψαν ἁμῖν;

Διηγυμένυ τινὸς τῇ μητρὶ γενναῖον θάνατον τῦ ἀδελφῦ· Εἶτ' ἐκ αἰσχρὸν (εἶπε) τοιαύτης συνοδίας ἀποτυχεῖν;

ʼΕκπέμψασά τις τὺς υἱὺς αὐτῆς πέντε ὄντας ἐπὶ πόλεμον, ἐν τοῖς προαστείοις εἱστήκει, καραδοκῦσα, τί ἐκ τῆς μάχης ἀποβήσοιτο· ὡς δὲ παραγενόμενός τις, πυθομένῃ [7] ἀπήγγειλε, τὺς παῖδας ἅπαντας τετελευτηκέναι· ʼΑλλ' ὐ τῦτο ἐπυθόμην, (εἶπε) κακὸν ἀνδράποδον, ἀλλὰ τί πράσσει ἡ πατρίς. Φήσαντος δὲ, ὅτι νικᾷ·



1 Ald. & Baf. καταμερίς. Xyl. correxit, & fcripto probatum invenit κακὰ μερίς. Petav. porro ποτάδαν.

2 H. Steph. mavult τὸν ὐ Σπ.

3 Petav. κακέχεται; Ald. κακκέχυται.

4 abeft τὴν κοιλίαν a Petav. Voff. Venet. non fine elegantia, W. judice.

5 Turn. εἰπόντων δέ.

6 Sic legit Xyl. e fcripto, & conjecit Steph. & dedi e Petav. pro vulg. κατάγγελον. Idem recepit W. adfentientibus Voff. Jun. Mez. Pro ἁμῖν Petav. ὑμῖν.

7 Dedi fic ex H. Steph. mente & Raph. Reg. verfione pro vulg. παραγενόμενός τις πυθομένης, ἀπήγγ.

νικᾷ· Ἀσμένη τοίνυν (εἶπε) δέχομαι [1] καὶ τὸν τῶν παίδων θάνατον.

Θαπτούσά τις τὸν υἱὸν, ὡς γραΐδιον εὐτελὲς προσελθὸν αὐτῇ· Ὦ γύναι τᾶς τύχας, εἶπε· Νὴ τὼ Σιὼ τᾶς καλᾶς γε [2], ἔφη. ὃ γὰρ αὐτὸν ἕνεκεν ἔτεκον, ἵνα ὑπὲρ τᾶς Σπάρτας ἀποθάνῃ, τοῦτό μοι συνέβη.

Σεμνυνομένης γυναικός τινος Ἰωνικῆς ἐπί τινι τῶν ἑαυτῆς ὑφασμάτων ὄντι πολυτελεῖ, Λάκαινα ἐπιδείξασα τοὺς τέσσαρας υἱοὺς ὄντας κοσμιωτάτους, τοιαῦτα ἔφη δεῖν [3] εἶναι τὰ τῆς καλῆς καὶ ἀγαθῆς γυναικὸς ἔργα, καὶ ἐπὶ τούτοις ἐπαίρεσθαι καὶ μεγαλαυχεῖν.

Ἄλλη ἀκούσασα περὶ τοῦ υἱοῦ, ὡς κακῶς ἐπὶ τῆς ξένης [4] ἀναστρέφοιτο, ἔγραψε· Κακά τοι φάμα κακκέχυται· ταύταν ἀπόθευ, ἢ μὴ ἔσο.

Παραπλησίως δὲ καὶ Χίων φυγάδες ἐλθόντες εἰς Σπάρτην πολλὰ Παιδαρήτου κατηγόρουν· μεταπεμψαμένη δ' αὐτοὺς ἡ μήτηρ [5], Τελευτία, καὶ ἀκούσασα ὧν ἐνεκάλουν, ἐπεὶ ἐδόκει αὐτῇ ἁμαρτάνειν ὁ υἱὸς, ἐπέστειλεν· Ἁ μάτηρ Παιδαρήτῳ· Ἢ βελτίονα πράσσειν σε, ἢ αὖθι μένε, ἀπογνοὺς τὰν ἐς Σπάρταν σωτηρίαν.

Ἑτέρα ἐπ' ἀδικήματι τῷ παιδὶ κρινομένῳ· Τέκνον, (εἶπεν) ἢ τὰς αἰτίας, ἢ σεαυτὸν, τοῦ ζῆν ἀπόλυσον.

Ἄλλη χωλὸν υἱὸν ἐπὶ παράταξιν προπέμπουσα· Τέκνον (εἶπε) κατὰ βῆμα τῆς ἀρετῆς μέμνησο.

Ἄλλη, τοῦ παιδὸς αὐτῇ ἀφικομένου ἀπὸ παρατάξεως

1 Turn. ἀσμένη τοίνυν ὑποδέχομαι.

2 Petav. τὰς καλὰς pro τᾶς καλᾶς. Idem cum Ald. & Baf. φαίη pro seq. ἔφη, factum fortasse, ut H. Steph monet, perperam ex φαίης, quod Xyl. sensu postulante, scribendum censuit.

3 Turn. δεῖ.

4 Recepi ξένης cum W. ex Turn. Petav. Voss. Venet. Idem Xyl. e scripto legi voluit. Vulgo τοῖς ξένοις.

5 Turn. & Petav. ἡ μήτηρ αὐτοῦ. Iid. mox Παιδαρήτῃ.

ξεως τετρωμένου τὸν πόδα, καὶ σφόδρα ἀλγοῦντος· Ἐὰν τῆς ἀρετῆς (εἶπε [1]) μέμνῃ, ὦ τέκνον, καὶ ἄπονος ἔσῃ καὶ θαῤῥήσεις.

Λάκων τρωθεὶς ἐν πολέμῳ, καὶ βαδίζειν οὐ δυνάμενος, τετραποδιστὶ ὥδευεν. αἰσχυνομένῳ δ' αὐτῷ ἐν γελοίῳ [2], ἡ μήτηρ· Καὶ πόσῳ βέλτιον, ὦ τέκνον, (εἶπε) μᾶλλον ἐπὶ τῇ ἀνδρείᾳ γεγηθέναι, ἢ αἰσχύνεσθαι ἐπὶ γέλωτι ἀνοήτῳ;

Ἄλλη προσαναδιδοῦσα τῷ παιδὶ τὴν ἀσπίδα, καὶ παρακελευομένη· Τέκνον, (ἔφη) ἢ τὰν, ἢ ἐπὶ τᾶς [3].

Ἄλλη προϊόντι τῷ υἱῷ ἐπὶ πόλεμον, ἀναδιδοῦσα τὴν ἀσπίδα· Ταύτην (ἔφη) ὁ πατήρ σοι ἀεὶ ἔσωζε· καὶ σὺ οὖν ταύταν σῷζε, ἢ μὴ ἔσο.

Ἄλλη πρὸς τὸν υἱὸν λέγοντα, μικρὸν ἔχειν τὸ ξίφος, εἶπε· Καὶ βῆμα πρόσθες.

Ἄλλη ἀκούσασα, ὅτι ὁ υἱὸς αὐτῆς ἐν παρατάξει ἀνδραγαθήσας ἀπέθανεν· Ἐμὸς γὰρ ἦν, εἶπε. Περὶ δὲ τοῦ ἑτέρου πυθομένη, ὅτι ἀποδειλιάσας σῴζεται· Οὐ γὰρ ἦν ἐμὸς, ἔφη.

Ἑτέρα ἀκούσασα τεθνηκέναι τὸν υἱὸν ἐν μάχῃ, καθάπερ ἐτέτακτο [4]· Κάτθετε αὐτὸν, (ἔφη) ἀναπληρωσάτω δὲ τὴν ἐκείνου τάξιν ὁ ἀδελφός.

Ἄλλη πομπὴν τελοῦσα πάνδημον, ἤκουσεν ἐπὶ τῆς παρατάξεως νικᾶν τὸν υἱὸν, ἐκ δὲ τῶν τραυμάτων πολλῶν γενομένων θνήσκειν. οὐ περιελομένη οὖν τὸν στέφανον, ἀλλὰ σεμνυνθεῖσα πρὸς τὰς πλησίον, εἶπεν· Ὡς πολλῷ κάλλιον, ὦ φίλαι, ἐστὶν ἐν παρατάξει, νικῶντα τελευτᾶν, ἢ τὰ Ὀλύμπια περιγινόμενον ζῆν.

Διηγουμένου τινὸς τῇ ἀδελφῇ γενναῖον θάνατον τοῦ παι-



1 Turn. ἔφη.
2 H. Steph. mavult ἐπὶ γελ. uti ſequitur αἰσχ. ἐπὶ γελ. ἀν.
3 Turn. ἢ τὰν, ἢ ἐπὶ τὰν; Petav. ἢ τᾶν, ἢ ἐπὶ τᾶν.
4 Petav. ἐντέτακτο. Pro ſeq. κάτθετε MS. Xyl. κατίθετε, & ſuperne καθαίτετε. Turn. pro ἔφη dat εἶπε.

παιδὸς αὐτῆς, ἐκείνη εἶπεν, ὅτι, Ὅσον ἐπ' ἐκείνῳ γέγηθα, τοσῦτον ἐπί σοι ἄχθομαι, ἐναρέτε συνοδίας ἀπολειφθέντι.

Λακαίνη τις προσέπεμψεν, εἰ φθορᾷ συνεπινεύει. ἡ δ' ἔφη· Παῖς μὲν ἔσα ἔμαθον τῷ πατρὶ πείθεθαι, καὶ τῦτο ἔπραξα· γυνὴ δὲ γενομένη, τῷ ἀνδρί· εἰ ἦν δίκαιά με παρακαλεῖ, τῦτῳ φανερὸν ποιησάτω πρῶτον.

Παρθένος πενιχρὰ ἐρωτηθεῖσα, τίνα δίδωσι τῷ γαμῦντι προῖκα· Τὴν πάτριον (εἶπε) σωφροσύνην [1].

Λάκαινα ἐρωτηθεῖσα, εἰ ἀνδρὶ προσελήλυθεν· Οὐκ ἐγὼ, (εἶπεν) ἀλλ' ὁ ἀνήρ ἐμοί.

Κρύφα τις διαπαρθενευθεῖσα, καὶ διαφθείρασα το βρέφος, ὕτως ἐνεκαρτέρησε μηδεμίαν προενεγκαμένη][2] φωνὴν, ὥσε καὶ τὸν πατέρα καὶ ἄλλυς πλησίον ὄντας λαθεῖν ἀποκυήσασα. τὸ γὰρ μέγεθος τῶν ἀλγηδόνων τῇ εὐσχημοσύνῃ τὸ ἄσχημον προσπεσὸν ἐνίκησε.

Λάκαινα πιπρασκομένη, καὶ ἐρωτωμένη, τί ἐπίσαται, ἔφη· Πιςὰ ἦμεν. Ἄλλη αἰχμαλωτισθεῖσα, καὶ ἐρωτωμένη παραπλησίως [3]. Εὖ οἰκεῖν οἶκον, ἔφη.

Ἐρωτηθεῖσά τις ὑπό τινος, εἰ ἔσαι ἀγαθὴ, ἂν αὐτὴν ἀγοράσῃ, εἶπεν· Κἂν μὴ ἀγοράσῃς.

Ἄλλη πιπρασκομένη, τῦ κήρυκος πυνθανομένυ, τί ἐπίσαται, εἶπεν· Ἐλευθέρα ἦμεν. Ὡς δὲ ὁ ὠνησάμενος προσέτασσέ τινα αὐτῇ ἐχ ἁρμόζοντα ἐλευθέρᾳ, εἰπῦσα· Οἰμώξῃ, φθονήσας σεαυτῷ τοιύτυ κήματος, ἐξήγαγεν ἑαυτήν.

1 Turn. τὴν πατρίαν ἔφη σωφροσύνην.
2 Dedi ſic e Turn. pro vulg. προσενεγκαμένη.
3 Petav. περιπλησίως. Abſunt ab eod. in ſeq. loco κἂν μὴ ἀγοράσῃς.

ΠΛΟΥ-

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΓΥΝΑΙΚΩΝ ΑΡΕΤΑΙ.

Περὶ ἀρετῆς, ὦ Κλέα [1], γυναικῶν, ἐ τὴν αὐτὴν τῷ Θȣκυδίδῃ γνώμην ἔχομεν. ὁ μὲν γὰρ, ἧς ἂν ἐλάχιςος ᾖ παρὰ τοῖς ἐκ͂ὸς ψέγȣ πέρι, ἢ ἐπαίνȣ λόγȣς, ἀρίςην ἀποφαίνεται· καθάπερ τὸ σῶμα καὶ τȣ̈νομα τῆς ἀγαθῆς γυναικὸς οἰόμενος δεῖν κατάκλειςον εἶναι καὶ ἀνέξοδον. ἡμῖν δὲ κομψότερος μὲν ὁ Γοργίας φαίνεται [2], κελεύων, μὴ τὸ εἶδος, ἀλλὰ τὴν δόξαν, εἶναι πολλοῖς γνώριμον τῆς γυναικός. ἄριςα δὲ ὁ Ῥωμαίων δοκεῖ νόμος ἔχειν, ὥσπερ ἀνδράσι, καὶ γυναιξὶ, δημοσίᾳ μετὰ τὴν τελευτὴν τȣ̀ς προσήκοντας ἀποδιδȣ̀ς [3] ἐπαίνȣς. διὸ καὶ Λεοντίδος τῆς ἀρίςης ἀποθανȣ́σης, εὐθύς τε μετὰ σȣ̃ τότε [4] πολὺν λόγον εἴχομεν, ȣ̓κ ἀμοιρȣ̃ντα παραμυθίας φιλοσόφȣ· καὶ νῦν, ὡς ἠβȣλήθης, τὰ ὑπόλοιπα τῶν λεγομένων εἰς τὸ μίαν εἶναι καὶ τὴν αὐτὴν ἀνδρός τε καὶ γυναικὸς ἀρετὴν, προσανέγραψά [5] σοι, τὸ ἱςορικὸν ἀποδεικτικὸν ἔχοντα, καὶ πρὸς ἡδονὴν μὲν ἀκοῆς ȣ̓ συντεταγμένα [6]. εἰ δὲ τῷ πείθοντι καὶ τὸ τέρπον ἔνεςι φύσει τȣ̃ παραδείγματος, ȣ̓ φεύγει χάριν ἀποδείξεως συνεργὸν ὁ λόγος, ȣ̓δ' αἰσχύνεται ταῖς Μȣ́σαις τὰς Χάρι-



1 In MS. Xyl. fuit Κλία, sed ab emendatore factum Κλέαρχε, quod minime probandum, cum ex sequentibus appareat, foeminae inscriptum fuisse librum.

2 Turn. & Petav. ἀποφαίνεται. Paulo ante post ἀποφαίνεται Petav. adjungit κιόμενος, haud dubie pro οἰόμενος, ita ut, quae interjacent, omissa esse indicentur.

3 Turn. διδȣ̀ς.

4 Turn. & Petav. ὅτε.

5 Turn. προανέγραψά σοι.

6 Dedi sic e Bas. pro vulg. συντεταγμένην. Turn. συντεταγμένον, quod W. recepit.

Χάριτας συγκαταμιγνὺς καλλίστην συζυγίαν, ὡς Εὐριπίδης [1] φησὶν, ἐκ τοῦ φιλοκάλου μάλιστα τῆς ψυχῆς ἀναδούμενος τὴν πίστιν. Φέρε γὰρ, εἰ, λέγοντες, τὴν αὐτὴν εἶναι ζωγραφίαν ἀνδρῶν καὶ γυναικῶν, παρειχόμεθα τοιαύτας γραφὰς γυναικῶν, οἵας Ἀπελλῆς ἀπολέλοιπεν, ἢ Ζεῦξις, ἢ Νικόμαχος, ἆρ' ἄν τις ἐπετίμησεν ἡμῖν, ὡς τοῦ χαρίζεσθαι καὶ ψυχαγωγεῖν μᾶλλον, ἢ τοῦ πείθειν, στοχαζομένοις; ἐγὼ μὲν οὐκ οἶμαι. τί δέ; ἐὰν ποιητικὴν πάλιν, ἢ μιμητικὴν, ἀποφαίνοντες, οὐχ ἑτέραν μὲν ἀνδρῶν, ἑτέραν δὲ γυναικῶν οὖσαν, ἀλλὰ τὴν αὐτὴν [2], τὰ Σαπφοῦς μέλη τοῖς Ἀνακρέοντος, ἢ τὰ Σιβύλλης λόγια τοῖς Βάκιδος [3] ἀντιπαραβάλλοιμεν, ἕξει τις αἰτιάσασθαι δικαίως τὴν ἀπόδειξιν, ὅτι χαίροντα καὶ τερπόμενον ἐπάγει τῇ πίστει τὸν ἀκροατήν; οὐδὲ τοῦτο ἂν εἴποις. καὶ μὴν οὐκ ἔστιν ἀρετῆς γυναικείας καὶ ἀνδρείας ὁμοιότητα καὶ διαφορὰν ἄλλοθεν καταμαθεῖν μᾶλλον, ἢ βίους βίοις, καὶ πράξεσι πράξεις, ὥσπερ ἔργα μεγάλης τέχνης, παρατιθέντας [4] ἅμα· καὶ σκοποῦντας, εἰ τὸν αὐτὸν ἔχει χαρακτῆρα καὶ τύπον ἡ Σεμιράμεως μεγαλοπραγμοσύνη τῇ Σεσώστριος, ἢ Τανακυλλίδος σύνεσις τῇ Σερουΐου [5] τοῦ βασιλέως, ἢ τὸ Πορκίας φρόνημα τῷ Βρούτου, καὶ τὸ Πελοπίδου [6] τῷ Τιμοκλείας, κατὰ τὴν κυριωτάτην ὁμοιότητα [7] καὶ δύναμιν. ἐπειδὴ διαφοράς γε τινὰς

1 Hercul. fur. v. 673. 674. 675.

2 Sic Xyl. e MS. legendum monuit, & dedi pro τὴν ἐπὶ τὴν τὰ Σ. Dedit quoque W. accedente Mez.

3 Vide de ejus oraculis quaedam ab Herodoto allata, L. VIII. c. 20 – 77. L. IX. c. 43.

4 Turn. περιτιθέντας.

5 Turn. Σερβίου. Sic Baſ. quoque; Ald. Σεροβίου.

6 Turn. & Petav. Πελοπίδα.

7 Recepi hanc vocem, ceu loci ſententiae convenientiorem, e Turn. & Petav. pro vulg. καινότητα, vocabulo, ab omni ſenſu loci, me ſaltim judice, alieno. Xyl. ad vulgatam lectionem haec adnotat: „Latinus interpres hanc omiſit particulam; atque

τινὰς ἑτέρας, ὥσπερ χροιὰς ἰδίας, αἱ ἀρεταὶ διὰ τὰς φύσεις λαμβάνουσι, καὶ συνεξομοιοῦνται τοῖς ὑποκειμένοις ἤθεσι καὶ κράσεσι σωμάτων καὶ τροφαῖς καὶ διαίταις. ἄλλως γὰρ ἀνδρεῖος [1] ὁ Ἀχιλλεύς, ἄλλως ὁ Αἴας. καὶ φρόνησις Ὀδυσσέως οὐχ ὁμοία τῇ Νέστορος. οὐδὲ δίκαιος ὡσαύτως Κάτων καὶ Ἀγησίλαος, οὐδ' Εἰρήνη φίλανδρος, ὡς Ἄλκηστις, οὐδὲ Κορνηλία μεγαλόφρων, ὡς Ὀλυμπιάς. ἀλλὰ μὴ παρὰ [2] τοῦτο πολλὰς καὶ διαφόρους ποιῶμεν ἀνδρίας καὶ φρονήσεις καὶ δικαιοσύνας, ἂν μόνον [3] τοῦ λόγου τοῦ οἰκείου μηδεμίαν αἱ καθ' ἕκαστον ἀνομοιότητες ἐκβιάζωσι. τὰ μὲν οὖν ἄγαν περιβόητα, καὶ ὅσων οἶμαί σε βεβαίοις βιβλίοις [4] ἐντυχοῦσαν ἱστορίαν ἔχειν καὶ γνῶσιν, ἤδη παρήσω· πλὴν εἴ μή τινα τοὺς τὰ κοινὰ καὶ δεδημευμένα πρὸ ἡμῶν ἱστορήσαντας, ἀκοῆς ἄξια διαπέφευγεν. ἐπεὶ δὲ πολλὰ καὶ κοινῇ καὶ ἰδίᾳ γυναιξὶν ἄξια λόγου πέπρακται, βραχέα τῶν κοινῶν οὐ χεῖρόν ἐστι προϊστορῆσαι.

ΤΡΩΑΔΕΣ. Τῶν ἀπ' Ἰλίου περὶ τὴν ἅλωσιν ἐκφυγόντων οἱ πλεῖστοι χειμῶνι χρησάμενοι, καὶ δι' ἀπειρίαν τοῦ πλοῦ καὶ ἄγνοιαν τῆς θαλάττης, ἀπενεχθέντες εἰς τὴν Ἰταλίαν, καὶ περὶ τὸν Θύμβριν ποταμὸν ὅρμοις καὶ ναυλόχοις ἀναγκαίοις μόλις ὑποδραμόντες, αὐτοὶ μὲν ἐπλανῶντο περὶ τὴν χώραν, φραστήρων δεόμενοι·



que adeo credo id eum fecisse, quod ipse quoque, ut credam, esse genuinam, abs me nondum possum impetrare." Vertit idem: si ad vim istarum virtutum praecipuam respiciatur. Recepit W. ὁμοιότ. monens, corrigi etiam potuisse cum Mez. κοινότητα. Pro seq. ἐπειδὴ mavult ἐπεί, *caeterum, quanquam*; aut ἐπεὶ δέ, *quandoquidem vero.* Conclusio est in ἀλλὰ μὴ π. τ. Media habent locum parenthesis.

1 Petav. ἀνδρείως.

2 Turn. & Petav. περί. Mox Petav. ἀνδρείας.

3 Dedi e Turn. & Petav. μόνον pro vulg. μόνου. Mox iidem ἐκβιάζουσι. W. corrigi vult ἐκβιβάζωσι.

4 Haud probat Xyl. βιβλία βέβαια. Posterius deleri vult W.

ταῖς δὲ γυναιξὶν ἐμπίπ]ει λογισμὸς, ὡς ἥτις ἒν ἵδρυσις ἐν γῇ πάσῃ [1] πλάνης καὶ ναυτιλίας εὖ τε καὶ καλῶς πράτ]ουσιν ἀνθρώποις, ἀμείνων ἐςὶ [2], καὶ πατρίδα δεῖ [3] ποιεῖν αὐτὰς, ἀπολαβεῖν, ἣν ἀπολωλέκασι, μὴ δυναμένους. ἐκ δὲ τούτου συμφρονήσασαι κατέφλεξαν τὰ πλοῖα, μιᾶς καταρξαμένης (ὥς φασι) Ῥώμης· πράξασαι δὲ ταῦτα, τοῖς ἀνδράσιν ἀπήντων [4] βοηθοῦσι πρὸς τὴν θάλασσαν, καὶ φοβούμεναι τὴν ὀργὴν, αἱ μὲν ἀνδρῶν, αἱ δ' οἰκείων, ἀντιλαμβανόμεναι καὶ καταφιλοῦσαι λιπαρῶς, ἐξεπράϋναν τῷ τρόπῳ τῆς φιλοφροσύνης. διὸ καὶ γέγονε καὶ παραμένει ταῖς Ῥωμαίων γυναιξὶν ἔτι νῦν ἔθος ἀσπάζεσθαι μετὰ τοῦ καταφιλεῖν τοὺς κατὰ γένους προσήκοντας αὐταῖς. συνιδόντες γὰρ (ὡς ἔοικε) τὴν ἀνάγκην οἱ Τρῶες, καὶ ἅμα πειρώμενοι τῶν ἐγχωρίων, εὐμενῶς καὶ φιλανθρώπως προσδεχομένων, ἠγάπησαν τὸ πραχθὲν ὑπὸ τῶν γυναικῶν, καὶ συγκατῴκησαν [5] αὐτόθι τοῖς Λατίνοις.

ΦΩΚΙΔΕΣ. Τὸ δὲ τῶν Φωκίδων ἐνδόξου μὲν οὐ τετύχηκε συγγραφέως, οὐδενὸς δὲ τῶν γυναικείων ἔλατ]ον εἰς ἀρετήν ἐςι, μαρτυρούμενον ἱεροῖς τε μεγάλοις, ἃ δρῶσι Φωκεῖς ἔτι νῦν περὶ Ὑάμπολιν, καὶ δόγμασι παλαιοῖς, ὧν τὸ μὲν καθ' ἕκαςον τῆς πράξεως ἐν τῷ Δαϊφάντου βίῳ γέγραπ]αι· τὸ δὲ τῶν γυναικῶν τοιοῦτόν ἐςιν. ἄσπονδος ἦν Θετ]αλοῖς πρὸς Φωκέας πόλεμος. οἱ μὲν γὰρ [6] ἄρχοντας αὐτῶν καὶ τυράννους ἐν ταῖς Φωκικαῖς πόλεσιν ἡμέρᾳ μιᾷ πάντας ἀπέκ]ειναν, οἱ δὲ πεντήκον-

1 Dedi γῇ e Xyl. mente pro vulg. ἐν τῇ πάσῃ. Reperit γῇ in suo cod. supra τῇ notatum. Dedi porro, quod idem e scripto legendum monuit πλάνης καὶ ναυτιλίας pro vulg. πλάνῃ καὶ ναυτιλίᾳ. W. legi quoque vult πάσης.

2 Turn. & Petav. ἄμεινόν ἐςι.

3 Dedi δεῖ e Xyl. mente pro vulg. δεῖ. Probat idem W.

4 Petav. ἀπήντουν.

5 Turn. συνκατῴκησαν.

6 abest γὰρ a Petav.

τήκοντα καὶ διακοσίους ἐκείνων ὁμήρους κατηλόησαν· εἶτα πανστρατιᾷ διὰ Λοκρῶν ἐνέβαλον, δόγμα θέμενοι μηδενὸς Φείδεσθαι τῶν ἐν ἡλικίᾳ, παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδίσασθαι. Δαΐφαντος ἦν ὁ Βαθύλλου, τρίτος αὐτὸς ἄρχων, ἔπεισε τοὺς Φωκεῖς μὲν, αὐτοὺς ἀπαντήσαντας, τοῖς Θετταλοῖς μάχεσθαι, τὰς δὲ γυναῖκας ἅμα τοῖς τέκνοις εἰς ἕνα που τόπον συναγαγόντας ἐξ ἁπάσης τῆς Φωκίδος, ὕλην τε περινῆσαι ξύλων καὶ Φυλακὰς καταλιπεῖν, πρόσταγμα δόντας, ἂν αἴθωνται νικωμένους [1] αὐτοὺς, κατὰ τάχος τὴν ὕλην ἀνάψαι καὶ καταπρῆσαι τὰ σώματα. ψηΦισαμένων δὲ ταῦτα τῶν ἄλλων, εἷς ἐξαναστὰς ἔφη, δίκαιον εἶναι ταῦτα συνδοκεῖν καὶ ταῖς γυναιξίν· εἰ δὲ μὴ, χαίρειν ἐᾶν, καὶ μὴ προσβιάζεσθαι. τούτου τοῦ λόγου διελθόντος εἰς τὰς γυναῖκας, αὗται καθ' αυτὰς συνελθοῦσαι ταῦτα ἐψηΦίσαντο, καὶ τὸν ΔαΐΦαντον ἀνέδησαν, ὡς τὰ ἄριστα τῇ Φωκίδι βεβουλευμένον [2]. τὰ δ' αὐτὰ καὶ τοὺς παῖδας ἰδίᾳ Φασὶν ἐκκλησιάσαντας ἐπιψηΦίσασθαι. πραχθέντων δὲ τούτων, συμβαλόντες οἱ Φωκεῖς περὶ Κλεωνὰς τῆς Ὑαμπόλιδος ἐνίκησαν. τὸ μὲν οὖν ψήΦισμα Φωκέων Ἀπόνοιαν οἱ Ἕλληνες ὠνόμασαν· ἑορτὴν δ' ἐκ πασῶν μεγίστην τὰ ἘλαΦηβόλια μέχρι νῦν τῇ Ἀρτέμιδι τῆς νίκης ἐκείνης ἐν Ὑαμπόλιδι τελοῦσιν.

XIAI. Χῖοι Λευκωνίαν ἐπῴκισαν [3] ἐκ τοιαύτης αἰτίας. ἐγάμει τις ἐν Χίῳ τῶν δοκούντων γνωρίμων εἶναι. ἀγομένης δὲ τῆς νύμΦης ἐπὶ ζεύγους, ὁ βασιλεὺς, Ἵπποκλος, ἐπιτήδειος ὢν τῷ γαμοῦντι, καὶ παρὼν, ὥσπερ οἱ λοιποὶ, μέθης οὔσης καὶ γέλωτος, ἀνεπήδησεν [4] ἐπὶ τὸ ζεῦγος, οὐδὲν ὑβριστικὸν πράξων, ἀλλ' ἔθει κοινῷ καὶ παιδιᾷ χρώμενος· οἱ δὲ Φίλοι τοῦ γαμοῦντος ἀπέκτειναν αὐτόν· μηνιμάτων δὲ τοῖς Χίοις προΦαινομένων, καὶ τοῦ

1 Petav. αἴθωνται νειμωμένους.

2 Petav. βεβουλευμένος; Idem infra ἘλαΦιβόλια.

3 Sic Xyl. legendum monuit, & dedi pro vulg. ἐπῴκησαν.

4 Petav. ἀνεπίδησεν; & mox Φίλου pro Φίλοι.

τοῦ θεοῦ κελεύσαντος τοὺς Ἵπποκλον ἀνελόντας ἀνελεῖν, ἅπαντες ἔφασαν Ἵπποκλον ἀνῃρηκέναι. πάντας οὖν αὖθις ὁ θεὸς ἐκέλευε τὴν πόλιν ἐκλιπεῖν, εἰ πᾶσι τοῦ ἄγους μέτεστιν· οὕτω δὲ [1] τοὺς αἰτίους καὶ μεταχόντας τοῦ φόνου, καὶ συνεπαινέσαντας ἀμωσγέπως, οὐκ ὀλίγους γενομένους, οὐδ' ἀδυνάτους ὄντας, ἀπῴκισαν εἰς Λευκωνίαν, ἣν Κορωνεῖς ἀφελόμενοι πρότερον ἐκέκτηντο μετ' Ἐρυθραίων. ὕστερον δὲ πολέμου πρὸς τοὺς Ἐρυθραίους αὐτοῖς γενομένου, μέγιστον Ἰώνων δυναμένους, τότε κἀκείνων ἐπὶ τὴν Λευκωνίαν στρατευσάντων ἀντέχειν μὴ δυνάμενοι, συνεχώρησαν ἐξελθεῖν ὑπόσπονδοι, χλαῖναν μίαν ἑκάστου καὶ ἱμάτιον, ἄλλο δὲ μηδὲν ἔχοντος [2]. αἱ δὲ γυναῖκες ἐκάκιζον αὐτούς, εἰ προέμενοι τὰ ὅπλα, γυμνοὶ διὰ τῶν πολεμίων ἐξίασιν. ὀμωμοκέναι δὲ φασκόντων, ἐκέλευον αὐτοὺς τὰ μὲν ὅπλα μὴ καταλιπεῖν, λέγειν δὲ πρὸς τοὺς πολεμίους, ὅτι χλαῖνα μέν ἐστι τὸ ξυστὸν, χιτὼν δὲ ἡ ἀσπὶς, ἀνδρὶ θυμὸν ἔχοντι. πεισθέντων δὲ ταῦτα τῶν Χίων, καὶ πρὸς τοὺς Ἐρυθραίους παῤῥησιαζομένων, καὶ τὰ ὅπλα δεικνυόντων, ἐφοβήθησαν οἱ Ἐρυθραῖοι τὴν τόλμαν αὐτῶν, καὶ οὐδεὶς προσῆλθεν, οὐδὲ ἐκώλυσεν, ἀλλ' ἠγάπησαν ἀπαλλαγέντων. οὗτοι μὲν οὖν θαῤῥεῖν διδαχθέντες ὑπὸ τῶν γυναικῶν, οὕτως ἐσώθησαν.

Τούτου δ' οὐδέν τι λειπόμενον ἔργον ἀρετῇ καὶ χρόνοις ὕστερον πολλοῖς ἐπράχθη ταῖς Χίων γυναιξὶν, ὁπηνίκα Φίλιππος ὁ Δημητρίου πολιορκῶν τὴν πόλιν ἐκήρυξε κήρυγμα βάρβαρον καὶ ὑπερήφανον, ἀφίστασθαι τοὺς οἰκέτας πρὸς ἑαυτὸν ἐπ' ἐλευθερίᾳ καὶ γάμῳ τῆς κεκτημένης, ὡς συνοικιῶν αὐτοὺς ταῖς τῶν δεσποτῶν γυναιξί. δεινὸν δὲ αἱ γυναῖκες καὶ ἄγριον θυμὸν λαβοῦσαι, μετὰ τῶν οἰκετῶν καὶ αὐτῶν [3] συναγανακτούντων καὶ συμπαρόντων,

1 Turn. & Petav. οὕτω δή. Petav. mox φθόνου pro φόνου; item ἀπῴκησαν pro ἀπῴκισαν. & ἀντέχει pro ἀντέχειν.

2 Ald. & Bas. ἔχοντες.

3 Pro αὐτῶν Petav. exhibet τῶν. Pro συμπαρόντων W. mavult συμπαρορμώντων, & προσταλαιπωροῦσαι pro προσλιπαροῦσαι.

όντων, ὥρμησαν ἀναβαίνειν ἐπὶ τὰ τείχη, καὶ λίθους καὶ βέλη προσφέρουσαι, καὶ παρακελευόμεναι καὶ προσλιπαροῦσαι τοῖς μαχομένοις, τέλος δ' ἀμυνόμεναι καὶ βάλλουσαι τοὺς πολεμίους, ἀπώσαντο τὸν Φίλιππον, οὐδενὸς δούλου τοπαρχῆπαν ἀποστάντος πρὸς αὐτόν.

ΑΡΓΕΙΑΙ. Οὐδενὸς δὲ ἧττον ἔνδοξόν ἐστι τῶν κοινῇ διαπεπραγμένων γυναιξὶν ἔργων, ὁ πρὸς Κλεομένην [1] περὶ Ἄργους ἀγὼν, ὃν ἠγωνίσαντο, Τελεσίλλης τῆς ποιητρίας προτρεψαμένης. ταύτην δέ φασιν οἰκίας οὖσαν ἐνδόξου, τῷ δὲ σώματι νοσηματικὴν, εἰς θεοὺς πέμψαι περὶ ὑγείας, καὶ χρησθὲν αὐτῇ Μούσας θεραπεύειν, πειθομένην τῇ θεῷ, καὶ ἐπιθεμένην ᾠδῇ καὶ ἁρμονίᾳ, τοῦ τε πάθους ἀπαλλαγῆναι ταχὺ, καὶ θαυμάζεσθαι διὰ ποιητικὴν ὑπὸ τῶν γυναικῶν. ἐπεὶ δὲ Κλεομένης, ὁ βασιλεὺς τῶν Σπαρτιατῶν, πολλοὺς ἀποκτείνας, (οὐ μὴν, ὥς ἔνιοι μυθολογοῦσιν, ἑπτὰ καὶ ἑβδομήκοντα καὶ ἑπτακοσίους πρὸς ἑπτακισχιλίοις) ἐβάδιζε πρὸς τὴν πόλιν, ὁρμὴ καὶ τόλμα δαιμόνιος παρέστη ταῖς ἀκμαζούσαις τῶν γυναικῶν ἀμύνασθαι [2] τοὺς πολεμίους ὑπὲρ τῆς πατρίδος. ἡγουμένης δὲ τῆς Τελεσίλλης, ὅπλα λαμβάνουσι, καὶ παρ' ἔπαλξιν ἱστάμεναι κύκλῳ τὰ τείχη περιέστεψαν, ὥστε θαυμάζειν τοὺς πολεμίους. τὸν μὲν οὖν Κλεομένην, πολλῶν πεσόντων, ἀπεκρούσαντο· τὸν δὲ ἕτερον βασιλέα, Δημάρατον, (ως Σωκράτης φησὶν) ἐντὸς γενόμενον, καὶ κατασχόντα τὸ Παμφυλιακὸν, ἐξέωσαν. οὕτω δὲ τῆς πόλεως περιγενομένης, τὰς μὲν πεσούσας ἐν τῇ μάχῃ τῶν γυναικῶν ἐπὶ τῆς ὁδοῦ τῆς Ἀργείας ἔθαψαν, ταῖς δὲ σωθείσαις ὑπόμνημα τῆς ἀριστείας ἔδοσαν ἱδρύσασθαι τὸν Ἐνυάλιον. τὴν δὲ μάχην οἱ μὲν ἑβδόμῃ [3] λέγουσιν ἱσταμένου μηνὸς, οἱ δὲ νουμηνίᾳ γενέσθαι τοῦ νῦν μὲν τετάρτου, πάλαι δὲ Ἑρμαίου παρ' Ἀργείοις, καθ' ἣν μέχρι νῦν τὰ Ὑβριστικὰ τελοῦ-

1 Petav. Κλεομένη. Mox idem ἠγωνίσατο & Τελλεσίλλης.
2 Petav. ἀμύνεσθαι.
3 Turn. & Petav. ἑβδόμην.

τελῦσι [1], γυναῖκας μὲν ἀνδρείοις χιτῶσι καὶ χλαμύσιν, ἄνδρας δὲ πέπλοις γυναικῶν καὶ καλύπτραις ἀμφιεννύντες. ἐπανορθέμενοι δὲ τὴν ὀλιγανδρίαν, ἐχ (ὡς 'Ηρόδοτος ἱςορεῖ) τοῖς δέλοις, ἀλλὰ τῶν περιοίκων ποιησάμενοι πολίτας τὲς ἀρίςυς, συνῴκισαν τὰς γυναῖκας. ἐδόκαν δὲ καὶ τέτες ἀτιμάζειν καὶ περιορᾷν ἐν τῷ συγκαθεύδειν, ὡς χείρονας. ὅθεν ἔθεντο νόμον τὸν κελεύοντα, πώγωνα δεῖν ἐχέσας συναναπαύεσθαι τοῖς ἀνδράσι τὰς γεγαμημένας.

ΠΕΡΣΙΔΕΣ. Πέρσας 'Αςυάγε βασιλέως καὶ Μήδων ἀποςήτας Κῦρος, ἡττήθη μάχῃ· φεύγεσι δὲ τοῖς Πέρσαις εἰς τὴν πόλιν, ὀλίγον ἀπεχόντων συνεισπεσεῖν τῶν πολεμίων, ἀπήντησαν αἱ γυναῖκες πρὸ τῆς πόλεως, καὶ τὲς πέπλες ἐκ τῶν κάτω μερῶν ἐπάρασαι· Ποῖ φέρεσθε, (εἶπον) ὦ κάκιςοι πάντων ἀνθρώπων; ἐ γὰρ ἐνταῦθα γε δύνασθε καταδύναι φεύγοντες, ὅθεν ἐξεγένεσθε. ταύτην τὴν ὄψιν ἅμα καὶ τὴν φωνὴν αἰδεσθέντες οἱ Πέρσαι, καὶ κακίσαντες ἑαυτὲς, ἀνέςρεψάν τε καὶ συμβαλόντες ἐξ ἀρχῆς ἐτρέψαντο τὲς πολεμίες. ἐκ τέτε κατέςη νόμος, εἰσελάσαντος βασιλέως εἰς τὴν πόλιν, ἑκάςην γυναῖκα χρυσῦν λαμβάνειν, Κύρε νομοθετήσαντος. Ὦχον δέ φασι, τά τ' ἄλλα μοχθηρὸν καὶ φιλοκερδέςατον βασιλέων ὄντα, περικάμψαι τὴν πόλιν ἀεὶ, καὶ μὴ παρελθεῖν, ἀλλ' ἀποςερῆσαι τῆς δωρεᾶς τὰς γυναῖκας· 'Αλέξανδρος δὲ καὶ δὶς εἰσῆλθε καὶ ταῖς κυέσαις διπλῦν ἔδωκε.

ΚΕΛΤΑΙ. Κελτοῖς, πρὶν ὑπερβαλεῖν Ἄλπεις, καὶ κατοικῆσαι τῆς 'Ιταλίας, ἣν νῦν νέμονται χώραν, ςάσις ἐμπεσῦσα δεινὴ καὶ δυσκατάπαυςος, εἰς πόλεμον ἐμφύλιον προῆλθεν. αἱ δὲ γυναῖκες, ἐν μέσῳ τῶν ὅπλων γενόμεναι, καὶ παραλαβῦσαι τὰ νείκη, διῄτησαν ὕτως ἀμέμπτως καὶ διέκριναν, ὥςε φιλίαν πᾶσι θαυμαςὴν καὶ κατὰ πόλεις καὶ κατ' οἴκυς γενέσθαι πρὸς πάντας. ἐκ τύτυ

1 Petav. καλῦσι.

τύτυ διετέλυν περί τε πολέμυ καὶ εἰρήνης βυλευόμενοι μετὰ τῶν γυναικῶν, καὶ τὰ πρὸς τὺς συμμάχυς ἀμφίβολα δι' ἐκείνων βραβεύοντες. ἐν γῦν ταῖς πρὸς Ἀννίβαν συνθήκαις ἐγράψαντο, Κελτῶν μὲν ἐγκαλύντων Καρχηδονίοις, τὺς ἐν Ἰβηρίᾳ Καρχηδονίων ἐπάρχυς καὶ στρατηγὺς εἶναι δικαστάς· ἂν δὲ Καρχηδόνιοι Κελτοῖς ἐγκαλῶσι, τὰς Κελτῶν γυναῖκας.

ΜΗΛΙΑΙ. Μήλιοι, γῆς χρῄζοντες ἀμφιλαφῦς, Νυμφαῖον ἡγεμόνα τῆς ἀποικίας ἐποιήσαντο, νέον ἄνδρα καὶ κάλλει διαφέροντα. τῦ δὲ θεῦ πλεῖν κελεύσαντος αὐτὺς, ὅπυ ἂν [1] ἀποβάλωσι τὺς κομιστῆρας, ἐκεῖ κατοικεῖν, συνέπεσε τῇ Καρίᾳ προσβαλῦσιν αὐτοῖς καὶ ἀποβᾶσι, τὰς ναῦς ὑπὸ χειμῶνος διαφθαρῆναι. τῶν δὲ Καρῶν οἱ Κρύασσαν οἰκῦντες, εἴτε τὴν ἀπορίαν οἰκτείραντες, εἴτε δείσαντες αὐτῶν τὴν τόλμαν, ἐκέλευον οἰκεῖν παρ' αὐτοῖς, καὶ τῆς χώρας μετέδωκαν. εἶτα πολλὴν ἐν ὀλίγῳ χρόνῳ λαμβάνοντας αὔξησιν ὁρῶντες, ἐπεβύλευον ἀνελεῖν, εὐωχίαν τινὰ καὶ θοίνην παρασκευάσαντες. ἔτυχε δὲ Καρίνη παρθένος ἐρῶσα τῦ Νυμφαίυ, καὶ λανθάνυσα τὺς ἄλλυς. (ἐκαλεῖτο δὲ Καφένη) πραττομένων δὲ τύτων, ὐ δυναμένη τὸν Νυμφαῖον περιορᾷν ἀπολλύμενον, ἐξήγγειλε τὴν διάνοιαν αὐτῷ τῶν πολιτῶν. ὡς ῦν ἧκον οἱ Κρυασσεῖς καλῦντες αὐτὺς, ὐκ ἔφη νόμον ὁ Νυμφαῖος Ἕλλησιν εἶναι βαδίζειν ἐπὶ δεῖπνον ἄνευ γυναικῶν. ἀκύσαντες δὲ οἱ Κᾶρες ἐκέλευον ἄγειν καὶ τὰς γυναῖκας. ὕτω δὴ φράσας τὰ πεπραγμένα Μηλίοις, ἐκέλευσεν αὐτὺς μὲν ἀνόπλυς ἐν ἱματίοις βαδίζειν, τῶν δὲ γυναικῶν ἑκάστην ξίφος ἐν τῷ κόλπῳ κομίζειν, καὶ καθέζεσθαι παρὰ τὸν αὐτῆς. ἐπεὶ δὲ, τῦ δείπνυ μεσῦντος, ἐδόθη τὸ σύνθημα τοῖς Καρσὶ, καὶ συνῄσθοντο [2] τὸν καιρὸν οἱ Ἕλληνες, αἱ μὲν

1 Secutus sum Mez. probante W. Vulgo τῦ θεῦ — ὅπυ δ' ἂν. Restitui deinde, quae in R. defuerunt εἴτε τ. ἀ. οἰκτ.
2 Turn. & Petav. συνέθεντο.

μὲν γυναῖκες ἅμα πᾶσαι τοὺς κόλπους διέσχον, οἱ δὲ τὰ ξίφη λαβόντες ἐπέθεντο τοῖς βαρβάροις, καὶ διέφθειραν αὐτοὺς ἅμα πάντας. κτησάμενοι δὲ τὴν χώραν, καὶ τὴν πόλιν ἐκείνην [1] καταβαλόντες, ᾤκισαν ἑτέραν, ἣν νέαν Κρύασσαν ὠνόμασαν. ἡ δὲ Καφένη τῷ Νυμφαίῳ γαμηθεῖσα, τιμὴν καὶ χάριν ἔσχε ταῖς εὐεργεσίαις πρέπουσαν. ἄξιον οὖν ἄγασθαι τῶν γυναικῶν καὶ [2] τὴν σιωπὴν καὶ τὸ θράσος, καὶ τὸ μηδεμίαν ἐν πολλαῖς μηδ' ἄκουσαν ὑπὸ δειλίας κακὴν γενέσθαι.

ΤΥΡΡΗΝΙΔΕΣ. Τυῤῥηνῶν τοίνυν τῶν Λῆμνον καὶ Ἴμβρον κατασχόντων, ἁρπασάντων δὲ [3] Βραυρωνόθεν τὰς Ἀθηναίων γυναῖκας, ἐγένοντο παῖδες, οὓς ἐξήλασαν Ἀθηναῖοι, μιξοβαρβάρους ὄντας, ἐκ τῶν νήσων [4]. οἱ δ' εἰς Ταίναρον κατᾴραντες, ἐγένοντο χρήσιμοι Σπαρτιάταις περὶ τὸν εἱλωτικὸν πόλεμον, καὶ διὰ τοῦτο [5] πολιτείας καὶ γάμων τυχόντες, οὐκ ἀξιούμενοι δ' ἀρχείων καὶ βουλῆς, ὑπόνοιαν ἔσχον, ὡς ἐπὶ νεωτερισμῷ συνερχόμενοι, καὶ διανοούμενοι τὰ καθεστῶτα κινεῖν. συλλαβόντες οὖν αὐτοὺς οἱ Λακεδαιμόνιοι, καὶ καθείρξαντες, ἐφύλαττον ἰσχυρῶς, ζητοῦντες ἑλεῖν σαφέσι καὶ βεβαίοις ἐλέγχοις. αἱ δὲ τῶν καθειργμένων γυναῖκες ἐπὶ τὴν εἱρκτὴν παραγενόμεναι, πολλαῖς ἱκεσίαις καὶ δεήσεσι παρείθησαν ὑπὸ τῶν φυλάκων, ὅσον ἀσπάσασθαι καὶ προσειπεῖν

1 Petav. ἐκείνῃ; Idem cum Turn. καταλαβόντες pro καταβαλόντες. Seq. ᾤκισαν dari voluit Xyl. deditque Steph. pro ᾤκησεν, quod est in Ald. & Baf. In MS. Xyl. fuit ᾤκησαν, & Κρύασσον.

2 abest hoc καὶ a Turn. & Petav. Iid. dant mox τὸ θάρσος pro τὸ θράσος.

3 In R. fuit καὶ. Restitui δὲ. Sequentem vocem Βραυρωνόθεν, cod. MS. firmatam, Xyl. monet se restituisse, & dedit Steph. In Ald. & Baf. est Βαυρωνόθεν. Fuit Βραύρων celebris apud scriptores pagus, sive δῆμος Atticae. Recepit idem W. monente quoque ita legendum esse L. Holsten. ad Steph. Byz. p. 74.

4 Turn. & Petav. νόσων. Mox Petav. Τίναρον,

5 Turn. & Petav. διὰ τούτων.

πεῖν τὰς ἄνδρας. ἐπεὶ δ' εἰσῆλθον, ἐκέλευον αὐτὰς μεταμφιέννυσθαι ταχὺ τὰ ἱμάτια, καὶ τὰ μὲν αὐτῶν ἐκείναις ἀπολιπεῖν, τὰς δ' ἐκείνων ἐνδύντας αὐτὰς ἀπιέναι περικαλυψαμένας. γενομένων δὲ τέτων, αἱ μὲν ὑπέμειναν αὐτᾶ, παραταξάμεναι πρὸς πάντα τὰ δεινὰ, τὰς δ' ἄνδρας ἐξαπατηθέντες οἱ φύλακες παρῆκαν, ὡς δὴ γυναῖκας. ἐκ δὴ τέτε καταλαβομένων [1] αὐτῶν τὰ Ταΰγετα, καὶ τὸ εἱλωτικὸν ἀφιςάντων καὶ προσδεχομένων, οἱ Σπαρτιάται εἰς πολὺν φόβον καταςάντες ἐπεκηρυκεύσαντο, καὶ διηλλάγησαν ἐπὶ τῷ κομίσασθαι μὲν αὐτὰς τὰς γυναῖκας, χρήματα δὲ καὶ ναῦς λαβόντας ἐκπλεῦσαι, καὶ γῆς τυχόντας ἀλλαχόσε καὶ πόλεως, ἀποίκες Λακεδαιμονίων καὶ συγγενεῖς νομίζεσθαι. ταῦτ' ἔπραττον οἱ Πελασγοὶ, Πόλλιν ἡγεμόνα, καὶ ἀδελφὸν Κραταΐδαν [2], Λακεδαιμονίες, λαβόντες. καὶ μέρος μὲν αὐτῶν ἐν Μήλῳ κατῴκησαν· τὰς δὲ πλείςας οἱ περὶ Πόλλιν ἔχοντες, εἰς Κρήτην ἔπλευσαν, ἀποπειρώμενοι τῶν λογίων. ἐχρήσθη γὰρ αὐτοῖς, ὅταν τὴν θεὸν καὶ τὴν ἄγκυραν ἀπολέσωσι, παύσασθαι πλάνης, καὶ πόλιν ἐκεῖ συνοικίζειν. ὁρμισθεῖσιν ἂν πρὸς τῇ λεγομένῃ Χεῤῥονήσῳ θόρυβοι πανικοὶ [3] προσέπεσον νύκτωρ. ὑφ' ὧν διαπτοηθέντες, ἐνεπήδησαν εἰς τὰς ναῦς ἀκόσμως, ἀπολιπόντες ἐν τῇ γῇ ξόανον τῆς Ἀρτέμιδος, ὃ πατρῷον ἦν αὐτοῖς εἰς Λῆμνον ἐκ Βραύρωνος κομισθὲν, ἐκ δὲ Λήμνε πανταχᾶ συμπεριαγόμενον. ἐπεὶ δὲ, τᾶ θορύβε λήξαντος, ἐπόθησαν αὐτὸ κατὰ πλᾶν, ἅμα δὲ ὁ Πόλλις

1 Petav. καταλαμβανομένων.

2 Vulgo καὶ Κραταΐδα. Delevi καὶ, quod ab interprete omissum esse monet Xyl. & probat. Maluit idem Κραταΐδαν; Ejus MS. Κραταιίδαν. In Quaest. Graec. XXI. Πόλιν τὸν ἀδελφὸν legitur, & mentio fit fratris, cum quo sortitionem Polis inierit. Aliter quidem sentit W. & pro ἀδελφὸν legi vult Δελφὸν, monente Meurs. Misc. Lacon. II. 7.

3 Petav. πανυκοί.

λις κατέμαθε τῇ ἀγκύρᾳ τὸν ὄνυχα μὴ προσόντα, (βίᾳ γὰρ ἑλκομένης, ὡς ἔοικεν, ἐν τόποις ὑποπέτροις ἀποσπασθεὶς ἔλαθε) περαίνεσθαι τὰ πυθόχρηςα φήσας, ἐσήμαινεν ἀναςρέφειν· καὶ κατέσχε τὴν χώραν, καὶ μάχαις πολλαῖς τῶν ἀντιταξαμένων [1] ἐπικρατήσας, Λύκτον ᾤκησε, καὶ πόλεις ἄλλας ὑποχειρίους ἔλαβε. διὸ καὶ νομίζουσιν, αὐτοὺς Ἀθηναίοις τε διὰ τὰς μητέρας κατὰ γένος προσήκειν, καὶ Σπαρτιατῶν ἀποίκους εἶναι.

ΛΥΚΙΑΙ. Τὸ δ' ἐν Λυκίᾳ γενέσθαι λεγόμενον [2] μυθῶδες μέν ἐςιν, ἔχει δέ τινα φήμην ὁμοῦ μαρτυροῦσαν. Ἀμισώδαρος γὰρ, (ὥς φασιν [3]) ὃν Ἰσάραν Λύκιοι καλοῦσιν, ἧκεν ἐκ τῆς περὶ Σέλειαν ἀποικίας Λυκίων, ληςρίδας ἄγων ναῦς, ὧν Χίμαῤῥος [4] ἡγεῖτο, πολεμιςὴς μὲν ἀνὴρ, ὠμὸς δὲ καὶ θηριώδης. ἔπλει δὲ πλοίῳ λέοντα μὲν ἔχοντι πρῶραθεν ἐπίσημον, ἐκ δὲ πρύμνης δράκοντα, καὶ πολλὰ κακὰ τοὺς Λυκίους ἐποίει, καὶ πλεῦσαι τὴν θάλατταν οὐκ ἦν, οὐδὲ τὰς ἐγγὺς θαλάττης πόλεις οἰκεῖν. τοῦτον οὖν ἀποκτείνας ὁ Βελλεροφόντης φεύγοντα τῷ πηγάσῳ διώξας, ἐκβαλὼν δὲ καὶ τὰς Ἀμαζόνας, οὐδενὸς ἐτύγχανε τῶν δικαίων, ἀλλ' ἦν ἀδικώτατος περὶ αὐτὸν Ἰοβάτης. ὅθεν εἰς τὴν θάλατταν ἐμβὰς, ηὔξατο κατ' αὐτοῦ τῷ Ποσειδῶνι τὴν χώραν ἄκαρπον γενέσθαι καὶ ἀνόνητον. εἶτα ὁ μὲν ἀπῄει κατευξάμενος, κῦμα δὲ διαρθὲν ἐπέκλυζε τὴν γῆν· καὶ θέαμα δεινὸν ἦν, ἑπομένης μετεώρου τῆς θαλάττης, καὶ ἀποκρυπτούσης τὸ πεδίον. ἐπεὶ δὲ, τῶν ἀνδρῶν δεομένων τὸν Βελλεροφόντην [5] ἐπισχεῖν, οὐδὲν ἔπειθον, αἱ γυναῖ-

1 Turn. & Petav. τῶν αὐτῶν ταξαμένων.

2 Turn. & Petav. λέγεσθαι. Pro seq. ὁμοῦ W. mavult ὅμως cum Mez.

3 Turn. ὥς φησίν.

4 Petav. Χείμαρος. Xyl. Χίμαρος scribendum censet, ut ad Chimaeram, cujus fabula hic exponitur, accommodari possit.

5 Petav. Βελλεροφόντην, & ita saepius.

ναῖκες ἀνασυράμεναι τὰς χιτωνίσκους, ἀπήντησαν αὐτῷ. πάλιν οὖν ὑπ' [1] αἰσχύνης ἀναχωροῦντος ὀπίσω, καὶ τὸ κῦμα λέγεται συνυποχωρῆσαι. τινὲς δὲ τὰ λόγου τούτου παραμυθούμενοι τὸ μυθῶδες, οὔ φασι κατάραις ὑπαγαγέσθαι [2] τὴν θάλασσαν αὐτὸν, ἀλλὰ τοῦ πεδίου τὸ πιότατον ὑποκεῖσθαι τῇ θαλάσσῃ ταπεινότερον. ὀφρὺν δὲ παρατείνουσαν [3] ἀκτῆς, ἣ διεῖργε τὴν θάλασσαν, ἐκρῆξαι τὸν Βελλεροφόντην, καὶ βίᾳ τοῦ πελάγους ἐπιφερομένου καὶ κατακλύζοντος τὸ πεδίον, τοὺς μὲν ἄνδρας οὐδὲν περαίνειν δεομένους αὐτοῦ, τὰς δὲ γυναῖκας ἀθρόας περιχυθείσας, αἰδοῦς τυχεῖν καὶ ἀποπαῦσαι τὴν ὀργήν. οἱ δ' ὅλως τὴν λεγομένην Χίμαιραν ὄρος ἀνθήλιον [4] γεγονέναι φασὶ, καὶ ποιεῖν ἀνακλάσεις καὶ ἀνακαύσεις ἐν τῷ ὄρει χαλεπὰς καὶ πυρώδεις [5], ὑφ' ὧν ἀνὰ τὸ πεδίον σκεδαννυμένων, μαραίνεσθαι τοὺς καρπούς. τὸν δὲ Βελλεροφόντην συμφρονήσαντα, διακόψαι τοῦ κρημνοῦ τὸ λειότατον, καὶ μάλιστα τὰς ἀνακλάσεις ἀνταποστέλλον. ἐπεὶ δ' οὐκ ἐτύγχανε χάριτος, ὀργῇ πρὸς ἄμυναν τραπέσθαι τῶν Λυκίων, πεισθῆναι δὲ ὑπὸ τῶν γυναικῶν. ἣν δὲ Νύμφις [6] ἐν τῷ τετάρτῳ περὶ Ἡρακλείας αἰτίαν εἴρηκεν, ἥκιστα μυθώδης ἐστί. λέγει γὰρ, ὅτι [7] σῦν ἄγριον ἐν τῇ Ξανθίων χώρᾳ καὶ ζῶα καὶ καρποὺς λυμαινόμενον ἀνελὼν ὁ Βελλεροφόντης, οὐδεμιᾶς ἐτύγχανεν ἀμοιβῆς· καταρασαμένου δὲ τῶν Ξανθίων αὐτοῦ πρὸς [8] τὸν Ποσ-



1 Ald. & Baf. ἀπ' αἰσχ.

2 Sic R. dedit e Turn. & Petav. pro vulg. ὑπαγέσθαι.

3 Turn. περιτείνουσαν. Seq. διεῖργε R. reftituit ex Ald. & Baf. pro διῆργε, quod eft in Steph. & Frft. Idem repofuit W. adfentientibus Xyl. E. Venet.

4 Sic fcribendam hanc vocem effe monuit Xyl. & dedit R. e Turn. Vulgo ἀντήλιον.

5 Sic Xyl. e MS. legit, & dedit Steph. pro παρώδεις, quod habet Ald. & Baf.

6 Turn. & Petav. Νόφις.

7 abeft ὅτι a Petav.

8 abeft πρὸς a Petav.

Ποσειδῶνα, πᾶν τὸ πεδίον ἐξήνθησεν ἁλμυρίδα, καὶ διέφθαρτο παντάπασι, τῆς γῆς πικρᾶς γενομένης· μέχρις ἂν τὰς γυναῖκας αἰδεσθεὶς δεομένας, εὔξατο τῷ Ποσειδῶνι τὴν ὀργὴν ἀφεῖναι. διὸ καὶ νόμος ἦν τοῖς Ξανθίοις, μὴ πατρόθεν, ἀλλ' ἀπὸ μητρῶν, χρηματίζειν.

ΣΑΛΜΑΤΙΔΕΣ [1]. Ἀννίβα δὲ τοῦ Βάρκα, πρὶν ἐπὶ Ῥωμαίους στρατεύειν, ἐν Ἰβηρίᾳ πόλει μεγάλῃ Σαλματικῇ προσμαχομένου, πρῶτον μὲν ἔδησαν οἱ πολιορκούμενοι, καὶ συνέθεντο ποιήσειν τὸ προσταττόμενον, Ἀννίβᾳ τριακόσια δόντες ἀργυρίου τάλαντα καὶ τριακοσίους ὁμήρους. ἀνέντος δὲ τὴν πολιορκίαν ἐκείνου, μεταγνόντες οὐδὲν ἔπραττον, ὧν ὡμολόγησαν. αὖθις οὖν ἐπιστρέψαντος αὐτοῦ, καὶ τοὺς στρατιώτας ἐπὶ διαρπαγῇ χρημάτων κελεύσαντος ἐπιχειρεῖν τῇ πόλει, παντάπασι καταπλαγέντες οἱ βάρβαροι, συνεχώρησαν ἐξελθεῖν ἐν ἱματίῳ τοὺς ἐλευθέρους, ὅπλα καὶ χρήματα καὶ ἀνδράποδα καὶ τὴν πόλιν καταλιπόντας. αἱ δὲ γυναῖκες, οἰόμεναι, τῶν μὲν ἀνδρῶν φωράσειν [2] ἕκαστον ἐξιόντα τοὺς πολεμίους, αὐτῶν δ' οὐκ ἂν ἅψασθαι, ξίφη λαβοῦσαι καὶ ἀποκρύψασαι, συνεξέπιπτον τοῖς ἀνδράσιν. ἐξελθόντων δὲ πάντων ὁ Ἀννίβας φρουρὰν Μασαισυλίων ἐπιστήσας, ἐν τῷ προαστείῳ συνεῖχεν αὐτοὺς, οἱ δ' ἄλλοι τὴν πόλιν ἀτάκτως ἐμπεσόντες διήρπαζον. πολλῶν δ' ἀγομένων, οἱ Μασαισύλιοι καρτερεῖν οὐκ ἠδύναντο βλέποντες, οὐδὲ τῇ φυλακῇ τὸν νοῦν προσεῖχον, ἀλλ' ἠγανάκτουν, καὶ ἀπεχώρουν [3], ὡς μεθέξοντες τῆς ὠφελείας. ἐν τούτῳ δὲ αἱ γυναῖκες ἐμβοήσασαι [4] τοῖς ἀνδράσι τὰ ξίφη παρέδοσαν, ἔνιαι δὲ καὶ δι' ἑαυτῶν ἐπετίθεντο τοῖς φρουροῖς.

1 Xyl. vertit: *Salmanticae.* Alius interpres, eodem teste: *Saguntinae.*

2 Petav. φοράσιν.

3 Turn. & Petav. ἀνεχώρουν.

4 Petav. ἐμβοήσασαι.

σι. μία δὲ καὶ λόγχην ἐξαρπάσασα Βάνωνος [1] τῦ ἑρμηνέως, αὐτὸν ἐκεῖνον ἔπαισεν· (ἔτυχε δὲ τεθωρακισμένος) τῶν δ' ἄλλων τὰς μὲν καταβαλόντες, τὰς δὲ τρεψάμενοι, διεξέπεσον ἀθρόοι μετὰ τῶν γυναικῶν. πυθόμενος δὲ ὁ Ἀννίβας καὶ διώξας, τὰς μὲν καταλειφθέντας εἷλεν· οἱ δὲ τῶν ὀρῶν ἐπιλαβόμενοι, παραχρῆμα μὲν διέφυγον, ὕστερον δὲ πέμψαντες ἱκετηρίαν, εἰς τὴν πόλιν ὑπ' αὐτῦ κατήχθησαν, ἀδείας καὶ φιλανθρωπίας τυχόντες.

ΜΙΛΗΣΙΑΙ. Τὰς Μιλησίων ποτὲ παρθένυς δεινὸν πάθος καὶ ἀλλόκοτον κατέσχεν, ἐκ δή τινος αἰτίας ἀδήλυ. μάλιστα δ' εἰκάζετο κρᾶσιν ἐκστατικὴν καὶ φαρμακώδη λαβὼν ὁ ἀὴρ, τροπὴν αὐταῖς καὶ παραφορὰν τῆς διανοίας ἐνεργάσασθαι. πάσαις μὲν γὰρ ἐξαίφνης ἐπιθυμία θανάτυ καὶ πρὸς ἀγχόνην ὁρμὴ περιμανὴς ἐνέπιπτε, πολλαὶ δ' ἀπήγχοντο λανθάνυσαι. λόγοι δὲ καὶ δάκρυα γονέων καὶ παρηγορίαι φίλων ὐδὲν ἐπέραινον, ἀλλὰ περιῆσαν ἐπινοίας καὶ πανυργίας ἁπάσης τῶν φυλαττόντων, ἑαυτὰς διαχρώμεναι. καὶ τὸ κακὸν ἐδόκει δαιμόνιον εἶναι, καὶ κρεῖττον ἀνθρωπίνης βοηθείας, ἄχρις ὐ γνώμῃ νῦν ἔχοντος ἀνδρὸς ἐγράφη προβύλευμα, τὰς ἀπαγχομένας γυμνὰς ἐκκομίζεσθαι διὰ τῆς ἀγορᾶς. καὶ τῦτο κυρωθὲν ὐ μόνον ἐπέσχεν, ἀλλὰ καὶ παντελῶς ἔπαυσε θανατώσας τὰς παρθένυς. μέγα δὴ τεκμήριον εὐφυΐας καὶ ἀρετῆς ἡ τῆς ἀδοξίας εὐλάβεια, καὶ τὸ πρὸς τὰ δεινότατα τῶν ὄντων, θάνατον καὶ πόνον, ἀδεῶς ἐχύσας, αἰσχρῦ φαντασίαν μὴ ὑπομεῖναι, μηδ' ἐνεγκεῖν αἰσχύνης μετὰ θάνατον ἐσομένης.

ΚΙΑΙ [2]. Ταῖς Κίων παρθένοις ἔθος ἦν, εἰς ἱερὰ δημόσια συμπορεύεσθαι καὶ διημερεύειν μετ' ἀλλήλων, οἱ δὲ μνηστῆρες ἐθεῶντο παιζύσας καὶ χορευύσας. ἑσπέρας



1 Xyl. MS. Βάννωνος. Alius interpres *Hannonem* habet.

2 Sic Ald. Bas. Steph. & restitui cum W. pro Χίαι, quod habent Fifst. & R.

ρας δὲ πρὸς ἑκάστην ἀνὰ μέρος βαδίζοντες [1] διηκονοῦντο τοῖς αὐτῶν [2] γονεῦσι καὶ ἀδελφοῖς, ἄχρι τοῦ καὶ τοὺς πόδας ἀπονίζειν. ἤρων πολλάκις μιᾶς πλείονες οὕτω κόσμιον ἔρωτα καὶ νόμιμον, ὥστε, τῆς κόρης ἐγγυηθείσης ἑνὶ [3], τοὺς ἄλλους εὐθὺς πεπαῦσθαι. κεφάλαιον δὲ τῆς εὐταξίας [4] τῶν γυναικῶν, τὸ μήτε μοιχείαν, μήτε φθορὰν ἀνέγγυον [5] ἐτῶν ἑπτακοσίων μνημονεύεσθαι παρ' αὐτοῖς γενομένην.

ΦΩΚΙΔΕΣ. Τῶν ἐν Φωκεῦσι τυράννων κατειληφότων Δελφοὺς, καὶ τὸν ἱερὸν κληθέντα πόλεμον Θηβαίων πολεμούντων πρὸς αὐτοὺς, αἱ περὶ τὸν Διόνυσον γυναῖκες, (ἃς Θυιάδας ὀνομάζουσιν) ἐκμανεῖσαι καὶ πλανηθεῖσαι νυκτὸς, ἔλαθον ἐν Ἀμφίσσῃ γενόμεναι· κατάκοποι δ' οὖσαι, καὶ μηδέπω τοῦ φρονεῖν παρόντος αὐταῖς, ἐν τῇ ἀγορᾷ προέμεναι τὰ σώματα, σποράδην ἔκειντο καθεύδουσαι. τῶν δ' Ἀμφισσέων αἱ γυναῖκες, φοβηθεῖσαι, μὴ διὰ τὸ σύμμαχον τὴν πόλιν Φωκέων γεγονέναι, καὶ συχνοὺς στρατιώτας παρεῖναι τῶν τυράννων, ἀγνωμονηθῶσιν αἱ Θυιάδες, ἐξέδραμον εἰς τὴν ἀγορὰν ἅπασαι καὶ κύκλῳ περιστᾶσαι σιωπῇ, κοιμωμέναις μὲν οὐ προσῄεσαν, ἐπεὶ δ' ἐξανέστησαν, ἄλλαι περὶ ἄλλας ἐγίνοντο θεραπεύουσαι, καὶ τροφὴν προσφέρουσαι. τέλος δὲ πείσασαι τοὺς ἄνδρας ἐπηκολούθησαν αὐταῖς ἄχρι τῶν ὅρων ἀσφαλῶς προπεμπομέναις.

ΟΥΑΛΕΡΙΑ [6] ΚΑΙ ΚΛΟΙΛΙΑ. Ταρκύνιον Σούπερβον, ἕβδομον ἀπὸ Ῥωμύλου βασιλεύοντα Ῥωμαίων, ἐξήλασεν ὕβρις καὶ ἀρετὴ Λουκρητίας, γυναικὸς ἀνδρὶ γεγα-

1 E Xyl. conjectura sic dedi pro vulg. *βαδίζουσαι*. Ejd. MS. habuit *βαδίζουσι*, & supra notatum *βαδίζουσαι*.

2 Dedi quoque *αὐτῶν* e Xyl. mente pro vulg. *ἀλλήλων*.

3 Ald. & Bas. *ἐνὶ*, quod Xyl. corrigendum monuit.

4 Ald. & Bas. *τῆς ἀταξίας*, pro quo Xyl. *εὐταξίας* reponendum monuit. Fuit hoc quoque in ejus MS.

5 Turn. *ἐνάγγυται*.

6 Petav. *Οὐαλλερία*.

γεγαμημένης λαμπρῷ καὶ κατὰ γένος προσήκοντι τοῖς βασιλεῦσιν. ἐβιάσθη μὲν γὰρ ὑφ' ἑνὸς τῶν Ταρκυνίου παίδων, ἐπιξενωθέντος αὐτῇ· φράσασα δὲ τοῖς φίλοις καὶ οἰκείοις τὸ πάθος, εὐθὺς ἀπέσφαξεν ἑαυτήν. ἐκπεσὼν δὲ τῆς ἀρχῆς ὁ Ταρκύνιος, ἄλλους τε πολλοὺς ἐπολέμησε πολέμους, πειρώμενος ἀναλαβεῖν τὴν ἡγεμονίαν· καὶ τέλος ἄρχοντα Τυῤῥηνῶν Πορσίναν [1] ἔπεισεν ἐπὶ τὴν Ῥώμην στρατεῦσαι μετὰ πολλῆς δυνάμεως. ἅμα δὲ τῷ πολέμῳ καὶ λιμοῦ συνεπιτιθεμένου [2] τοῖς Ῥωμαίοις, πυνθανόμενοι, τὸν Πορσίναν οὐ πολεμικὸν εἶναι μόνον, ἀλλὰ καὶ δίκαιον ἄνδρα καὶ χρηστὸν, ἐβούλοντο χρῆσθαι δικαστῇ τῶν πρὸς Ταρκύνιον [3]. ἀπαυθαδισαμένου δὲ τοῦ Ταρκυνίου, καὶ τὸν Πορσίναν, εἰ μὴ μένει σύμμαχος βέβαιος, οὐδὲ κριτὴν δίκαιον ἔσεσθαι φάσκοντος, ἀφεὶς ἐκεῖνον ὁ Πορσίνας, ἔπραττεν, ὅπως φίλος ἄπεισι Ῥωμαίων, τῆς τε χώρας ὅσην ἀπετέτμηντο Τυῤῥηνῶν, καὶ τοὺς αἰχμαλώτους κομισάμενος. ἐπὶ τούτοις ὁμήρων αὐτῷ δοθέντων, δέκα μὲν ἀῤῥένων παίδων, δέκα δὲ θηλειῶν, (ἐν αἷς ἦν ἡ Ποπλικόλα, τοῦ ὑπάτου, θυγάτηρ, Οὐαλερία [4]) πᾶσαν εὐθὺς ἀνῆκε τὴν πρὸς τὸν πόλεμον παρασκευὴν, καίπερ οὔπω τέλος ἐχούσης τῆς ὁμολογίας [5]. αἱ δὲ παρθένοι κατέβησαν μὲν ἐπὶ τὸν ποταμὸν, ὡς λουσόμεναι μικρὸν ἀπωτέρω τοῦ στρατοπέδου. μιᾶς δ' αὐτῶν, ὄνομα Κλοιλίας, προτρεψαμένης, ἀναδησάμεναι περὶ τὰς κεφαλὰς τοὺς χιτωνίσκους, παρεβάλοντο [6] πρὸς ῥεῦμα πολὺ, καὶ δίνας βαθείας νέουσαι διεπέρασαν ἀλλή-



1 Petav. προσύναν.

2 Turn. Petav. συνεπιτιθεμένων.

3 Turn. Petav. & Venet. πρὸς τὸν Ταρκύνιον. Petav. simul δικαστῇ pro δικαστήν; & in seq. ἀπαυθαδισαμένον δὲ, omissis, quae sequuntur, usque ad κριτήν.

4 Ald. Βαλερία; (non tamen simul Bas. uti est in ind. Var.) Turn. Βελερία.

5 Petav. ὁμιλίας.

6 Petav. παρεβάλλοντο.

ἀλλήλων ἐχόμεναι πολυπόνως καὶ μόλις. εἰσὶ δὲ οἱ λέγοντες, ἵππε τὴν Κλοιλίαν εὐπορήσασαν, αὐτὴν μὲν ἐπιβῆναι καὶ διεξελαύνειν ἠρέμα, ταῖς δ' ἄλλαις ὑφηγεῖσθαι, παραθαρσύνεσαν νηχομένας καὶ παραβοηθεσαν [1]. ᾧ δὲ τεκμηρίῳ χρῶνται, μετ' ὀλίγον ἐρεμεν. ἐπεὶ δὲ σωθείσας εἶδον οἱ Ῥωμαῖοι, τὴν μὲν ἀρετὴν καὶ τόλμαν [2] ἐθαύμασαν, τὴν δὲ κομιδὴν εκ ἠγάπησαν, ἐδ' ὑπέμειναν ἐν πίσει χείρονες [3] ἀνδρὸς ἑνὸς γενέσθαι. πάλιν ἐν τὰς κόρας ἐκέλευσαν ἀπιέναι, καὶ συνέπεμψαν αὐταῖς ἀγωγες· οἷς διαβᾶσι τὸν ποταμὸν ἐνέδραν ὑφεὶς ὁ Ταρκύνιος, ὀλίγον ἐδέησεν ἐγκρατὴς γενέσθαι τῶν παρθένων. ἡ μὲν ἐν τε ὑπάτε Ποπλικόλα θυγάτηρ, Οὐαλερία, μετὰ τριῶν προεξέφυγεν οἰκετῶν εἰς τὸ τε Πορσίνα στρατόπεδον, τὰς δ' ἄλλας ὁ τε Πορσίνα υἱὸς, Ἄῤῥες, ταχὺ προσβοηθήσας [4] ἐξείλετο τῶν πολεμίων· ἐπεὶ δ' ἤχθησαν, ἰδὼν αὐτὰς ὁ Πορσίνας, ἐκέλευσεν εἰπεῖν, ἥτις ἐστὶν ἡ προτρεψαμένη καὶ κατάρξασα τε βελεύματος. αἱ μὲν ἐν ἄλλαι φοβηθεῖσαι περὶ τῆς Κλοιλίας ἐσιώπησαν· αὐτῆς δὲ τῆς Κλοιλίας εἰπέσης ἑαυτὴν, ἀγασθεὶς ὁ Πορσίνας, ἐκέλευσεν ἵππον ἀχθῆναι κεκοσμημένον εὐπρεπῶς, καὶ τῇ Κλοιλίᾳ δωρησάμενος, ἀπέπεμψεν εὐμενῶς καὶ φιλανθρώπως πάσας. τετο ποιεντι σημεῖον οἱ πολλοὶ τε τὴν Κλοιλίαν ἵππῳ διεξελάσαι τὸν ποταμόν· οἱ δὲ ε φασιν, ἀλλὰ τὴν ῥώμην θαυμάσαντα καὶ τὴν τόλμαν αὐτῆς, ὡς κρείττονα γυναικὸς, ἀξιῶσαι δωρεᾶς ἀνδρὶ πολεμιστῇ πρεπέσης. ἀνέκειτο [5] γεν ἔφιππος εἰκὼν γυναικὸς ἐπὶ τῆς ὁδε τῆς ἱερᾶς λεγομένης, ἣν οἱ μὲν τῆς Κλοιλίας, οἱ δὲ τῆς Οὐαλερίας λέγεσιν εἶναι.

MIK-

1 Turn. & Petav. περιβοηθεσαν.

2 Turn. & Petav. καὶ τὴν τόλμαν.

3 Sic R. dedit e Turn. & Petav. nec non W. adſentiente E. Vulgo χείρονος.

4 Petav. προβοηθέσας; Id. in ſeq. ὑπάσης pro εἰπάσης.

5 Turn. ἐνέκειτο.

ΜΙΚΚΑ ΚΑΙ ΜΕΓΙΣΤΩ. Ἀριςότιμος Ἠλείοις ἐπαναςὰς τύραννος ἴσχυε μὲν δι' Ἀντιγόνου τοῦ βασιλέως, ἐχρῆτο δὲ τῇ δυνάμει πρὸς οὐδὲν ἐπιεικὲς, οὐδὲ μέτριον. καὶ γὰρ αὐτὸς ἦν φύσει θηριώδης, καὶ τοῖς φυλάττουσι τὴν ἀρχὴν καὶ τὸ σῶμα βαρβάροις μιγάσι δουλεύων ὑπὸ φόβου, πολλὰ μὲν ὑβριςικὰ, πολλὰ δ' ὠμὰ τοὺς πολίτας ὑπ' αὐτῶν [1] περιεώρα πάσχοντας. οἷον ἦν καὶ τὸ Φιλοδήμου πάθος. ἔχοντος γὰρ αὐτοῦ θυγατέρα καλὴν, ὄνομα Μίκκαν, ἐπεχείρησέ τις τῶν περὶ τὸν τύραννον ξεναγῶν, ὄνομα Λεύκιος, ὕβρει μᾶλλον, ἢ ἔρωτι, συγγενέσθαι· καὶ πέμψας ἐκάλει τὴν παρθένον. οἱ μὲν οὖν γονεῖς τὴν ἀνάγκην ὁρῶντες, ἐκέλευον βαδίζειν· ἡ δὲ παῖς οὖσα γενναία καὶ μεγαλόφρων, ἐδεῖτο τοῦ πατρὸς περιπλεκομένη καὶ καθικετεύουσα, μᾶλλον αὐτὴν περιϊδεῖν ἀποθανοῦσαν, ἢ τὴν παρθενίαν [2] αἰσχρῶς καὶ παρανόμως ἀφαιρεθεῖσαν. καὶ διατριβῆς γενομένης, σπαργῶν καὶ μεθύων ὁ Λεύκιος αὐτὸς ἐξανέςη, μεταξὺ πίνων πρὸς ὀργήν. καὶ τὴν Μίκκαν εὑρὼν ἐν τοῖς γόνασι τοῦ πατρὸς τὴν κεφαλὴν ἔχουσαν, ἐκέλευεν [3] αὐτῷ συνακολουθεῖν. οὐ βουλομένης δὲ τὸ χιτώνιον περιῤῥήξας ἐμαςίγου γυμνὴν, αὐτὴν μὲν ἐγκαρτεροῦσαν σιωπῇ ταῖς ἀλγηδόσιν· ὁ δὲ πατὴρ καὶ ἡ μήτηρ, ὡς οὐδὲν ἀντιβολοῦντες καὶ δακρύοντες ἐπέραινον, ἐτράποντο πρὸς θεῶν καὶ ἀνθρώπων ἀνάκλησιν, ὡς δεινὰ καὶ παράνομα πάσχοντες. ὁ δὲ βάρβαρος, ἐκμανεὶς [4] παντάπασιν ὑπὸ τοῦ θυμοῦ καὶ μέθης, ἀποσφάττει τὴν παρθένον, ὡς ἔτυχεν ἐν τοῖς κόλποις τοῦ πατρὸς ἔχουσα τὸ πρόσωπον. ἀλλ' οὐδὲ τούτοις ὁ τύραννος ἐκάμπτετο, πολλοὺς δ' ἀνῄρει, καὶ πλείονας ἐφυγάδευεν [5]. ὀκτακόσιοι γοῦν λέγονται καταφυγεῖν ἐπ' Αἰ-



1 ὑπ' αὐτῶν absunt a Petav. Mox idem ξεναγὸν & γεννία.
2 Turn. τὴν παρθενήν.
3 Turn. ἐκέλευσεν.
4 Petav. ἐκμανής; & mox ἔχουσαν pro ἔχουσα.
5 Turn. ἐφυγάδευσεν.

τωλὲς, δεόμενοι τὰς γυναῖκας αὐτοῖς καὶ τὰ νήπια τέκνα [1] κομίσασθαι παρὰ τῦ τυράννυ· ὀλίγῳ δ' ὕστερον αὐτὸς ἐκήρυξε τὰς βυλομένας γυναῖκας ἀπιέναι πρὸς τὺς ἄνδρας, ὅσον [2] βύλονται τῶν γυναικείων χρημάτων ἐπιφερομένας. ἐπεὶ δὲ πάσας ᾔσθετο μεθ' ἡδονῆς τὸ κήρυγμα δεδεγμένας, (ἐγένοντο γὰρ ὑπὲρ ἑξακόσιαι τὸ πλῆθος) ἐκέλευσεν ἀθρόας ἡμέρᾳ ῥητῇ βαδίζειν, ὡς τὴν ἀσφάλειαν αὐτὸς παρέξων. ἐνςάσης [3] δὲ τῆς ἡμέρας, αἱ μὲν ἐπὶ τὰς πύλας ἠθροίζοντο τὰ χρήματα συσκευασάμεναι, καὶ τῶν τέκνων τὰ μὲν ἐν ταῖς ἀγκάλαις φέρυσαι, τὰ δ' ἐπὶ τῶν ἁμαξῶν ἔχυσαι, καὶ περιέμενον ἀλλήλας. ἄφνω δὲ πολλοὶ τῶν τῦ τυράννυ ἐπεφέροντο, μένειν βοῶντες ἔτι πόρρωθεν. ὡς δ' ἐγγὺς ἐγένοντο, τὰς μὲν γυναῖκας ἐκέλευον ἀναχωρεῖν ὀπίσω, τὰ δὲ ζεύγη καὶ τὰς ἁμάξας ὑποςρέψαντες ἔωσαν εἰς αὐτὰς, καὶ διὰ μέσων ἀφειδῶς διήλαυνον, ὔτ' ἀκολυθεῖν, ὔτε μένειν ἐῶντες, ὔτε τοῖς νηπίοις βοηθεῖν ἀπολλυμένοις, (τὰ μὲν γὰρ ἐκπίπτοντα τῶν ἁμαξῶν, τὰ δ' ὑποπίπτοντα διεφθείροντο) βοῇ καὶ μάςιξιν ὥσπερ πρόβατα τῶν μισθοφόρων ἐπειγόντων [4] ἀνατρεπομένας ὑπ' ἀλλήλων, ἕως εἰς τὸ δεσμωτήριον ἐνέβαλον ἁπάσας, τὰ δὲ χρήματα πρὸς τὸν Ἀριςότιμον ἀπεκομίσθη. χαλεπῶς δὲ τῶν Ἠλείων ἐπὶ τύτοις ἐχόντων, αἱ περὶ τὸν Διόνυσον ἱεραὶ γυναῖκες, ἃς ἑκκαίδεκα καλῦσιν, ἱκετηρίας καὶ ςέμματα τῶν ἀπὸ τῦ θεῦ λαβῦσαι, περὶ τὴν ἀγορὰν ἀπήντησαν τῷ Ἀριςοτίμῳ, καὶ τῶν δορυφόρων ὑπ' αἰδῦς διαςάντων, ἔςησαν τὸ πρῶτον [5] σιωπῇ ὁσίως προϊσχόμεναι τὰς ἱκετηρίας. ἐπεὶ δ' ἐγένοντο φανεραὶ δεόμεναι καὶ παραιτύμεναι τὴν ὀργὴν ὑπὲρ τῶν γυναικῶν, παρ-

1 Dedi ſic e Turn. & Petav. pro vulg. νήπια τῶν τέκνων.

2 Ald. & Baſ. ὅται.

3 Petav. ἐνςάσας.

4 Sic e Turn. & Petav. dedi pro vulg. ἐπαγόντων. Recepit idem W. adſentientibus E. & Venet.

5 Turn. & Petav. τῷ πρώτῳ.

παροξυνθεὶς πρὸς τὰς δορυφόρους, καὶ κεκραγὼς, ὅτι προσελθεῖν εἴασαν αὐτὰς, ἐποίησε τὰς μὲν ὠθοῦντας, τὰς δὲ τύπτοντας ἐξελάσαι ἐκ τῆς ἀγορᾶς, ἑκάστην δὲ δυσὶ ταλάντοις ἐζημίωσε. γενομένων δὲ τούτων, ἐν μὲν τῇ πόλει συνέστησε πρᾶξιν ἐπὶ τὸν τύραννον Ἑλλάνικος, ἀνὴρ διὰ γῆρας ἤδη καὶ δύο τέκνων θάνατον, ὡς οὐδὲν ἂν πράξας, ὑπὸ τοῦ τυράννου περιορώμενος. ἐκ δ᾽ Αἰτωλίας διαπεράσαντες οἱ φυγάδες, καταλαμβάνουσι τῆς χώρας ἐπιτήδειον ἐμπολεμεῖν ἔρυμα τὴν Ἀμυμώνην, καὶ συχνοὺς προσεδέχοντο τῶν πολιτῶν ἐκ τῆς Ἤλιδος ἀποδιδράσκοντας. Ταῦτα δὲ δείσας ὁ Ἀριστότιμος, εἰσῆλθε πρὸς τὰς γυναῖκας, καὶ νομίζων, φόβῳ μᾶλλον, ἢ χάριτι, διαπράξεσθαι [1], προσέταττε πέμπειν καὶ γράφειν αὐτὰς τοῖς ἀνδράσιν, ὅπως ἀπίωσιν ἐκ τῆς χώρας· εἰ δὲ μὴ, κατασφάξειν ἠπείλει πάσας αἰκισάμενος, καὶ προανελὼν τοὺς παῖδας. αἱ μὲν οὖν ἄλλαι, πολὺν χρόνον ἐφεστῶτος, καὶ κελεύοντος εἰπεῖν, εἴ τι πράξουσι τούτων, οὐδὲν ἀπεκρίναντο πρὸς ἐκεῖνον, ἀλλὰ προσέβλεψαν ἀλλήλαις σιωπῇ, καὶ δι᾽ εὔνοιαν [2], ἀνθομολογούμεναι, τὸ μὴ δεδιέναι, μηδ᾽ ἐκπεπλῆχθαι τὴν ἀπειλήν. Μεγιστὼ δὲ, ἡ Τιμολέοντος γυνὴ, καὶ διὰ τὸν ἄνδρα καὶ τὴν ἀρετὴν [3], ἡγεμονικὴν ἔχουσα τάξιν, διαναστῆναι μὲν οὐκ ἠξίωσεν, οὐδ᾽ εἴασε τὰς ἄλλας· καθεζομένη δ᾽ ἀπεκρίνατο πρὸς αὐτόν· Εἰ μὲν ἦς ἀνὴρ φρόνιμος, οὐκ ἂν διελέγου γυναιξὶ περὶ ἀνδρῶν, ἀλλὰ πρὸς ἐκείνους ἂν, ὡς κυρίους ἡμῶν, ἔπεμπες, ἀμείνονας λόγους εὑρὼν, ἢ δι᾽ ὧν ἡμᾶς ἐξηπάτησας· εἰ δ᾽ αὐτὸς ἐκείνους πεῖσαι ἀπεγνωκὼς, δι᾽ ἡμῶν ἐπιχειρεῖς παραλογίζεσθαι, μήτε ἡμᾶς ἔλπιζε πάλιν ἐξαπατήσειν, μήτ᾽ ἐκείνοι κακῶς οὕτω φρονήσειαν, ὥστε, φειδόμενοι παιδαρίων καὶ γυναικῶν, ἐγκαταλιπεῖν τὴν τῆς πατρίδος ἐλευθερίαν. οὐ γὰρ τοσοῦτο κακὸν

1 Petav. διαπράξασθαι.
2 Bene conjicit W. legendum καὶ διένευσαν.
3 Turn. & Petav. καὶ δι᾽ ἀρετήν.

κακὸν αὐτοῖς ἡμᾶς ἀπολέσαι, μηδὲ νῦν ἔχοντας, ὅσον ἀγαθὸν ἐξελέσθαι τῆς σῆς ὠμότητος καὶ ὕβρεως τὰς πολίτας. Ταῦτα τῆς Μεγιςῆς λεγούσης, οὐκ ἀνασχόμενος ὁ Ἀρισότιμος, ἐκέλευσε [1] τὸ παιδίον αὐτῆς, ὡς ἀποκτενῶν, ἐν ὄψει κομισθῆναι. ζητούντων δὲ τῶν ὑπηρετῶν ἀναμεμιγμένον ἐν τοῖς ἄλλοις παίζουσι καὶ διαπαλαίουσιν, ἡ μήτηρ ὀνομαςὶ προσκαλεσαμένη· Δεῦρο, (ἔφη) τέκνον, πρὶν αἰσθέσθαι [2] καὶ φρονεῖν, ἀπαλλάγηθι τῆς πικρᾶς τυραννίδος. ὡς ἐμοὶ βαρύτερόν ἐςι δουλεύοντά σε παρ᾽ ἀξίαν ἐφορᾷν, ἢ ἀποθνήσκοντα. τοῦ δ᾽ Ἀρισοτίμου σπασαμένου τὴν μάχαιραν ἐπ᾽ αὐτὴν ἐκείνην, καὶ μετ᾽ ὀργῆς ἐπιφερομένου, τῶν συνήθων τις αὐτῷ [3], Κύλων ὄνομα, πιςὸς δοκῶν εἶναι, μισῶν δὲ καὶ μετέχων τῆς συνωμοσίας τῆς περὶ τὸν Ἑλλάνικον, ἀντέςη, καὶ ἀπέςρεψε δεόμενος, καὶ λέγων, ἀγεννὲς εἶναι καὶ γυναικῶδες, οὐκ ἀνδρὸς ἡγεμονικοῦ καὶ πράγμασι χρῆσθαι μεμαθηκότος, τὸ ἔργον· ὥςε μόλις ἔννουν γενόμενον τὸν Ἀρισότιμον ἀπελθεῖν. γίνεται δὲ σημεῖον αὐτῷ μέγα· μεσημβρία μὲν γὰρ ἦν, καὶ μετὰ τῆς γυναικὸς ἀνεπαύετο. παρασκευαζομένων δὲ τῶν περὶ τὸ δεῖπνον, αἰετὸς μετέωρος ὤφθη δινέμενος ὑπὲρ τῆς οἰκίας, εἶθ᾽, ὥσπερ ἐκ προνοίας καὶ ςοχασμοῦ, λίθον ἀφῆκεν εὐμεγέθη κατ᾽ ἐκεῖνο τῆς ςέγης τὸ μέρος, οὗ τὸ δωμάτιον ἦν, ἐν ᾧ κατακείμενος ἐτύγχανεν ὁ Ἀρισότιμος. ἅμα δ᾽ ἄνωθεν ψόφου μεγάλου καὶ κραυγῆς ἔξωθεν ὑπὸ τῶν ἰδόντων τὸν ὄρνιν γενομένης, ἐκπλαγεὶς καὶ πυθόμενος τὸ γεγονὸς, μετεπέμψατο μάντιν, ᾧ χρώμενος διετέλει κατ᾽ ἀγοράν, καὶ διηρώτα περὶ τοῦ σημείου συντεταραγμένος. ὁ δ᾽ ἐκεῖνον [4] μὲν παρεκάλει, ὡς τοῦ Διὸς αὐτὸν ἐξεγείροντος καὶ βοη-

1 Restitui ἐκέλευσε ex Ald. Bas. Steph. Petav. pro ἐκέλευε, quod est in Frft. & R.

2 Turn. & Petav. πρὶν ἴσεσθαι.

3 Turn. & Petav. αὐτοῦ, & Λύκων pro Κύλων.

4 Petav. ἐκεῖνο. Id. mox cum Turn. ἐκπεσεῖσθαι pro ἐμπεσ.

βοηθοῦντος. οἷς δ' ἐπίστευε τῶν πολιτῶν, ἔφρασεν, ὅσον οὔπω τὴν δίκην αἰωρουμένην ὑπὲρ κεφαλῆς ἐμπεσεῖσθαι τῷ τυράννῳ. διὸ καὶ τοῖς περὶ τὸν Ἑλλάνικον ἔδοξε μὴ μέλλειν, ἀλλ' ἐπιτίθεσθαι τῇ ὑστεραίᾳ. τῆς δὲ νυκτὸς Ἑλλάνικος ἐδόκει κατὰ τοὺς ὕπνους τῶν τεθνηκότων υἱῶν τὸν ἕτερον λέγειν αὐτῷ παραστάντα· Τί πέπονθας, ὦ πάτερ, καθεύδων; αὔριον δέ σε δεῖ τῆς πόλεως στρατηγεῖν. οὗτός [1] τε δὴ διὰ τὴν ὄψιν εὐθαρσὴς γεγενημένος, παρεκάλει τοὺς ἑτέρους· ὅ τ' Ἀριστότιμος, πυθόμενος, Κρατερὸν αὐτῷ βοηθοῦντα μετὰ πολλῆς δυνάμεως ἐν Ὀλυμπίᾳ καταστρατοπεδεύειν, οὕτως ἐξεθάρσησεν, ὥστ' ἄνευ δορυφόρων εἰς τὴν ἀγορὰν προσελθεῖν μετὰ τοῦ Κύλωνος. ὡς οὖν συνεῖδε τὸν καιρὸν ὁ Ἑλλάνικος, ὃ μὲν ἦν σημεῖον αὐτῷ πρὸς τοὺς μέλλοντας ἐπιχειρεῖν συγκείμενον, οὐκ ἔδωκε, λαμπρᾷ δὲ τῇ φωνῇ, καὶ ἅμα τὰς χεῖρας προτείνων ἀμφοτέρας· Τί μέλλετε, ἄνδρες ἀγαθοί, καλὸν τὸ θέατρον ἐν μέσῳ τῆς πατρίδος ἐναγωνίσασθαι; πρῶτος [2] μὲν οὖν ὁ Κύλων σπασάμενος τὸ ξίφος παίει τινὰ τῶν ἑπομένων τῷ Ἀριστοτίμῳ· Θρασυβούλου δὲ καὶ Λάμπιδος ἐξ ἐναντίας ἐπιφερομένων, ἔφθη μὲν ὁ Ἀριστότιμος εἰς τὸ τοῦ Διὸς ἱερὸν καταφυγών· ἐκεῖ δ' ἀποκτείναντες αὐτὸν, καὶ τὸ σῶμα προβαλόντες εἰς τὴν ἀγορὰν, ἐκάλουν τοὺς πολίτας ἐπὶ τὴν ἐλευθερίαν. οὐ μὴν ἔφθησάν γε πολλοὶ τὰς γυναῖκας. εὐθὺς γὰρ ἐξέδραμον μετὰ χαρᾶς καὶ ὀλολυγμοῦ, καὶ περιστᾶσαι τοὺς ἄνδρας ἀνέδουν καὶ κατέστεφον· εἶτα τοῦ πλήθους ἐπὶ τὴν οἰκίαν τοῦ τυράννου ῥυέντος, ἡ μὲν γυνὴ συγκλείσασα τὸν θάλαμον, αὑτὴν ἀνήρτησε. δύο δ' ἦσαν αὐτῷ θυγατέρες, παρθένοι μὲν ἔτι, κάλλισται δὲ τὴν ὄψιν, ἤδη γάμων ὥραν ἔχουσαι. Ταύτας συλλαβόντες, εἷλκον [3] ἔξω

1 W. mavult οὕτως.

2 Dedi πρῶτος e Turn. & Petav. Vulgo πρῶτον. Sequens μὲν abest a Petav.

3 Petav. εἷλον.

ἔξω πάντως μὲν ἀνελεῖν, αἰκίσαθαι δὲ καὶ καθυβρίσαι πρότερον ἐγνωκότες. ἀπαντήσασα δὲ ἡ Μεγιςὼ [1] μετὰ τῶν ἄλλων, ἐβόα δεινὰ ποιεῖν αὐτὰς, εἰ, δῆμος ἀξιᾶντας εἶναι, ταῦτα τολμῶσι καὶ ἀσελγαίνεσι τοῖς τυράννοις ὅμοια. ἐντρεπομένων δὲ πολλῶν τὸ ἀξίωμα τῆς γυναικὸς παῤῥησιαζομένης καὶ δακρυέσης, ἔδοξεν ἀφελεῖν τὴν ὕβριν, αὐτὰς δ' ἐᾶσαι δι' αὐτῶν ἀποθανεῖν. ὡς δ' ἂν ἀναςρέψαντες [2] ἔνδον ἐκέλευον εὐθὺς ἀποθνήσκειν τὰς παρθένας, ἡ πρεσβυτέρα, Μυρὼ, λύσασα τὴν ζώνην, καὶ βρόχον ἐνάψασα, τὴν ἀδελφὴν κατησπάζετο, καὶ παρεκάλει προσέχειν καὶ ποιεῖν, ἅπερ ἂν αὐτὴν θεάσηται ποιᾶσαν· Ὅπως ἂν (ἔφη) μὴ ταπεινῶς, μηδ' ἀναξίως ἑαυτῶν, καταςρέψωμεν. τῆς δὲ νεωτέρας δεομένης αὐτῇ παρεῖναι προτέρᾳ ἀποθανεῖν, καὶ τῆς ζώνης ἀντιλαμβανομένης· Οὐδὲν ἄλλο πώποτε (εἶπεν) ἀδὲν [3] ἠρνημαί σοι δεομένῃ· καὶ ταύτην ἂν λάβε τὴν χάριν, ἐγὼ δὲ ὑπομενῶ καὶ τλήσομαι τᾶ θανάτα βαρύτερον, τὸ σὲ, φιλτάτη, πρότερον [4] ἰδεῖν θνήσκασαν. ἐκ τάτα τὴν μὲν ἀδελφὴν αὐτὴ διδάξασα τῷ τραχήλῳ περιβαλέθαι τὸν βρόχον, ὡς ᾔθετο τεθνηκυῖαν, καθεῖλε καὶ κατεκάλυψεν· αὐτὴν δὲ τὴν Μεγιςὼ παρεκάλεσεν ἐπιμεληθῆναι, καὶ μὴ ὑπεριδεῖν [5] αἰχρῶς, ἐπειδὰν ἀποθάνῃ, τεθεῖσαν. ὥςε μηδένα πικρὸν, μηδὲ μισοτύραννον ἄτω γενέθαι τῶν παρόντων, ὃς ἀκ ἔκλαυσεν, ἀδὲ κατηλέησε τὴν τῶν παρθένων εὐγένειαν. Τῶν μὲν ἂν κοινῇ πεπραγμένων γυναιξὶ, μυρίων ὄντων, ἱκανὰ ταῦτα παραδείγματα· τὰς δὲ καθ' ἑκάςην ἀρετὰς, ὅπως ἂν ἐπίῃ [6], σποράδην ἀναγράψομεν, ἀδὲν οἰόμενοι τῆς κατὰ χρόνον τάξεως δεῖθαι τὴν ὑποκειμένην ἱςορίαν.

ΠΙΕ-

1 Turn. ἡ γεμιςώ; sic iterum infra cum Petav.
2 Turn. & Petav. ἀνατρέψαντες.
3 Pro hoc ἀδὲν Petav. ἀδέ.
4 Petav. προτέραν. Turn. ἀποθνήσκασαν pro θνήσκασαν.
5 Turn. & Petav. περιϊδεῖν.
6 Petav. ἐποίει.

ΠΙΕΡΙΑ. Τῶν εἰς Μίλητον ἀφικομένων Ἰώνων στασιάσαντες ἔνιοι πρὸς τὰς Νείλεω [1] παῖδας, ἀπεχώρησαν εἰς Μυᾶντα, κἀκεῖ κατῴκεν, πολλὰ κακὰ πάσχοντες ὑπὸ τῶν Μιλησίων. ἐπολέμεν γὰρ αὐτοῖς διὰ τὴν ἀποστασίαν. ἐ μὴν ἀκήρυκτος ἦν, ἐδ' ἀνεπίμικτος ὁ πόλεμος, ἀλλ' ἔν τισιν ἑορταῖς ἐφοίτων εἰς Μίλητον ἐκ τῦ Μυᾶντος αἱ γυναῖκες. ἦν δὲ Πύθης ἀνὴρ ἐν αὐτοῖς ἐμφανὴς, γυναῖκα μὲν ἔχων Ἰαπυγίαν, θυγατέρα [2] δὲ Πιερίαν. ἔσης ἂν ἑορτῆς Ἀρτέμιδι καὶ θυσίας παρὰ Μιλησίοις, ἣν Νηληΐδα προσαγορεύεσιν, ἔπεμψε τὴν γυναῖκα καὶ τὴν θυγατέρα, δεηθείσας, ὅπως τῆς ἑορτῆς μετάσχωσι· τῶν δὲ Νείλεω παίδων ὁ δυνατώτατος, ὄνομα Φρύγιος, τῆς Πιερίας ἐραθεὶς, ἐνενόει [3], τί ἂν αὐτῇ μάλιστα γένοιτο παρ' αὐτῦ κεχαρισμένον. εἰπάσης δ' ἐκείνης· Εἰ διαπράξαιό μοι τὸ πολλάκις ἐνταῦθα καὶ μετὰ πολλῶν βαδίζειν. συνεὶς ἂν ὁ Φρύγιος δεομένην φιλίας καὶ εἰρήνης τοῖς πολίταις, κατέπαυσε τὸν πόλεμον. ἦν ἂν ἐν ἀμφοτέραις ταῖς πόλεσι δόξα καὶ τιμὴ τῆς Πιερίας, ὥστε καὶ τὰς Μιλησίων εὔχεσθαι γυναῖκας ἄχρι νῦν, ἕτως ἐρᾶν τὰς ἄνδρας [4] αὐτῶν, ὡς Φρύγιος ἠράσθη Πιερίας.

ΠΟΛΥΚΡΙΤΗ. Ναξίοις καὶ Μιλησίοις [5] συνέστη πόλεμος διὰ τὴν Ὑψικρέοντος τῦ Μιλησίυ γυναῖκα, Νέαιραν. αὕτη γὰρ ἠράσθη Προμέδοντος Ναξίυ, καὶ συνέπλευσεν, ὃς ἦν μὲν ξένος τῦ Ὑψικρέοντος, ἐραθείσῃ δὲ τῇ Νεαίρᾳ συνῆλθε, καὶ τὸν ἄνδρα φοβεμένην ἀπ-

1 In hoc nomine Xyl. η pro ει reponi vult ex hiſtoria & MS.

2 In ind. Var. hoc loco notatur, cod. Petav. θυγατέραν exhibere, idemque vitium in pluribus hujusmodi vocabulis admittere.

3 Ald. & Baſ. ἐνόει. Tu n. & Petav. δευμένης (ſic) pro δεαμένην.

4 E Xyl. MS. τὰς ἄνδρας inſerere haud dubitavi. Vulgo abſunt.

5 Petav. Μηλισίοις, & ſic ſere ſemper.

ἀπαγαγὼν εἰς Νάξον, ἱκέτιν τῆς Ἑςίας ἐκάθισεν. τῶν δὲ Ναξίων ἐκ ἐκδιδόντων, χάριν τῦ Προμέδοντος, ἄλλως δὲ ποιεμένων πρόφασιν τὴν ἱκετείαν, ὁ πόλεμος συνέςη, τοῖς δὲ [1] Μιλησίοις ἄλλοι τε πολλοὶ, καὶ προθυμότατα τῶν Ἰώνων Ἐρυθραῖοι συνεμάχεν, καὶ μῆκος ἔχε καὶ συμφορὰς ἤνεγκε μεγάλας ὁ πόλεμος· εἶτ' ἐπαύσατο δι' ἀρετὴν γυναικὸς, ὡς συνέςη διὰ μοχθηρίαν. Διόγνητος γαρ, ὁ τῶν Ἐρυθραίων ςρατηγὸς, ἔχων καὶ πεπιςευμένος ἔρυμα κατὰ τῆς Ναξίων πόλεως εὖ πεφυκὸς καὶ κατεσκευασμένον, ἠλάσατο λείαν τῶν Ναξίων πολλὴν, καὶ γυναῖκας ἐλευθέρας καὶ παρθένας ἔλαβεν. ὧν μιᾶς, Πολυκρίτης, ἐρασθεὶς εἶχεν αὐτὴν, ἐχ ὡς αἰχμάλωτον, ἀλλ' ἐν τάξει γαμετῆς γυναικός. ἑορτῆς δὲ τοῖς [2] Μιλησίοις καθηκέσης ἐν τῇ ςρατιᾷ, καὶ πρὸς πόσιν ἁπάντων καὶ συνεσίας τρεπομένων, ἠρώτησε τὸν Διόγνητον ἡ Πολυκρίτη, μή τι κωλύοι πεμμάτων μερίδας ἀποπέμψαι τοῖς ἀδελφοῖς αὐτῆς. ἐπιτρέψαντος δ' ἐκείνε καὶ κελεύσαντος, ἐνέβαλε μολίβδινον [3] γραμματίδιον εἰς πλακῦντα, κελεύσασα φράσαι τὸν κομίζοντα τοῖς ἀδελφοῖς, ὅπως αὐτοὶ μόνοι καταναλώσωσιν, ἃ ἔπεμψε. οἱ δ' ἐντυχόντες τῷ μολίβδῳ, καὶ τὰ γράμματα τῆς Πολυκρίτης ἀναγνόντες, κελευέσης νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις, ὡς ὑπὸ μέθης διὰ τὴν ἑορτὴν ἐξημελημένων πάντων, προσήγγειλαν τοῖς ςρατηγοῖς, καὶ παρώρμησαν ἐξελθεῖν μετ' αὐτῶν. ἁλόντος δὲ τῦ χωρίε, καὶ πολλῶν διαφθαρέντων, ἐξητήσατο [4] τὸν Διόγνητον ἡ Πολυκρίτη παρὰ τῶν πολιτῶν, καὶ διέσωσεν. αὐτη

1 Petav. τοῖς μένων πρόφασιν τὴν ἱκετείαν, quod Collector Var. Lect. incuriae exaratoris hujus codicis recte tribuit.

2 Petav. τῆς. Mox idem cum Turn. πρὸς τὴν πόλιν pro πρὸς πόσιν, & τραπομένων pro τρεπομ. item πέμψαι pro ἀποπέμψαι.

3 Petav. μωλίβδιον.

4 Baf. ἐζητήσατο, quod Xyl. ex MS. & Ald. corrigendum monuit.

τῇ δὲ πρὸς ταῖς πύλαις γενομένυς [1] τὺς πολίτας ἀπαντῶντας αὐτῇ, μετὰ χαρᾶς καὶ ϛεφάνων ὑποδεχομένυς καὶ [2] θαυμάζοντας, ὐκ ἤνεγκε τὸ μέγεθος τῆς χαρᾶς, ἀλλ' ἀπέθανεν αὐτῦ πεσῦσα περὶ [3] τὴν πύλην· ὅπυ τέθαπται, καὶ καλεῖται βασκάνυ τάφος, ὡς βασκάνῳ τινὶ τύχῃ τὴν Πολυκρίτην φθονηθεῖσαν ἀπολαῦσαι [4] τῶν τιμῶν. ὕτω μὲν οἱ Ναξίων συγγραφεῖς ἱϛορῦσιν· ὁ δ' Ἀριϛοτέλης φησὶν, ὐδ' ἁλῦσης τῆς Πολυκρίτης, ἄλλως δέ πως ἰδόντα τὸν Διόγνητον ἐρασθῆναι, καὶ πάντα διδόναι καὶ ποιεῖν ἕτοιμον εἶναι· τὴν δὲ ὁμολογεῖν ἀφίξεσθαι πρὸς αὐτὸν, ἑνὸς μόνυ τυχῦσαν, περὶ ὗ τὸν Διόγνητον [5] (ὥς φησιν ὁ φιλόσοφος) ὅρκον ᾔτησεν. ἐπεὶ δ' ὤμοσεν, ἠξίυ τὸ Δήλιον αὐτῇ δοθῆναι, (Δήλιον γὰρ ἐκαλεῖτο τὸ χωρίον) ἄλλως δ' ὐκ ἂν ἔφη συνελθεῖν. ὁ δὲ καὶ διὰ τὴν ἐπιθυμίαν καὶ διὰ τὸν ὅρκον ἐξέϛη, καὶ παρέδωκε τῇ Πολυκρίτῃ τὸν τόπον, ἐκείνη δὲ [6] τοῖς πολίταις. ἐκ δὲ τύτυ πάλιν εἰς ἴσον καταϛάντες, ἐφ' οἷς ἠβύλοντο, πρὸς τὺς Μιλησίυς διελύθησαν.

ΛΑΜΨΑΚΗ. Ἐκ Φωκαίας, τῦ Κοδριδῶν γένυς, ἦσαν ἀδελφοὶ δίδυμοι Φόβος καὶ Βλέψος· ὧν ὁ Φόβος ἀπὸ τῶν Λευκάδων πετρῶν πρῶτος ἀφῆκεν ἑαυτὸν εἰς θάλασσαν, ὡς Χάρων ὁ Λαμψακηνὸς ἱϛόρηκεν. ἔχων δὲ δύναμιν καὶ βασιλικὸν ἀξίωμα, παρέπλευσεν εἰς Πάριον, ἰδίων ἕνεκα πραγμάτων, καὶ γενόμενος φίλος καὶ ξένος Μάνδρωνι, βασιλεύοντι Βεβρύκων, τῶν Πιτυοεσσηνῶν

1 Turn. & Petav. γενομένη. Undenam autem pendet accusativus hujus constructionis? Ad ἤνεγκε certe minus commode refertur. Excidisse equidem suspicor ἰδῦσα, vel tale quid.

2 abest καὶ a Petav.

3 Turn. & Petav. παρὰ τ. π.

4 Ante h. v. excidisse μὴ vel ὐκ, Xyl. monet.

5 Turn. θεόγνητον. Sic Petav. paulo ante.

6 Turn. & Petav. γὰρ pro δὲ. Iid. mox ἐβύλοντο pro ἠβ.

σηνῶν [1] προσαγορευομένων, ἐβοήθησε καὶ συνεπολέμησεν αὐτοῖς ὑπὸ τῶν προσοίκων ἐνοχλουμένοις. ὁ δὲ Μάνδρων ἄλλην τε πολλὴν ἐνεδείξατο [2] τῷ Φόβῳ φιλοφροσύνην ἀποπλέοντι, καὶ μέρος τῆς τε χώρας καὶ τῆς πόλεως ὑπισχνεῖτο δώσειν, εἰ βούλοιτο Φωκαεῖς ἔχων ἐποίκους εἰς τὴν Πιτυόεσσαν ἀφικέσθαι. πείσας οὖν τοὺς πολίτας ὁ Φόβος [3] ἐξέπεμψε τὸν ἀδελφὸν ἄγοντα τοὺς ἐποίκους. καὶ τὰ μὲν παρὰ τοῦ Μάνδρωνος ὑπῆρχεν αὐτοῖς, ὥσπερ προσεδόκησαν· ὠφελείας δὲ μεγάλας καὶ λάφυρα καὶ λείας ἀπὸ τῶν προσοίκων βαρβάρων λαμβάνοντες, ἐπίφθονοι τοπρῶτον, εἶτα καὶ φοβεροὶ τοῖς Βέβρυξιν ἦσαν. ἐπιθυμοῦντες οὖν αὐτῶν ἀπαλλαγῆναι, τὸν μὲν Μάνδρωνα, χρηστὸν ὄντα καὶ δίκαιον ἄνδρα περὶ τοὺς Ἕλληνας, οὐκ ἔπεισαν, ἀποδημήσαντος δ' ἐκείνου, παρεσκευάζοντο τοὺς Φωκαεῖς δόλῳ διαφθεῖραι. τοῦ δὲ Μάνδρωνος ἡ θυγάτηρ, Λαμψάκη, παρθένος οὖσα, τὴν ἐπιβουλὴν προέγνω, καὶ πρῶτον [4] ἐπεχείρει τοὺς φίλους καὶ οἰκείους ἀποτρέπειν, καὶ διδάσκειν, ὡς ἔργον καὶ δεινὸν καὶ ἀσεβὲς ἐγχειροῦσι πράττειν, εὐεργέτας καὶ συμμάχους ἄνδρας, νῦν δὲ καὶ πολίτας, ἀποκτιννύντες. ὡς δ' οὐκ ἔπειθε, τοῖς Ἕλλησιν ἔφρασε κρύφα τὰ πραττόμενα, καὶ παρεκελεύσατο φυλάττεσθαι. οἱ δὲ, θυσίαν τινὰ παρασκευασάμενοι καὶ θοίνην, ἐξεκαλέσαντο τοὺς Πιτυοεσσηνοὺς εἰς τὸ προάστειον· αὐτοὺς δὲ διελόντες δίχα, τοῖς μὲν τὰ τείχη κατελάβοντο, τοῖς δὲ τοὺς ἀνθρώπους ἀνεῖλον. οὕτω δὴ τὴν πόλιν κατέχοντες [5], τόν τε Μάνδρωνα μετεπέμποντο, συμβασιλεύειν [6] τοῖς παρ' αὐτῶν

1 Pet. Πιτυισσονῶν. Id. cum Turn. ὑπαγορευομένων pro προσαγ.

2 Petav. ἐδείξατο.

3 absunt a Petav. ὁ Φόβος.

4 Post πρῶτον Turn. inserit μὲν. Id. cum Petav. ὥσπερ & ἐπιχειροῦσι pro seq. ὡς & ἐγχειροῦσι.

5 Petav. καταςχόντες. Id. mox μετὰ πέμποντος pro μετεπ.

6 Recepi, quod W. rectius suspicatur, ex E. notatum, & Petavii lectione βασιλεύειν firmatum. Vulgo συμβουλεύειν. Pro seq. αὐτῶν Petav. αὐτόν.

αὐτῶν κελεύοντες· καὶ τὴν Λαμψάκην, ἐξ ἀῤῥωςίας ἀποθανῦσαν, ἔθαψαν ἐν τῇ πόλει μεγαλοπρεπῶς, καὶ τὴν πόλιν ἀπ' αὐτῆς Λάμψακον προσηγόρευσαν. ἐπεὶ δὲ ὁ Μάνδρων, προδοσίας ὑποψίαν φεύγων, τὸ μὲν οἰκεῖν μετ' αὐτῶν παρῃτήσατο, παῖδας δὲ τῶν τεθνηκότων καὶ γυναῖκας ἠξίωσε κομίσασθαι· καὶ ταῦτα προθύμως ἐδὲν ἀδικήσαντες ἐξέπεμψαν, καὶ τῇ Λαμψάκῃ πρότερον ἡρωϊκὰς τιμὰς ἀποδιδόντες, ὕςερον ὡς θεῷ θύειν ἐψηφίσαντο· καὶ διατελῦσιν ἔτω θύοντες.

ΑΡΕΤΑΦΙΛΑ. Ἀρεταφίλα δὲ, ἡ Κυρηναία, παλαιὰ μὲν ἐ γέγονεν, ἀλλ' ἐν τοῖς Μιθριδατικοῖς καιροῖς, ἀρετὴν δὲ [1] καὶ πρᾶξιν ἐνάμιλλον τῇ βελῇ τῶν ἡρωΐδων παρέχεν. ἦν δὲ θυγάτηρ μὲν Αἰγλάτορος, Φαιδίμε δὲ γυνὴ, γνωρίμων ἀνδρῶν· καλὴ δὲ τὴν ὄψιν ἔσα, καὶ τὸ [2] φρονεῖν ἐδόκει περιττή τις εἶναι καὶ πολιτικῆς δεινότητος ἐκ ἄμοιρος. ἐπιφανῆ δ' αὐτὴν αἱ κοιναὶ τύχαι τῆς πατρίδος ἐποίησαν [3]. Νικοκράτης γὰρ, ἐπαναςὰς Κυρηναίοις τύραννος, ἄλλες τε πολλὲς ἐφόνευε τῶν πολιτῶν, καὶ τὸν ἱερέα τῦ Ἀπόλλωνος αὐτόχειρ ἀνελὼν, Μελάνιππον, εἶχε τὴν ἱερωσύνην. ἀνεῖλε δὲ καὶ Φαίδιμον, τὸν τῆς Ἀρεταφίλας ἄνδρα, καὶ τὴν Ἀρεταφίλαν ἔγημεν ἄκεσαν. πρὸς δὲ μυρίοις ἄλλοις παρανομήμασι φύλακας ἐπὶ τῶν πυλῶν κατέςησεν, οἳ τὲς ἐκφερομένες νεκρὲς ἐλυμαίνοντο νύττοντες ξιφιδίοις, καὶ καυτήρια προσβάλλοντες [4], ὑπὲρ τῦ μηδένα τῶν πολιτῶν ὡς νεκρὸν λαθεῖν ἐκκομιζόμενον. δύσφορα μὲν ἔν καὶ τῇ Ἀρεταφίλᾳ τὰ οἰκεῖα κακὰ, καίπερ ἐνδιδόντος αὐτῇ δι' ἔρωτα τῦ τυράννε πλεῖςον ἀπολαύειν



1 In suppl. Var. Lect. Frft. suspicatur collector, pro δὲ legendum esse τε.

2 Hoc τὸ W. ex consuetudine Plutarchi aut delendum censet, aut in τῷ mutandum.

3 Petav. ἐποιήσαντο. Idem voluisse videtur Turn. vitiose exhibens ἐπρήσαντο.

4 Turn. & Petav. προβάλλοντες.

τῆς δυνάμεως· (ἥττητο γὰρ ἐκείνης, καὶ μόνη χειροήθη παρεῖχεν αὐτὸν, ἄτεγκτος ὢν τἄλλα καὶ θηριώδης·) ἠνία δὲ μᾶλλον αὐτὴν ἡ πατρὶς οἰκτρὰ πάχουσα παρ' αξίαν. ἄλλος γὰρ ἐπ' ἄλλῳ τῶν πολιτῶν ἐσφάττετο, τιμωρία δ' ἀπ' οὐδενὸς ἠλπίζετο. καὶ γὰρ οἱ φυγάδες, ἀσθενεῖς παντάπασιν ὄντες καὶ περίφοβοι, διεσπάρησαν. αὐτὴν οὖν ἡ Ἀρεταφίλα ὑποθεῖσα μόνην τοῖς κοινοῖς ἐλπίδα, καὶ τὰ Θήβης ζηλώσασα, τῆς Φεραίας, καλὰ καὶ περιβόητα τολμήματα, συμμάχων δὲ πιστῶν καὶ οἰκείων, οἵους ἐκείνη τὰ πράγματα παρέσχεν, ἔρημος οὖσα, φαρμάκοις ἐπεχείρησε διεργάσασθαι τὸν ἄνδρα. παρασκευαζομένη δὲ καὶ πορίζουσα, καὶ διαπειρωμένη πολλῶν δυνάμεων, οὐκ ἔλαθεν, ἀλλ' ἐμηνύθη. καὶ γενομένων [1] ἐλέγχων, Καλβία μὲν, ἡ τοῦ Νικοκράτους μήτηρ, φύσει φονικὴ [2] γυνὴ καὶ ἀπαραίτητος, εὐθὺς ᾤετο δεῖν ἀναιρεῖν αἰκισαμένην τὴν Ἀρεταφίλαν· τοῦ δὲ Νικοκράτους [3] μέλλησιν ἐνεποίει τῇ ὀργῇ καὶ ἀσθένειαν ὁ ἔρως, καὶ τὸ τὴν Ἀρεταφίλαν ἐῤῥωμένως ὁμόσε χωρεῖν ταῖς κατηγορίαις ἀμύνουσαν ἑαυτῇ, πρόφασίν τινα τῷ πάθει παρεῖχεν. ἐπεὶ δὲ κατελαμβάνετο τοῖς ἐλέγχοις, καὶ τὴν παρασκευὴν τῆς φαρμακείας [4] ἑώρα μὴ δεχομένην ἄρνησιν, ὡμολόγει, παρεσκευάσθαι [5] δ' οὐκ ὀλέθριον φαρμακείαν· Ἀλλ' ὑπὲρ [6] μεγάλων (εἶπεν) ὦ ἄνερ, ἀγωνίζομαι τῆς σῆς εὐνοίας [7] πρὸς ἐμὲ καὶ δόξης, καὶ δυνάμεως, ἣν διά σε καρποῦμαι, πολλαῖς ἐπίφθονος οὖσα κακαῖς γυναιξὶν, ὧν φάρμακα δεδοικυῖα καὶ μηχανὰς, ἐπει-

1 Petav. γινομένων, & mox Νεικοκράτει.
2 Turn. & Petav. φονικὴ.
3 Ald. & Baf. τοῦ δὲ Τιμοκράτους.
4 Petav. φαρμακίας, & mox φαρμακίαν.
5 Turn. & Petav. παρασκευάσασθαι.
6 Turn. & Petav. εἴπερ pro ὑπὲρ.
7 Huc reponendum fuit εὐνοίας, quod vulgo legitur post καρποῦμαι, Petav. auctoritate. Idem a W. est obſervatum, adſentientibus E. Venet. Jun. Mez.

ἐπείσθην ἀντιμηχανήσασθαι, μωρὰ μὲν ἴσως καὶ γυναικεῖα, θανάτου δ' οὐκ ἄξια· πλὴν εἰ [1] κριτῇ σοι δόξειε φίλτρων ἕνεκα καὶ γοητείας κτεῖναι γυναῖκα, πλεῖον, ἢ σὺ βούλει, φιλεῖσθαι δεομένην. Τοιαῦτα τὴν Ἀρεταφίλαν ἀπολογουμένην ἔδοξε τῷ Νικοκράτει βασανίσαι· καὶ τῆς Καλβίας ἐφεστώσης [2] ἀτέγκτου καὶ ἀπαραιτήτου, ταῖς βασάνοις ἀνέκρινε· καὶ διεφύλαττεν αὐτὴν ἀήττητον ἐν ταῖς ἀνάγκαις, ἄχρι καὶ τὴν Καλβίαν ἀποκαμεῖν ἄκουσαν. ὁ δὲ Νικοκράτης ἀφῆκε πεισθείς, καὶ μετενόει βασανίσας· καὶ χρόνον οὐ πολὺν διαλιπών, αὖθις ἧκεν ὑπὸ τοῦ πάθους εἰς αὐτὴν φερόμενος, καὶ συνῆν αὖθις, ἀναλαμβάνων τιμαῖς καὶ φιλοφροσύναις τὴν εὔνοιαν. ἡ δ' οὐκ ἔμελλε χάριτος ἡττᾶσθαι, κρατήσασα βασάνων καὶ πόνων, ἀλλὰ τῷ φιλοκάλῳ φιλονεικίας προσγενομένης, ἑτέρας ἥπτετο μηχανῆς· ἦν γὰρ αὐτῇ θυγάτηρ ἀνδρὸς ὥραν ἔχουσα, καὶ τὴν ὄψιν ἱκανή· ταύτην ὑφῆκε τἀδελφῷ τοῦ τυράννου δέλεαρ, ὄντι μειρακίῳ πρὸς ἡδονὰς εὐαλώτῳ. πολὺς δὲ λόγος ἐστί, χρησαμένην γοητείᾳ καὶ φαρμάκοις ἐπὶ τῇ κόρῃ τὴν Ἀρεταφίλαν, χειρώσασθαι καὶ διαφθεῖραι τοῦ νεανίσκου τὸν λογισμόν· ἐκαλεῖτο δὲ Λέανδρος. ἐπεὶ δὲ ἡλώκει καὶ λιπαρήσας τὸν ἀδελφόν, ἔτυχε τοῦ γάμου, τὰ μὲν ἡ κόρη παρῆγεν αὐτὸν ὑπὸ τῆς μητρὸς διδασκομένη, καὶ ἀνέπειθεν ἐλευθεροῦν τὴν πόλιν, ὡς μηδ' αὐτὸν ἐλεύθερον ἐν τυραννίδι ζῶντα, μηδὲ τοῦ λαβεῖν γάμον, ἢ φυλάξαι κύριαν ὄντα, τὰ δὲ οἱ φίλοι τῇ Ἀρεταφίλᾳ χαριζόμενοι, διαβολάς τινας ἀεὶ καὶ ὑπονοίας κατεσκεύαζον [3] αὐτῷ πρὸς τὸν ἀδελφόν. ὡς δ' ᾔσθετο καὶ τὴν Ἀρεταφίλαν τὰ αὐτὰ βουλευομένην



1 Restituendam duxi ex Ald. Bas. Steph. Petav. particulam εἰ pro ἢ, quod est in Frft. & R. cum dici soleat aut πλὴν εἰ aut πλὴν ἀλλ' ἢ, nisi, non πλὴν ἢ, quantum equidem noverim vel meminerim.

2 Turn. & Petav. ἀφεστώσης.

3 Turn. & Petav. κατασκευάζων.

νην καὶ σπουδάζουσαν, ἐπεχείρει τὸ ἔργον [1], καὶ Δάφνιν οἰκέτην παρορμήσας, ἀπέκτεινε δι᾽ ἐκείνου τὸν Νικοκράτην. τὰ λοιπὰ δ᾽ οὐκ ἔτι τῇ Ἀρεταφίλᾳ προσεῖχεν, ἀλλ᾽ εὐθὺς ἔδειξε τοῖς ἔργοις ἀδελφοκτόνος, οὐ [2] τυραννοκτόνος γεγονώς. ἦρχε γὰρ ἐμπλήκτως καὶ ἀνοήτως, τιμὴ δέ τις ὅμως ἦν τῆς Ἀρεταφίλας παρ᾽ αὐτῷ καὶ δύναμις, οὐκ ἀπεχθανομένης, οὐδὲ πολεμούσης ἄντικρυς, ἀλλ᾽ ἀδήλως διαταττούσης τὰ πράγματα. πρῶτον μὲν γὰρ αὐτῷ Λιβυκὸν ὑπεκίνησε πόλεμον, Ἀνάβουν τινὰ πείσασα δυνάστην τὴν χώραν ἐπιδραμεῖν, καὶ τῇ πόλει προσαγαγεῖν, ἔπειτα διέβαλε τοὺς φίλους καὶ τοὺς στρατηγοὺς πρὸς τὸν Λέανδρον, ὡς πολεμεῖν οὐκ ὄντας προθύμους, εἰρήνης δὲ μᾶλλον δεομένους καὶ ἡσυχίας· ἣν καὶ τὰ πράγματα ποθεῖν αὐτοῦ καὶ τὴν τυραννίδα, βουλομένου βεβαίως κρατεῖν τῶν πολιτῶν· αὐτὴ δὲ [3] πράξειν ἔφη τὰς διαλύσεις, καὶ τὸν Ἀνάβουν εἰς λόγους αὐτῷ συνάξειν, ἐὰν κελεύῃ, πρὶν ἀνήκεστόν τι τὸν πόλεμον ἐξεργάσασθαι. κελεύσαντος δὲ τοῦ Λεάνδρου, πρότερον αὐτὴ [4] τῷ Λίβυϊ διελέχθη, συλλαβεῖν δεομένη τὸν τύραννον ἐπὶ δωρεαῖς μεγάλαις καὶ χρήμασιν, ὅταν εἰς λόγους αὐτῷ παραγένηται. πεισθέντος δὲ τοῦ Λίβυος, ὤκνει μὲν ὁ Λέανδρος, αἰδεσθεὶς δὲ τὴν Ἀρεταφίλαν, αὐτὴν παρέσεσθαι φάσκουσαν, ἐξῆλθεν ἄνοπλος καὶ ἀφύλακτος. ὡς δ᾽ ἐγγὺς ἦλθε, καὶ τὸν Ἀνάβουν εἶδεν, αὖθις ἐδυσχέραινε, καὶ περιμένειν ἐβούλετο τοὺς δορυφόρους. ἡ δ᾽ Ἀρεταφίλα παροῦσα, τὰ μὲν ἐθάῤῥυνεν αὐτὸν, τὰ δ᾽ ἐκάκιζε. τέλος δὲ γενομένης διατριβῆς, ἐφελκυσαμένη τῆς χειρὸς ἰτα-

1 Turn. τῷ ἔργῳ. Pro ſeq. Δάφνιν Petav. Δάφνην; & pro οἰκέτην Ald. & Baſ. ἱκέτην. (Sic eſt in ind. Var. & not. R. At meum Baſil. exemplar habet οἰκέτην.)

2 Reſtitui partic. negantem οὐ e Baſ. Petav. cod. & Xyl. verſione firmatam pro vulg. ὁ τυραννο. Idem dediſſe ſe monet W. e Xyl. Amiot. & Mez.

3 Petav. αὐτῇ τι.

4 Petav. αὐτῇ, & mox πειθέντα pro πειθέντος.

ἰταμῶς πάνυ καὶ τεθαῤῥηκότως προσήγαγε τῷ βαρβάρῳ καὶ παρέδωκεν. εὐθὺς ἦν ἀνήρπαςο καὶ συνείληπῖο, καὶ δεθεὶς ὑπὸ τῶν Λιβύων ἐτηρεῖτο, ἄχρις οὗ τὰ χρήματα τῇ Ἀρεταφίλᾳ κομίζοντες οἱ φίλοι παρεγένοντο μετὰ τῶν ἄλλων πολιτῶν. πυθόμενοι γὰρ οἱ πλεῖςοι ἐξέδραμον ἐπὶ τὴν παράκλησιν [1]. ὡς δ' εἶδον τὴν Ἀρεταφίλαν, ὀλίγου ἐδέησαν ἐκλαθέσθαι τῆς πρὸς τὸν τύραννον ὀργῆς, καὶ πάρεργον τὴν ἐκείνου τιμωρίαν ἐνόμιζον· ἔργον δὲ πρῶτον ἦν αὐτοῖς καὶ ἀπόλαυσμα τῆς ἐλευθερίας, ἐκείνην ἀσπάσασθαι μετὰ χαρᾶς καὶ δακρύων, ὥσπερ ἀγάλματι θεοῦ προσπίπῖοντας. ἄλλων δ' ἐπ' ἄλλοις ἐπιῤῥεόντων, μόλις ἑσπέρας τὸν Λέανδρον παραλαβόντες, ἐπανῆλθον [2] εἰς τὴν πόλιν. ἐπεὶ δὲ τῶν τιμῶν τῆς Ἀρεταφίλας καὶ τῶν ἐπαίνων ἐνεπλήσθησαν, οὕτω τραπόμενοι πρὸς τοὺς τυράννους, τὴν μὲν Καλβίαν ζῶσαν κατέκαυσαν [3], τὸν δὲ Λέανδρον ἐνράψαντες εἰς βύρσαν, κατεπόντισαν. ἠξίουν δὲ τὴν Ἀρεταφίλαν συνάρχειν καὶ συνδιοικεῖν τοῖς ἀρίςοις ἀνδράσι τὴν πολιτείαν. ἡ δὲ, ὡς ποικίλον τι δρᾶμα [4] καὶ πολυμερὲς ἀγωνισαμένη μέχρι ςεφάνου διαδόσεως, ὡς ἐπεῖδε τὴν πόλιν ἐλευθέραν, εὐθὺς εἰς τὴν γυναικωνῖτιν ἐνεδύετο, καὶ τοῦ πολυπραγμονεῖν ὁτιοῦν παραβαλλομένη [5], τὸν λοι-



1 Xyl. vertit *ad locum colloquio destinatum.* Cum παράκλησις hunc sensum non habeat, susp. Kaltw. aut παρεμβολὴν, scil. *castra Anabi*, aut παράληψιν, ad *tyrannum e manibus Anabi recipiendum.*

2 Frft. vitiose ἐπανῆλθεν. Hinc e Petav. enotatur ἐπανῆλθον in ind. Var.

3 Turn. & Petav. ἀπέκαυσαν.

4 Petav. πολιτείαν ὡς ποικίλων τιμῶν.

5 Neque hanc lectionem, neque περιβαλλομένη, quod est in E. Turn. Petav. & Xyl. MS. probat W. Mavult προβαλλομένη, *repudians.* Meo quidem sensu vulgata non adeo abhorret a loco, si, quod Hesych. & Suid. testantur, παραβάλλεσθαι respondet τῷ ἀναπαύεσθαι, ἀπαλλάτῖεσθαι, translatione ducta a remigibus.

λοιπὸν χρόνον ἐν ἴσοις ἡσυχίαν ἄγουσα μετὰ τῶν φίλων καὶ οἰκείων διετέλεσεν.

ΚΑΜΜΑ. Ἦσαν ἐν Γαλατίᾳ δυνατώτατοι τῶν τετραρχῶν, καί τι καὶ [1] κατὰ γένος προσήκοντες ἀλλήλοις, Σινάτος τε καὶ Συνόριξ. ὧν ὁ Σινάτος γυναῖκα παρθένον ἔσχε, Καμμίαν ὄνομα, περίβλεπτον μὲν ἰδέᾳ σώματος καὶ ὥρᾳ, θαυμαζομένην δὲ μᾶλλον δι' ἀρετήν. οὐ γὰρ μόνον σώφρων καὶ φίλανδρος, ἀλλὰ καὶ συνετὴ καὶ μεγαλόφρων, καὶ ποθεινὴ τοῖς ὑπηκόοις ἦν διαφερόντως ὑπ' εὐμενείας [2] καὶ χρηστότητος· ἐπιφανεστέραν δ' αὐτὴν ἐποίει καὶ τὸ τῆς Ἀρτέμιδος ἱέρειαν εἶναι, ἣν μάλιστα Γαλάται σέβουσι, περί τε πομπὰς ἀεὶ καὶ θυσίας κεκοσμημένην ὁρᾶσθαι μεγαλοπρεπῶς. ἐρασθεὶς οὖν αὐτῆς ὁ Συνόριξ, καὶ μήτε πεῖσαι [3], μήτε βιάζεσθαι, ζῶντος τοῦ ἀνδρὸς, δυνατὸς ὢν, ἔργον εἰργάσατο δεινόν. ἀπέκτεινε γὰρ [4] δόλῳ τὸν Σινάτον, καὶ χρόνον οὐ πολὺν διαλιπὼν, ἐμνᾶτο τὴν Κάμμαν ἐν τῷ ἱερῷ ποιουμένην διατριβὰς, καὶ φέρουσαν οὐκ οἰκτρῶς καὶ ταπεινῶς, ἀλλὰ θυμῷ νοῦν ἔχοντι καὶ καιρὸν περιμένοντι, τὴν τοῦ Συνόριγος παρανομίαν. ὁ δὲ λιπαρὴς ἦν περὶ τὰς δεήσεις, καὶ λόγων ἐδόκει μὴ παντάπασιν ἀπορεῖν εὐπρέπειαν ἐχόντων, ὡς τὰ μὲν ἄλλα Σινάτου βελτίονα παρεσχηκὼς ἑαυτὸν, ἀνελὼν δ' ἐκεῖνον ἔρωτι τῆς Κάμμας, μὴ δι' ἑτέραν τινὰ πονηρίαν. ἦσαν οὖν τοπρῶτον ἀρνήσεις οὐκ ἄγαν ἀπηνεῖς τῆς γυναικὸς, εἶτα κατὰ [5] μικρὸν ἐδόκει μαλάσσεσθαι. καὶ γὰρ οἰκεῖοι καὶ φίλοι προσέκειντο θεραπείᾳ καὶ χάριτι τοῦ Συνόριγος μέγιστον δυναμένου [6], πεί-

[1] Sic corrigi voluit W. vulgatam καίτοι καὶ, & dedi — *& aliquantum.*

[2] Petav. ὑπ' εὐγενείας. Omittit idem τὸ ante τῆς Ἀ.

[3] Turn. & Petav. πείσας.

[4] abest γὰρ a Petav. Idem mox διαλυπὼν; θημὸν pro θυμῷ; Σιβάτου pro Σινάτου.

[5] Turn. μετά.

[6] Petav. δυνάμενοι; & porro πείθοντες αὐτὴν καὶ βιαζόμενοι.

πείθοντες αὐτὴν καὶ καταβιαζόμενοι, τέλος δὲ συνεχώρει, καὶ μετεπέμπετο πρὸς ἑαυτὴν ἐκεῖνον, ὡς παρὰ τῇ θεῷ [1] τῆς συναινέσεως καὶ καταπιςώσεως [2] γενησομένης. ἐλθόντα δὲ δεξαμένη φιλοφρόνως, καὶ προσαγαγοῦσα τῷ βωμῷ, κατέσπεισεν ἐκ φιάλης, καὶ τὸ μὲν ἐξέπιεν αὐτὴ, τὸ δ' ἐκεῖνον ἐκέλευσεν· (ἦν δὲ πεφαρμαγμένον μελίκρατον) ὡς δ' εἶδε πεπωκότα, λαμπρὸν ἀνωλόλυξε, καὶ τὴν θεὸν προσκυνήσασα· Μαρτύρομαί σε, (εἶπεν) ὦ πολυτίμητε δαῖμον, ὅτι ταύτης ἕνεκα τῆς ἡμέρας ἐπέζησα τῷ Σινάτου φόνῳ, χρόνον τοσοῦτον οὐδὲν ἀπολαβοῦσα [3] τοῦ βίου χρηςὸν, ἀλλὰ τὴν ἐλπίδα τῆς δίκης, ἣν ἔχουσα καταβαίνω πρὸς τὸν ἐμὸν ἄνδρα. σοὶ δὲ, ὦ πάντων ἀνοσιώτατε ἀνθρώπων, τάφον ἀντὶ θαλάμου καὶ γάμου παρασκευαζέτωσαν οἱ προσήκοντες. ταῦτα δ' ἀκούσας ὁ Γαλάτης, καὶ τοῦ φαρμάκου δρῶντος ἤδη καὶ διακινοῦντος τὸ σῶμα συναισθόμενος, ἐπέβη μὲν ὀχήματος, ὡς σάλῳ καὶ τιναγμῷ χρησόμενος, ἐξέςη δὲ [4] παραχρῆμα, καὶ μεταβὰς εἰς φορεῖον, ἑσπέρας ἀπέθανεν. ἡ δὲ Κάμμα διενεγκοῦσα τὴν νύκτα, καὶ πυθομένη, τέλος ἔχειν ἐκεῖνον, εὐθύμως καὶ ἱλαρῶς κατέςρεψεν.

ΣΤΡΑΤΟΝΙΚΗ. Παρέσχε δὲ ἡ Γαλατία καὶ Στρατονίκην, τὴν Δηϊοτάρου, καὶ Χιομάραν, τὴν Ὀρτιάγοντος [5], ἀξίας μνήμης γυναῖκας· ἡ μὲν οὖν Στρατονίκη δεόμενον γνησίων παίδων ἐπὶ διαδοχῇ τῆς βασιλείας ἐπισαμένη τὸν ἄνδρα, μὴ τίκτουσα δ' αὐτὴ συνέπεισεν



1 Vulgo παρὰ τῷ θεῷ. Correxi, Xylandro duce, cum infra clare in omnibus edd. exhibeatur τὴν θεόν. W. sic corrigendum esse suspicatur; retinet autem τῷ θεῷ. Petav. περὶ τῷ θ.

2 Turn. prave ταπεινώσεως; item Petav. καταπινώσεως; nec non deinde κατέπασεν pro κατέσπ.; λαμπρᾶν pro λαμπρὸν; φόνον pro φόνῳ.

3 W. mavult ἀπολαύουσα.

4 abest δὲ a Frft. & R. Restitui.

5 Turn. & Petav. Ἀρτιάγοντος; & statim ἀξίωμα pro ἀξίας.

σαν ἐξ ἑτέρας γυναικὸς παιδοποιησάμενον αὐτῇ τὸ παιδίον περιϊδεῖν ὑποβαλλόμενον. τοῦ δὲ Δηϊοτάρου τήν τε γνώμην θαυμάσαντος, καὶ πᾶν ἐπ' αὐτῇ [1] ποιησαμένου, παρθένον εὐπρεπῆ παρασκευάσασα τῶν αἰχμαλώτων, ὄνομα Ἠλέκτραν, συνεῖρξε τῷ Δηϊοτάρῳ, καὶ τοὺς γενομένους παῖδας, ὥσπερ γνησίους αὐτῆς, ἔθρεψε φιλοστόργως καὶ μεγαλοπρεπῶς.

ΧΙΟΜΑΡΑ. Χιομάραν [2] δὲ συνέβη τὴν Ὀρτιάγοντος αἰχμάλωτον γενέσθαι μετὰ τῶν ἄλλων γυναικῶν, ὅτε Ῥωμαῖοι καὶ Γναῖος [3] ἐνίκησαν μάχῃ τοὺς ἐν Ἀσίᾳ Γαλάτας. ὁ δὲ λαβὼν αὐτὴν ταξίαρχος ἐχρήσατο τῇ τύχῃ στρατιωτικῶς καὶ κατῄσχυνεν· ἦν δ' ἄρα καὶ πρὸς ἡδονὴν καὶ ἀργύριον ἀμαθὴς καὶ ἀκρατὴς ἄνθρωπος· ἡττήθη δὲ ὅμως ὑπὸ τῆς φιλαργυρίας, καὶ χρυσίου συχνοῦ διομολογηθέντος ὑπὲρ τῆς γυναικὸς, ἦγεν αὐτὴν ἀπολυτρώσων, ποταμοῦ τινος ἐν μέσῳ διείργοντος. ὡς δὲ διαβάντες οἱ Γαλάται τὸ χρυσίον ἔδωκαν αὐτῷ καὶ παρελάμβανον τὴν Χιομάραν, ἡ μὲν ἀπὸ νεύματος προσέταξεν ἑνὶ παῖσαι τὸν Ῥωμαῖον ἀσπαζόμενον αὐτὴν καὶ φιλοφρονούμενον, ἐκείνου δὲ πεισθέντος καὶ τὴν κεφαλὴν ἀποκόψαντος, ἀραμένη καὶ περιστείλασα τοῖς κόλποις ἀπήλαυνεν. ὡς δ' ἦλθε πρὸς τὸν ἄνδρα, καὶ τὴν κεφαλὴν αὐτῷ προὔβαλεν, ἐκείνου θαυμάσαντος, καὶ εἰπόντος· Ὦ γύναι, καλὸν ἡ πίστις· Ναὶ, (εἶπεν) ἀλλὰ κάλλιον ἕνα μόνον ζῆν ἐμοὶ συγγεγενημένον. ταύτῃ [4] μὲν ὁ Πολύβιός φησι διὰ λόγων ἐν Σάρδεσι γενόμενος θαυμάσαι τό τε φρόνημα καὶ τὴν σύνεσιν.

ΓΥ-

1 Turn. & Petav. ἐπ' αὐτήν.

2 Petav. Χιμάραν.

3 Sic e Baf. reponendum fuit pro vulg. Γναῖοι. Exprimit idem Xyl. & dedit W. adfentiente E.

4 Dedi fic cum W. ex E. & Xyl. In Ald. & Baf. eft quoque ταύτη, absque jota fubfcr. Vulgo ταύτην.

ΓΥΝΑΙΟΝ ΠΕΡΓΑΜΗΝΟΝ [1]. Ἐπεὶ δὲ Μιθριδάτης ἑξήκοντα Γαλατῶν τοὺς ἀρίστους μεταπεμψάμενος εἰς Πέργαμον ὡς φίλους, ὑβριστικῶς ἐδόκει καὶ δεσποτικῶς προσφέρεσθαι, καὶ πάντες ἠγανάκτουν, Τορηδόραξ [2], ἀνὴρ τό τε σῶμα ῥωμαλέος καὶ τὴν ψυχὴν διαφέρων, (ἦν δὲ Τοσιωπῶν [3] τετράρχης) ἀνεδέξατο τὸν Μιθριδάτην, ὅταν ἐν τῷ βήματι γυμνασίῳ [4] χρηματίζῃ συναρπάσας, ὤσειν ἅμα σὺν αὐτῷ κατὰ τῆς φάραγγος. τύχῃ δέ τινι τῆς ἡμέρας ἐκείνης οὐκ ἀναβάντος εἰς τὸ γυμνάσιον αὐτοῦ, μεταπεμπομένου δὲ τοὺς Γαλάτας οἴκαδε, θαῤῥεῖν παρεκάλει, καὶ ὅταν ἐν ταυτῷ γένωνται, διασπάσαι τὸ σῶμα καὶ διαφθεῖραι πανταχόθεν προσπεσόντας. τοῦτο οὐκ ἔλαθε τὸν Μιθριδάτην, ἀλλὰ μηνύσεως γενομένης, καθ' ἕνα τῶν Γαλατῶν παρεδίδου σφαγησόμενον. εἶτά πως ἀναμνησθεὶς νεανίσκου πολὺ προέχοντος [5] (πρωτεύσαντος) ὥρᾳ καὶ κάλλει τῶν καθ' αὐτὸν, ᾤκτειρε καὶ μετενόει· καὶ δῆλος ἦν ἀχθόμενος, ὡς ἐν πρώτοις ἀπολωλότος, ὅμως δ' ἔπεμψεν, εἰ ζῶν εὑρεθείη, μεθεῖναι κελεύων· (ἦν δ' ὄνομα τῷ νεανίσκῳ Βηπολιτανὸς) Καί τις αὐτῷ τύχη θαυμαστὴ συνέπεσε. καλὴν γὰρ ἐσθῆτα καὶ πολυτελῆ συνελήφθη φορῶν. ἣν ὁ δήμιος ἀναίμακτον αὐτῷ [6] καὶ καθαρὰν διαφυλάξαι βουλό-

1 Inſcriptio haec vulgo deeſt, a Xyl. e ſcripto, quo infra ante verba γύναιον δὲ datur, huc repoſita. Dedi eam cum W.

2 W. ad hoc nomen ita: „Varie ſcribitur. E. Πυρηδόναξ; Baſ. Xyl Jun. Πορηδόριξ; P. Πορήδοραξ." Equidem in Baſ. lego Τορηδόριξ; & e Pet. notatum Πορηδόραξ.

3 W. ſuſp. Τολιστοβώγων. Petav. mox τετάρχης, uti paulo ante ῥωμαλέως.

4 Haud dubium eſt, quin rectius ſit, quod W. legendum cenſet: ἐν τῷ γυμνασίῳ χρ. σ. ὤσειν σὺν αὐτῷ τῷ βήματι κατὰ τῆς Φ.

5 Turn. & Petav. προσέχοντος. Seq. πρωτεύσαντος uncis incluſi, ut delendum, bene monente W. Mox Turn. εὑρεθαίη (ſic Ald. quoque & Baſ.) pro εὑρεθείη.

6 Petav. αὐτῷ. (Sic Ald. quoque & Baſ.) Idem ἀνίμακτον.

βυλόμενος, καὶ ἀποδύων ἀτρέμα τὸν νεανίσκον, εἶδε τὺς παρὰ τῦ βασιλέως προσθέοντας ἅμα, καὶ τὔνομα τῦ μειρακίυ βοῶντας. τὸν μὲν ὖν Βηπολιτανὸν ἡ πολλὰς ἀπολέσασα φιλαργυρία διέσωσεν ἀπροσδοκήτως. ὁ δὲ Τορηδόραξ κατακοπεὶς ἄταφος ἐξεβέβλητο, καὶ τῶν φίλων ὐδεὶς ἐτόλμησε προσελθεῖν. γύναιον δὲ Περγαμηνὸν ἐγνωσμένον ἀφ' ὥρας ζῶντι τῷ Γαλάτη παρεκινδύνευσε θάψαι καὶ περιστεῖλαι τὸν νεκρόν. ἤσθοντο δὲ οἱ [1] φύλακες, καὶ συλλαβόντες ἀνήγαγον [2] πρὸς τὸν βασιλέα. λέγεται μὲν ὖν τι καὶ πρὸς τὴν ὄψιν αὐτῆς [3] παθεῖν ὁ Μιθριδάτης, νέας παντάπασι καὶ ἀκάκυ τῆς παιδίσκης φανείσης, ἔτι δὲ μᾶλλον, ὡς ἔοικε, τὴν αἰτίαν γνὺς ἐρωτικὴν ὖσαν ἐπεκλάσθη καὶ συνεχώρησεν ἀνελέσθαι καὶ θάψαι τὸν νεκρὸν ἐσθῆτα καὶ κόσμον ἐκ τῶν ἐκείνυ λαβῦσαν.

ΤΙΜΟΚΛΕΙΑ. Θεαγένης [4] ὁ Θηβαῖος, Ἐπαμινώνδᾳ καὶ Πελοπίδᾳ καὶ τοῖς ἀρίστοις ἀνδράσι τὴν αὐτὴν ὑπὲρ τῆς πόλεως λαβὼν διάνοιαν, ἔπταισε περὶ τὴν κοινὴν τύχην τῆς Ἑλλάδος ἐν Χαιρωνείᾳ κρατῶν ἤδη καὶ διώκων τὺς κατ' αὐτὸν ἀντιτεταγμένυς. ἐκεῖνος γὰρ ἦν ὁ πρὸς τὸν ἐμβοήσαντα· Μέχρι πῦ διώκεις; ἀποκρινάμενος· Μέχρι Μακεδονίας. ἀποθανόντι δ' αὐτῷ περιῆν ἀδελφὴ, μαρτυρῦσα, κἀκεῖνον ἀρετῇ γένυς καὶ φύσει μέγαν ἄνδρα καὶ λαμπρὸν γενέσθαι· πλὴν ταύτῃ γε καὶ χρηστὸν ἀπολαῦσαί τι τῆς ἀρετῆς ὑπῆρξεν, ὥστε κυφότερον, ὅσον [5] τῶν κοινῶν ἀτυχημάτων εἰς αὐτὴν

1 a Petav. absunt παρεκινδύνευσε — δὲ οἱ.

2 Dedi sic ex Ald. Baf. Steph. pro ἐνήγαγον, quod est in Frft. & R. & a W. retinetur.

3 Dedi αὐτῆς ex Ald. Baf. Steph. & cod. innominato Var. Lect. Frft. pro αὐτῆς, quod est in Frft. & R. Mox Petav. θάψας pro θάψαι.

4 Petav. Οἰαγένης. Petav. porro Ἐπαμεινώνδᾳ, & ita fere semper; item ἔστεισε pro ἔπταισε.

5 Petav. ἄσων.

τὴν ἦλθεν, ἐνεγκεῖν. ἐπεὶ γὰρ ἐκράτησε Θηβαίων Ἀλέξανδρος, ἄλλοι δ' ἄλλα τῆς πόλεως ἐπόρθεν [1] ἐπιόντες, ἔτυχε τῆς Τιμοκλείας τὴν οἰκίαν καταλαβὼν ἄνθρωπος οὐκ ἐπιεικὴς, οὐδὲ ἥμερος, ἀλλ' ὑβριστὴς καὶ ἀνόητος· ἦρχε δὲ Θρᾳκίου τινὸς ἴλης [2], καὶ ὁμώνυμος ἦν τοῦ βασιλέως, οὐδὲν δὲ ὅμοιος. οὔτε γὰρ τὸ γένος, οὔτε τὸν βίον αἰδεσθεὶς τῆς γυναικὸς, ὡς ἐνέπλησεν ἑαυτὸν οἴνου, μετὰ δεῖπνον ἐκάλει συναναπαυσομένην. καὶ τοῦτο [3] πέρας οὐκ ἦν. ἀλλὰ καὶ χρυσὸν ἐζήτει καὶ ἄργυρον, εἴ τις εἴη κεκρυμμένος ὑπ' αὐτῆς, τὰ μὲν ὡς ἀπειλῶν [4], τὰ δὲ, ὡς ἕξων διὰ παντὸς ἐν τάξει γυναικός. ἡ δὲ δεξαμένη λαβὴν αὐτοῦ διδόντος· Ὤφελον μὲν (εἶπε) τεθνᾶναι πρὸ ταύτης ἐγὼ τῆς νυκτὸς, ἢ ζῆν, τὸ γοῦν σῶμα, πάντων ἀπολλυμένων [5], ἀπείρατον ὕβρεως διέφύλαξα [6]. πεπραγμένων δὲ οὕτως, εἴ σε κηδεμόνα καὶ δεσπότην καὶ ἄνδρα δεῖ νομίζειν, τοῦ δαίμονος διδόντος, οὐκ ἀποστερήσω σε τῶν σῶν. ἐμαυτὴν γὰρ ὅ τι βουλήσῃ [7] ὁρῶ γεγενημένην. ἐμοὶ περὶ σῶμα κόσμος ἦν, καὶ ἄργυρος ἐν ἐκπώμασιν, ἦν τι καὶ χρυσοῦ καὶ νομίσματος. ὡς δὲ ἡ πόλις ἡλίσκετο, πάντα συλλαβεῖν κελεύσασα τὰς θεραπαινίδας ἔῤῥιψα, μᾶλλον δὲ κατεθέμην εἰς φρέαρ ὕδωρ οὐκ ἔχον. οὐδ' ἴσασιν αὐτὸ πολλοί· πῶμα γὰρ ἔπεστι, καὶ κύκλῳ περιπέφυκεν ὕλη σύσκιος. ταῦτα σὺ μὲν εὐτυχοίης λαβὼν, ἐμοὶ δ' ἔσται πρός σε μαρτύρια καὶ

1 Post ἐπόρθουν Turn. inserit ὡς.

2 Dedi sic cum W. ex Mez. & Xyl. Vulgo εἴλης. Mox Petav. ἐδεσθεὶς pro αἰδ.

3 Dandum sic censui pro vulg. τοῦτο. Habet idem Mez. & probat W. Porro Petav. κεκριμμένος pro κεκρυμμ.

4 Sic Xyl. legi voluit, & e suo cod. notavit, dedique cum W. e Turn. E. Mez. Vulgo ἀπολῶν.

5 abest ἀπολλυμένων a Petav.

6 Dedi sic e Turn. quod & W. inde recepit, adsentientibus Pol. Leonic. Schott. pro vulg. διαφυλάξαι. Mez. conjecit διαφυλάξασα.

7 Petav. βουλήσαι. Mez. βούλῃ σύ.

καὶ γνωρίσματα τῆς περὶ τὸν οἶκον εὐτυχίας καὶ λαμπρότητος. ἀκούσας οὖν ὁ Μακεδὼν, οὐ περιέμεινε τὴν ἡμέραν, ἀλλ᾽ εὐθὺς ἐβάδιζεν ἐπὶ τὸν τόπον, ἡγουμένης Τιμοκλείας· καὶ τὸν κῆπον ἀποκλεῖσαι κελεύσας, ὅπως αἴσθοιτο μηδεὶς, κατέβαινεν ἐν τῷ χιτῶνι. συνεργὸς δὲ [1] ἡγεῖτο Κλωθὼ τιμωρὸς ὑπὸ τῆς Τιμοκλείας ἐφεστώσης [2] ἄνωθεν. ὡς δ᾽ ᾔσθετο τῇ φωνῇ κάτω γεγονότος, πολλοὺς μὲν αὐτὴ τῶν λίθων ἐπέφερε, πολλοὺς δὲ [3] καὶ μεγάλους αἱ θεραπαινίδες ἐπεκυλίνδουν [4]. ἄχρις οὗ κατέκοψαν αὐτὸν καὶ κατέχωσαν. ὡς δ᾽ ἔγνωσαν οἱ Μακεδόνες, καὶ τὸν νεκρὸν ἀνείλοντο, κηρύγματος ἤδη γεγονότος, μηδένα κτείνειν Θηβαίων, ἦγον αὐτὴν συλλαβόντες ἐπὶ τὸν βασιλέα, καὶ προσήγγειλαν τὸ τετολμημένον. ὁ δὲ καὶ τῇ καταστάσει τοῦ προσώπου καὶ τῷ σχολαίῳ τοῦ βαδίσματος ἀξιωματικόν τι καὶ γενναῖον ἐνιδὼν, πρῶτον ἀνέκρινεν αὐτὴν, τίς εἴη γυναικῶν. ἡ δ᾽ ἀνεκπλήκτως πάνυ καὶ τεθαῤῥηκότως εἶπεν· Ἐμοὶ Θεαγένης ἦν ἀδελφὸς, ὃς ἐν Χαιρωνείᾳ στρατηγῶν καὶ μαχόμενος πρὸς ὑμᾶς ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας, ἔπεσεν, ὅπως ἡμεῖς μηδὲν τοιοῦτον [5] πάθωμεν. ἐπεὶ δὲ πεπόνθαμεν ἀνάξια τοῦ γένους, ἀποθανεῖν οὐ φεύγομεν· οὐδὲ γὰρ ἄμεινον ἴσως ζῶσαν ἑτέρας πειρᾶσθαι νυκτὸς, εἰ σὺ τοῦτο μὴ κωλύσῃς. οἱ μὲν οὖν ἐπιεικέστατοι τῶν παρόντων ἐδάκρυσαν, Ἀλεξάνδρῳ [6] δ᾽ οἰκτείρειν μὲν ἐκ ἐπῄει τὴν ἄνθρωπον ὡς μείζονα, θαυμάσας δὲ τὴν ἀρετὴν καὶ τὸν λόγον εὖ μάλα καθαψάμενον αὐτοῦ, τοῖς μὲν ἡγεμόσι παρήγγειλε προσέχειν, καὶ φυλάττειν, μὴ πάλιν ὕβρι-

1 Restitui δὲ pro γὰρ, quod R. habet.

2 Sic Xyl. legi voluit, & habent Turn. & Petav. nec non E. & Venet. dedique cum W. pro vulg. ὑφεστώσης.

3 abest hoc δὲ a Petav.

4 Dedi sic e Turn. & Petav. pro vulg. ἀπεκυλίνδουν.

5 Turn. & Petav. οὐδὲν; posterior quoque τοιοῦτο, & mox φεύγωμεν.

6 Petav. Ἀλέξανδρος.

ὕβρισμα τοιοῦτον εἰς οἰκίαν ἔνδοξον [1] γένηται· τὴν δὲ Τιμόκλειαν ἀφῆκεν, αὐτήν τε καὶ πάντας, ὅσοι κατὰ γένος αὐτῇ προσήκοντες εὑρέθησαν.

ΕΡΥΞΩ. Βάττου, τοῦ ἐπικληθέντος Εὐδαίμονος [2], υἱὸς Ἀρκεσίλαος ἦν, οὐδὲν ὅμοιος τῷ πατρὶ τοὺς τρόπους· καὶ γὰρ ζῶντος ἔτι περὶ τὴν οἰκίαν περιθεὶς ἐπάλξεις, ὑπὸ τοῦ πατρὸς ἐζημιώθη ταλάντῳ. καὶ τελευτήσαντος ἐκείνου, τοῦτο μὲν ἐν φύσει χαλεπὸς ὤν, (ὅπερ καὶ ἐπεκλήθη) τοῦτο δὲ φίλῳ πονηρῷ, Λαάρχῳ, χρώμενος, ἀντὶ βασιλέως ἐγεγόνει τύραννος. ὁ δὲ Λάαρχος ἐπιβουλεύων τῇ τυραννίδι, καὶ τοὺς ἀρίστους τῶν Κυρηναίων ἐξελαύνων, ἢ φονεύων, ἐπὶ τὸν Ἀρκεσίλαον τὰς αἰτίας ἔτρεπε. καὶ τέλος ἐκεῖνον μὲν εἰς νόσον ἐμβαλὼν φθινάδα καὶ χαλεπὴν, λαγὼν πιόντα θαλάσσιον διέφθειρεν, αὐτὸς δὲ τὴν ἀρχὴν εἶχεν, ὡς τῷ παιδὶ τῷ ἐκείνου, Βάττῳ, διαφυλάττων. ὁ μὲν οὖν παῖς καὶ διὰ τὴν χωλότητα καὶ διὰ τὴν ἡλικίαν κατεφρονεῖτο, τῇ δὲ μητρὶ πολλοὶ προσεῖχον αὐτοῦ. σώφρων τε γὰρ ἦν καὶ φιλάνθρωπος, οἰκείους τε πολλοὺς καὶ δυνατοὺς εἶχε. διὸ καὶ θεραπεύων αὐτὴν ὁ Λάαρχος ἐμνηστεύετο, καὶ τὸν Βάττον ἠξίου παῖδα θέσθαι, γήμας ἐκείνην, καὶ κοινωνὸν ἀποδείξας τῆς ἀρχῆς· ἡ δ' Ἐρυξὼ (τοῦτο γὰρ ἦν τοὔνομα [3] τῇ γυναικὶ) βουλευσαμένη μετὰ τῶν ἀδελφῶν, ἐκέλευε τὸν Λάαρχον ἐντυγχάνειν ἐκείνοις, ὡς αὐτῆς προσιεμένης τὸν γάμον. ἐπεὶ δ' ὁ Λάαρχος ἐνετύγχανε τοῖς ἀδελφοῖς, ἐκεῖνοι δ' ἐπίτηδες παρῆγον καὶ ἀνεβάλλοντο, πέμπει πρὸς αὐτὸν ἡ Ἐρυξὼ θεραπαινίδα παρ' αὐτῆς, παραγγέλλουσαν, ὅτι νῦν μὲν ἀντιλέγουσιν οἱ ἀδελφοὶ, γενομένης δὲ τῆς συνόδου, παύσονται διαφερόμε-

1 Restitui ex Ald. Bas. Petav. pro vulg. εὔδοξον. Idem recepit W. adsentientibus E. Venet. Xyl.

2 Ald. Bas. Petav. Δαίμονος; quod corrigendum monuit Xyl.

3 Turn. Petav. ὄνομα. Mox Petav. ἐντυγχάνει; item παρ' αὐτῆς pro παρ' αὐτῇ cum Ald. & Bas.; & paulo infra ὅταν ἐκελεύῃ pro ὅταν ἐκείνῃ κελεύῃ.

ρόμενοι καὶ συγχωρήσεσι· δεῖ ὖν αὐτὸν (εἰ βέλεται) νύκτωρ ἀφικέσθαι πρὸς αὐτήν. καλῶς γὰρ ἕξειν καὶ τὰ λοιπὰ τῆς ἀρχῆς γενομένης. ἦν ὖν ταῦτα πρὸς ἡδονὴν τῷ Λαάρχῳ, καὶ παντάπασιν ἀναπτοηθεὶς πρὸς τὴν φιλοφροσύνην τῆς γυναικὸς, ὡμολόγησεν ἥξειν, ὅταν ἐκείνη κελεύῃ. ταῦτα δ' ἔπραττεν ἡ Ἐρυξὼ μετὰ Πολυάρχε, τῦ πρεσβυτάτε [1] τῶν ἀδελφῶν. ὁρισθέντος δὲ καιρῦ πρὸς τὴν σύνοδον, ὁ Πολύαρχος εἰς τὸ δωμάτιον τῆς ἀδελφῆς παρεισήχθη κρύφα, νεανίσκες ἔχων δύο σὺν αὐτῷ ξιφήρεις, φόνῳ πατρὸς ἐπεξιόντας, ὃν ὁ Λάαρχος ἐτύγχανεν ἀπεκτονὼς νεωστί· μεταπεμψαμένης δὲ τῆς Ἐρυξῦς αὐτὸν, ἄνευ δορυφόρων εἰσῆλθε, καὶ τῶν νεανίσκων αὐτῷ προσπεσόντων, τυπτόμενος τοῖς ξίφεσιν ἀπέθανε. τὸν μὲν ὖν νεκρὸν ἔρριψαν ὑπὲρ [2] τὸ τεῖχος, τὸν δὲ Βάττον προσαγαγόντες ἀνέδειξαν ἐπὶ τοῖς πατρίοις βασιλέα, καὶ τὴν ἀπ' ἀρχῆς πολιτείαν ὁ Πολύαρχος ἀπέδωκε τοῖς Κυρηναίοις. ἐτύγχανον δ' Ἀμάσιδος, τῦ Αἰγυπτίων βασιλέως, στρατιῶται συχνοὶ παρόντες, οἷς ὁ Λάαρχος ἐχρῆτο πιστοῖς, καὶ φοβερὸς ἦν ἐχ ἥκιστα δι' ἐκείνων τοῖς πολίταις. ἦτοι πρὸς Ἄμασιν ἔπεμψαν τὲς κατηγορήσοντας τῦ τε Πολυάρχε καὶ τῆς Ἐρυξῦς. χαλεπαίνοντος δ' ἐκείνε, καὶ διανοεμένε πολεμεῖν τοῖς Κυρηναίοις, συνέβη τὴν μητέρα τελευτῆσαι, καὶ ταφὰς αὐτῆς ἐπιτελῦντος, ἀπαγγέλλοντας ἐλθεῖν περὶ [3] τῦ Ἀμάσιδος. ἔδοξεν [4] ὖν τῷ Πολυάρχῳ βαδίζειν ἀπολογησαμένῳ· τῆς δ' Ἐρυξῦς μὴ ἀπολειπομένης, ἀλλ' ἕπεσθαι καὶ συγκινδυνεύειν βελομένης, ἐδὲ ἡ μήτηρ Κριτόλα, καίπερ ὖσα πρεσβύτης, ἀπελείπετο. μέγιστον δ' αὐτῆς ἦν ἀξίωμα, Βάττε γεγενημένης ἀδελφῆς,

1 Turn. & Petav. πρεσβυτέρε. Mox Petav. ὁ Πολυάρχε.

2 Turn. & Petav. ἐπὶ.

3 Xyl. e MS. legi voluit παρὰ, & locum esse ambiguum monet.

4 Turn. & Petav. ἔδοξεν.

φῆς, τοῦ Εὐδαίμονος. ὡς οὖν ἦλθον εἰς Αἴγυπτον, οἵ τ' ἄλλοι θαυμαστῶς ἀπεδέξαντο [1] τὴν πρᾶξιν αὐτῶν, καὶ ὁ Ἄμασις οὐ μετρίως ἀπεδέξατο τήν τε σωφροσύνην καὶ τὴν ἀνδρείαν τῆς Ἐρυξοῦς· δώροις δὲ τιμήσας καὶ θεραπείᾳ βασιλικῇ τόν τε Πολύαρχον καὶ τὰς γυναῖκας εἰς Κυρήνην ἀπέστειλεν.

ΞΕΝΟΚΡΙΤΗ. Οὐχ ἧττον δ' ἄν τις [2] ἀγάσαιτο τὴν Κυμαίαν Ξενοκρίτην ἐπὶ τοῖς πραχθεῖσι περὶ Ἀριστόδημον, τὸν τύραννον, ᾧ τινες Μαλακὸν ἐπίκλησιν οἴονται γεγονέναι, τὸ ἀληθὲς ἀγνοοῦντες. ἐπεκλήθη γὰρ ὑπὸ τῶν βαρβάρων Μαλακὸς, ὅπερ ἐστὶν ἀντίπαις, ὅτι μειράκιον [3] ὢν παντάπασι μετὰ τῶν ἡλίκων ἔτι κομώντων (οὓς κορυνιστὰς, ὡς ἔοικεν, ἀπὸ τῆς κόμης ὠνόμαζον) ἐν τοῖς πρὸς τοὺς βαρβάρους πολέμοις ἐπιφανὴς ἦν καὶ λαμπρὸς, οὐ τόλμῃ μόνον, οὐδὲ χειρὸς ἔργοις, ἀλλὰ [4] συνέσει καὶ προνοίᾳ φανεὶς περιττός. ὅθεν εἰς τὰς μεγίστας προῆλθεν ἀρχὰς, θαυμαζόμενος ὑπὸ τῶν πολιτῶν, καὶ Ῥωμαίοις ἐπικουρίαν ἄγων ἐπέμφθη πολεμουμένοις ὑπὸ τῶν Τυῤῥηνῶν, Ταρκύνιον Σούπερβον ἐπὶ τὴν βασιλείαν καταγόντων. ἐν ταύτῃ δὲ τῇ στρατιᾷ, μακρᾷ γενομένῃ, πάντῃ πρὸς χάριν ἐνδιδοὺς τοῖς στρατευομένοις τῶν πολιτῶν καὶ δημαγωγῶν μᾶλλον, ἢ στρατηγῶν, ἔπεισεν αὐτοὺς συνεπιθέσθαι τῇ βουλῇ, καὶ συνεκβαλεῖν τοὺς ἀρίστους καὶ δυνατωτάτους. ἐκ δὲ τούτου γενόμενος τύραννος, ἦν μὲν ἐν ταῖς περὶ γυναῖκας καὶ παῖδας ἐλευθέρους ἀδικίαις αὐτὸς ἑαυτοῦ μοχθηρότατος. ἱστόρηται γὰρ, ὅτι τοὺς μὲν ἄῤῥενας παῖδας ἤσκει κόμαις [5]

καὶ

1 Turn. & Petav. ἀπεδείξαντο. Mox Petav. ἀδρείαν pro ἀνδρείαν.

2 Turn. & Petav. δέ τις.

3 Petav. μειράκειον, & mox κοιμώντων.

4 Post ἀλλὰ Turn. & Petav. inserunt καί.

5 Dubito, an haec vox sit genuina. Constructio flagitat κομᾶν. Etiam in seq. haud liquet, unde pendeat τῶν ἀνακώλων χιτωνίσκων.

καὶ χρυσοφορεῖν, τὰς δὲ θηλείας ἠνάγκαζε περιτρόχαλα κείρεσθαι, καὶ φορεῖν ἐφηβικὰς χλαμύδας καὶ τῶν ἀνακώλων χιτωνίσκων. ὁ μὴν ἀλλ' ἐξαιρέτως ἐρασθεὶς τῆς Ξενοκρίτης, εἶχεν αὐτὴν φυγάδος ὄσαν πατρὸς, ὁ καταγαγὼν, ὀδὲ πείσας ἐκεῖνον [1], ἀλλ' ὁπωσῦν ἡγόμενος ἀγαπᾶν συνῦσαν αὐτῷ τὴν κόρην, ἅτε δὴ ζηλωμένην καὶ μακαριζομένην ὑπὸ τῶν πολιτῶν. τὴν δὲ ταῦτα μὲν ὀκ ἐξέπληττεν. ἀχθομένη δ' ἐπὶ τῷ συνοικεῖν ἀνέκδοτος καὶ ἀνέγγυος, ὀδὲν ἧττον ἐπόθει τῶν μισυμένων ὑπὸ τῦ τυράννυ τὴν τῆς πατρίδος ἐλευθερίαν. ἔτυχε δὲ κατ' ἐκεῖνο καιρῦ τάφρον ἄγων κύκλῳ περὶ τὴν χώραν ὁ Ἀριςόδημος, ὄτ' ἀναγκαῖον ἔργον, ὄτε χρήσιμον, ἄλλως δὲ τρίβειν καὶ ἀποκναίειν πόνοις καὶ ἀσχολίαις τὸς πολίτας βυλόμενος. ἦν γὰρ προστεταγμένον ἑκάςῳ μέτρων τινῶν ἀριθμὸν ἐκφέρειν τῆς γῆς. ὡς εἶδεν ἐπιόντα [2] τὸν Ἀριςόδημον, ἐξέκλινε καὶ παρεκαλύψατο τῷ χιτωνίσκῳ τὸ πρόσωπον. ἀπελθόντος ὖν τῦ Ἀριςοδήμυ, σκώπτοντες οἱ νεανίσκοι καὶ παίζοντες ἠρώτων, ὅτι δὴ μόνον ὑπ' αἰδῦς φύγοι [3] τὸν Ἀριςόδημον, πρὸς δὲ τὸς ἄλλυς ὀδὲν πάθοι τοιῦτον. ἡ δὲ καὶ μάλα μετὰ σπυδῆς ἀπεκρίνατο· Μόνος γὰρ (ἔφη) Κυμαίων Ἀριςόδημος ἀνήρ ἐςι. τῦτο γῦν [4] λεχθὲν τὸ ῥῆμα πάντων μὲν ἥψατο, τὸς δὲ γενναίυς καὶ παρώξυνεν αἰσχύνῃ τῆς ἐλευθερίας ἀντέχεσθαι. λέγεται δὲ καὶ [5] Ξενοκρίτην ἀκύσασαν εἰπεῖν, ὡς ἐβύλετο ἂν καὶ αὐτὴ

1 Sic cum W. dedi e Turn. Petav. Venet. Vulgo ἐκεῖνος.

2 Legit ita Xyl. & fuit in cod. ejus a manu correctoris. Vulgo ἀπιόντα. Deest autem hic nomen & mentio ejus Cumanae mulieris, & locus hoc modo restituendus: Ἐν τύτοις δὲ καὶ γυνή τις, ὡς εἶδ. ἐπ. τ. Ἀ. uti W. monet.

3 Turn. φεύγοι; Petav. φεύγει.

4 Dedi sic e Mez. pro vulg. γάρ. Poterat etiam, W. monente, ἄρα scriptum fuisse.

5 Restitui καὶ ex Ald. Baf. Steph. A W. abest, uti a Frft. & R.

αὐτὴ γῆν ὑπὲρ τȣ̃ πατρὸς φέρειν παρόντος, ἢ τρυφῆς συμμετέχειν Ἀριϛοδήμῳ καὶ δυνάμεως τοσαύτης. ἐπέῤῥωσεν ȣ̓̃ν ταῦτα συνιϛαμένȣς ἐπὶ τὸν Ἀριϛόδημον, ὧν ἡγεῖτο Θυμοτέλης· καὶ τῆς Ξενοκρίτης εἰσόδȣ παρεχȣ́σης αὐτοῖς ἄδειαν, καὶ τὸν Ἀριϛόδημον ἄοπλον καὶ ἀφύλακτον, ȣ̓ χαλεπῶς παρεισπεσόντες, διαφθείρȣσιν αὐτόν [1]. ȣ̔́τω μὲν ἡ Κυμαίων πόλις ἠλευθερώθη δυεῖν ἀρετῇ γυναικῶν [2], τῆς μὲν ἐπίνοιαν αὐτοῖς καὶ ὁρμὴν ἐμβαλέσης τȣ̃ ἔργȣ, τῆς δὲ πρὸς τὸ τέλος συλλαβομένης. τιμῶν δὲ καὶ δωρεῶν μεγάλων τῇ Ξενοκρίτῃ προτεινομένων, ἐάσασα πάσας, ἓν ᾐτήσατο θάψαι τὸ σῶμα τȣ̃ Ἀριϛοδήμȣ. καὶ τȣ̃το ȣ̓̃ν ἔδοσαν αὐτῇ, καὶ Δήμητρος ἱέρειαν αὐτὴν εἵλοντο, ȣ̓χ ἧττον οἰόμενοι τῇ θεῷ κεχαρισμένην, ἢ πρέπȣσαν ἐκείνῃ, τιμὴν ἔσεσθαι.

ΠΥΘΕΩ ΓΥΝΗ [3]. Λέγεται δὲ καὶ τὴν Πύθεω τȣ̃ κατὰ Ξέρξην γυναῖκα σοφὴν γενέσθαι καὶ χρηϛήν. αὐτὸς μὲν γὰρ ὁ Πύθης, ὡς ἔοικε, χρυσείοις ἐντυχὼν μετάλλοις, καὶ ἀγαπήσας τὸν ἐξ αὐτῶν πλȣ̃τον ȣ̓ μετρίως, ἀλλ' ἀπλήϛως καὶ περιττῶς [4], αὐτός τε περὶ ταῦτα διέτριβε, καὶ τȣ̀ς πολίτας καταβιβάζων ἅπαντας ὁμαλῶς ὀρύττειν, ἢ φορεῖν, ἢ καθαίρειν, ἠνάγκαζε τὸ χρυσίον, ἄλλο μηδὲν ἐργαζομένȣς τὸ παράπαν, μηδὲ πράττοντας. ἀπολλυμένων δὲ πολλῶν, πάντων δ' ἀπαγορευόντων, αἱ γυναῖκες ἱκετηρίαν ἔθεσαν ἐπὶ τὰς θύρας ἐλθȣ̃σαι τῆς τȣ̃ [5] Πύθεω γυναικός. ἡ δ' ἐκείνας

V 2 μὲν

1 Hoc αὐτὸν hebraeo more abundare videri, monet Collector Var. lect. in suppl. Frst. haud dubie vitiosa distinctione inductus. Vulgo enim deest comma post ἀφύλ. Xyl. pro καὶ τὸν Ἀριϛόδ. legit ἐπὶ τὸν Ἀ.

2 Amiot. vertit, ac si legerit δυαῖν ἀρεταῖν γυναικός. Perperam, W. judice.

3 Inscriptionem hanc, quae abest ab Ald. Bas. & Petav. adjecit Xyl. Ejus scriptus cod. habet pro titulo Πυθόπολις.

4 Petav. περιττὸς, & mox ἀπολυμένων.

5 abest τȣ̃ a Petav.

μὲν ἀπιέναι καὶ θαῤῥεῖν ἐκέλευσεν, αὐτὴ δὲ τῶν περὶ τὸ χρυσίον τεχνιτῶν, οἷς ἐπίστευε μάλιστα, καλέσασα καὶ καθείρξασα, ποιεῖν ἐκέλευεν ἄρτους τε χρυσοῦς, καὶ πέμματα παντοδαπὰ καὶ ὀπώρας, καὶ ὅσοις δὴ [1] μάλιστα τὸν Πύθην ἐγίνωσκεν ἡδόμενον ὄψοις καὶ βρώμασι. ποιηθέντων δὲ πάντων [2], ὁ μὲν Πύθης ἧκεν ἀπὸ τῆς ξένης· (ἐτύγχανε γὰρ ἀποδημῶν) ἡ δὲ γυνὴ δεῖπνον αἰτοῦντι παρέθηκε χρυσῆν τράπεζαν οὐδὲν [3] ἐδώδιμον ἔχουσαν, ἀλλὰ πάντα χρυσᾶ. τὸ μὲν οὖν πρῶτον ἔχαιρε Πύθης τοῖς μιμήμασιν, ἐμπλησθεὶς δὲ τῆς ὄψεως, ᾔτει φαγεῖν· ἡ δὲ χρυσοῦν, ὅ τι τύχοι ποθήσας, προσέφερε. δυσχεραίνοντος δ' αὐτοῦ καὶ πεινῆν βοῶντος· Ἀλλὰ σύ γε τούτων, (εἶπεν) ἄλλου δ' οὐδενὸς, εὐπορίαν [4] πεποίηκας ἡμῖν. καὶ γὰρ ἐμπειρία [5] καὶ τέχνη πᾶσα φροῦδος, γεωργεῖ δὲ [6] οὐδεὶς, ἀλλὰ τὰ σπειρόμενα καὶ φυτευόμενα καὶ τρέφοντα τῆς γῆς ὀπίσω καταλιπόντες, ὀρύσσομεν ἄχρηστα καὶ ζητοῦμεν, ἀποκναίοντες αὐτοὺς καὶ τοὺς πολίτας. ἐκίνησε ταῦτα τὸν Πύθην, καὶ πᾶσαν μὲν οὐ κατέλυσε τὴν περὶ τὰ μέταλλα πραγματείαν, ἀνὰ μέρος δὲ τὸ πέμπτον ἐργάζεσθαι κελεύσας τῶν πολιτῶν, τοὺς λοιποὺς ἐπὶ γεωργίαν καὶ τὰς τέχνας ἔτρεψε. Ξέρξου δὲ καταβαίνοντος ἐπὶ τὴν Ἑλλάδα, λαμπρότατος ἐν ταῖς ὑποδοχαῖς [7] καὶ ταῖς δωρεαῖς γενόμενος, χάριν ᾐτήσατο παρὰ τοῦ βασιλέως, πλειόνων αὐτῷ παίδων ὄντων, ἕνα παρεῖναι τῆς στρατείας [8], καὶ καταλιπεῖν αὐτῷ γηροβοσκεῖν. ὁ δὲ Ξέρξης ὑπ' ὀργῆς τοῦτον μόνον, ὃν ἐξῃτήσα-

1 abest δὴ a Turn. sed Petav. dat τε pro δή.
2 Turn. & Petav. τούτων pro πάντων.
3 abest οὐδὲν a Petav.
4 Petav. ἀπορίαν.
5 Petav. ἡ ἐμπειρία.
6 Restitui δὲ pro καὶ, quod dedit R. cum Frst.
7 Ald. Bas. Petav. ὑπεροχαῖς.
8 Sic e Xyl. MS. recepi, & dedit W. ex E. & Jun. Vulgo τῇ στρατιᾷ.

ητήσατο, σφάξας καὶ διατεμὼν, ἐκέλευσε τὸν στρατὸν διελθεῖν, τοὺς δ' ἄλλους ἐπηγάγετο [1], καὶ πάντες ἀπώλοντο κατὰ τὰς μάχας. ἐφ' οἷς ὁ Πύθης ἀθυμήσας ἔπαθεν ὅμοια πολλοῖς τῶν κακῶν καὶ ἀνοήτων. τὸν μὲν γὰρ θάνατον ἐφοβεῖτο, τῷ βίῳ δ' ἤχθετο. βουλόμενος δὲ μὴ ζῆν, προέσθαι δὲ τὸ ζῆν μὴ δυνάμενος, χώματος ὄντος ἐν τῇ πόλει μεγάλου, καὶ ποταμοῦ διαῤῥέοντος, ὃν Πυθοπολίτην ὠνόμαζον, ἐν μὲν τῷ χώματι κατεσκεύασε μνημεῖον, ἐκτρέψας δὲ τὸ ῥεῖθρον, ὥστε διὰ τοῦ χώματος φέρεσθαι ψαύοντα τοῦ τάφου τὸν ποταμόν· ἐπὶ τούτοις συντελεσθεῖσιν, αὐτὸς μὲν εἰς τὸ μνημεῖον κατῆλθε, τῇ δὲ γυναικὶ τὴν ἀρχὴν καὶ τὴν πόλιν ἀναθεὶς ἅπασαν ἐκέλευσε μὴ προσιέναι, πέμπειν δὲ τὸ δεῖπνον αὐτῷ καθ' ἑκάστην ἡμέραν εἰς βάριν ἐντιθεῖσαν [2], ἄχρις οὗ τὸν τάφον ἡ βάρις παρέλθῃ τὸ δεῖπνον ἀκέραιον ἔχουσα, τότε δὲ παύσασθαι πέμπουσαν, ὡς αὐτοῦ τεθνηκότος. ἐκεῖνος μὲν οὕτω τὸν λοιπὸν βίον διῆγεν, ἡ δὲ γυνὴ τῆς ἀρχῆς καλῶς ἐπεμελήθη, καὶ μεταβολὴν κακῶν τοῖς ἀνθρώποις παρέσχεν.

1 Petav. ἐπεγάγετο; mox ζεῖν pro ζῆν, & ὄντως pro ὄντος.
2 Dedi fic e Turn. pro vulg. ἐντεθεῖσαν.

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΚΕΦΑΛΑΙΩΝ ΚΑΤΑΓΡΑΦΗ [1].

### ΡΩΜΑΙΚΑ.

„Διὰ τί τὴν γαμȣμένην ἅπτεσθαι πυρὸς καὶ ὕδατος κελεύȣσι;“ πότερον τȣτων, ὡς [2] ἐν ςοιχείοις καὶ ἀρχαῖς, τὸ μὲν ἄῤῥεν ἐςὶ, τὸ δὲ θῆλυ· καὶ τὸ μὲν ἀρχὰς κινήσεως [3] ἐνίησι, τὸ δὲ ὑποκειμένȣ καὶ ὕλης δύναμιν; ἢ διότι τὸ πῦρ καθαίρει, καὶ τὸ ὕδωρ ἁγνίζει· δεῖ δὲ καθαρὰν καὶ ἁγνὴν διαμένειν τὴν γαμηθεῖσαν; ἢ ὅτι, καθάπερ τὸ πῦρ χωρὶς ὑγρότητος ἄτροφόν ἐςι καὶ ξηρὸν, τὸ δὲ ὕδωρ ἄνευ θερμότητος ἄγονον καὶ

1 Xyl. monet, hunc librum a Plutarcho in Camillo (Vol. I. p. 343.) & Romulo (cf. Vol. I. pag. 59.) citari ſub nomine *αἰτίων* & *αἰτίων Ῥωμαϊκῶν*, vulgo autem *problematum* titulo citari. Legi merentur, quae de recepta inſcriptione erudite & copioſe diſſeruit Dn. Prof. *Wernsdorf* in Commentatione prima, qua Plutarchi Quaeſtiones Graecas illuſtrare inchoavit. Eo res redit, ut non poſſit in dubium vocari, genuinam & ab ipſo Plutarcho profectam inſcriptionem fuiſſe *Αἰτιῶν Ῥωμαϊκῶν* & *Ἑλληνικῶν* ſ. *Ἑλλήνων*; titulum autem, quo nunc vulgari ſoleant haec opuſcula — *κεφαλαίων καταγραφὴ* — inde originem traxiſſe, quod illis ſive Plutarchus ipſe, ſive alius, conſpectum aliquem, qui ſegmentorum ſingulorum argumenta & omnem libri continentiam propoſuerit, praemiſerit; *κεφάλαια* igitur eſſe ſumma rerum capita ſive titulos; & *κεφαλαίων καταγραφὴν* brevem totius operis per capita adumbrationem, *kurzer Inbegriff*; — talem indicem, Plutarchi *αἰτίοις* praenotatum, poſtmodum a librariis vel incuria vel conſulto omiſſum fuiſſe; manſiſſe autem inſcriptionem ſummarii, imperite pro ipſius libri inſcriptione habitam, eique ceſſiſſe hanc genuinam, & prorſus e codd. exulaſſe.

2 abeſt *ὡς* a Petav. Omittit idem, quae ſequuntur poſt *ἄῤῥεν ἐςὶ* usque ad *τὸ δὲ ὑποκ.*

3 Jun. *κινήσεως*. In proximo *τὸ δὲ ὑποκειμ.* W. excidiſſe ſuſpicatur *ἔχει*.

καὶ ἀργόν· ὅτω καὶ τὸ ἄῤῥεν ἀδρανὲς καὶ τὸ θῆλυ χωρὶς ἀλλήλων, ἡ δὲ σύνοδος ἀμφοῖν ἐπιτελεῖ τοῖς γήμασι τὴν συμβίωσιν; ἢ ἐκ [1] ἀπολειπτέον, καὶ κοινωνητέον ἁπάσης τύχης, κᾂν καλῦ [2] μηδενὸς, ἢ πυρὸς καὶ ὕδατος, μέλλωσι κοινωνεῖν ἀλλήλοις;

II. „Διὰ τί ὐ πλείονας, ὐδ' ἐλάττονας, ἀλλὰ πέντε λαμπάδας ἅπτυσιν ἐν τοῖς γάμοις, ἃς κηρίωνας ὀνομάζυσιν;“ πότερον (ὡς Βάῤῥων ἔλεγεν) ὅτι τῶν στρατηγῶν τρισὶ χρωμένων, σὺν τοῖς ἀγορανόμοις πλείονας [3], παρὰ δὲ τῶν ἀγορανόμων ἅπτυσι τὸ πῦρ οἱ γαμῦντες; ἢ διότι πλείοσι χρωμένων [4] ἀριθμοῖς, πρός τε τὰ ἄλλα βελτίων καὶ τελειότερος ὁ περιττὸς ἐνομίζετο, καὶ πρὸς γάμον ἁρμοδιώτερος; ὁ γὰρ ἄρτιος διάστασίν τε δέχεται, καὶ τὸ ἴσον αὐτῦ μάχιμόν ἐστι καὶ ἀντίπαλον· ὁ δὲ περιττὸς ὐ δύναται διαχιθῆναι παντάπασιν, ἀλλὰ ὑπολείπει τι κοινὸν ἀεὶ μεριζόμενος [5]. τῦ δὲ περιττῦ μάλιστα γαμήλιος ἡ πεντάς ἐστι· τὰ γὰρ τρία πρῶτος περιττὸς, καὶ τὰ δύο πρῶτος ἄρτιος· ἐκ δὲ τύτων, ὥσπερ ἄῤῥενος καὶ θήλεος, ἡ πεντὰς μέμικται. ἢ μᾶλλον, ἐπεὶ τὸ φῶς γενέσεώς ἐστι σημεῖον, γυνὴ δ' ἄχρι πέντε τίκτειν ὁμῦ τὰ πλεῖστα πέφυκε, τοσαύταις χρῶνται λαμπάσιν; ἢ ὅτι πέντε δεῖσθαι θεῶν τὺς γαμῦντας οἴονται, Διὸς τελείυ, καὶ Ἥρας τελείας, καὶ Ἀφροδίτης, καὶ Πειθῦς, ἐπὶ πᾶσι δ' Ἀρτέμιδος, ἣν ταῖς λοχείαις καὶ ταῖς ὠδῖσιν αἱ γυναῖκες ἐπικαλῦνται;



1 In hoc disjuncto W. desiderat ὅτι, ut sit ἢ ὅτι ὐκ ἀπολ.

2 W. mavult κᾂν ἄλλυ.

3 Xyl. locum hunc corruptum esse censet; W. eum in omnibus libris eodem esse modo monet. Amiot. in hanc sententiam vertit: Quum Praetores tribus utantur facibus, Aediles duabus, non erat rationi consentaneum, ut pluribus uterentur facibus sponsi, praesertim cum suas apud Aediles accendere deberent.

4 Ald. & Bas. χρώμενον. Xyl. corrigendum monuit.

5 Dedi sic e Xyl. mente, pro vulg. μεριζόμενον.

III. „Διὰ τί, πολλῶν ὄντων ἐν Ῥώμῃ ναῶν Ἀρτέμιδος, εἰς μόνον τὸν ἐν τῷ καλȣμένῳ Πατρικίῳ ςενωπῷ ἄνδρες ȣ̓κ εἰσίασιν;“ ἢ διὰ τὸν λεγόμενον μῦθον; γυναῖκα γὰρ αὐτόθι τὴν θεὸν σεβομένην βιαζόμενός τις ὑπὸ τῶν κυνῶν διεσπάσθη, καὶ ἀπὸ τȣ́τȣ δεισιδαιμονίας γενομένης, ἄνδρες ȣ̓κ εἰσίασι.

IV. „Διὰ τί τοῖς ἄλλοις Ἀρτεμισίοις ἐπιεικῶς ἐλάφων κέρατα προσπατταλεύȣσι, τῷ δ' ἐν Ἀβεντίνῳ βοῶν;“ ἢ τȣ͂ παλαιȣ͂ συμπτώματος ἀπομνημονεύοντες; λέγεται γὰρ ἐν Σαβίνοις Ἄντρωνι Κορατίῳ βȣ͂ς εὐπρεπὴς ὄψει καὶ μεγέθει διαφέρȣσα τῶν ἄλλων γενέσθαι· μάντεως δέ τινος αὐτῷ φράσαντος, ὅτι τȣ͂ καθιερεύσαντος Ἀρτέμιδι τὴν βȣ͂ν ἐκείνην ἐν Ἀβεντίνῳ, πέπρωται, μεγίςην γενέσθαι, καὶ βασιλεῦσαι τῆς Ἰταλίας ἁπάσης τὴν πόλιν, ἐλθεῖν μὲν εἰς Ῥώμην τὸν ἄνθρωπον, ὡς θύσοντα τὴν βȣ͂ν· οἰκέτȣ δὲ κρύφα τῷ βασιλεῖ Σερȣΐῳ τὸ μάντευμα φράσαντος, ἐκείνȣ δὲ Κορνηλίῳ τῷ ἱερεῖ, προστάξαι τὸν Κορνήλιον τῷ Ἄντρωνι λȣ́σασθαι πρὸ τῆς θυσίας ἀπὸ τȣ͂ Θύμβρεως· νενομίσθαι γὰρ ȣ̓́τω τȣ̀ς καλλιερȣ͂ντας. ἐκεῖνον μὲν ȣ̓͂ν ἀπελθόντα λȣ́σεσθαι, τὸν δὲ Σερȣΐον φθάσαντα, θῦσαι τῇ θεῷ τὴν βȣ͂ν, καὶ τῷ ἱερῷ τὰ κέρατα προσπατταλεῦσαι. ταῦτα καὶ ὁ Ἰόβας ἱςόρηκε καὶ Βάῤῥων· πλὴν ὅτι τȣ̓́νομα τȣ͂ Ἄντρωνος Βάῤῥων ȣ̓ γέγραφεν, ȣ̓δ' ὑπὸ Κορνηλίȣ φησὶ τȣ͂ ἱερέως, ἀλλ' ὑπὸ τȣ͂ νεωκόρȣ, παρακρȣσθῆναι τὸν Σαβῖνον.

V. „Διὰ τί τȣ̀ς τεθνάναι φημισθέντας ἐπὶ ξένης ψευδῶς, κᾂν ἐπανέλθωσιν, ȣ̓ δέχονται κατὰ θύρας, ἀλλὰ τῷ κεράμῳ προσβαίνοντες εἴσω καθιᾶσιν αὐτȣ̀ς [1];“ ὁ μὲν γὰρ Βάῤῥων αἰτίαν μυθικὴν ὅλως ἀποδίδωσι. φησὶ γὰρ, ἐν τῷ περὶ Σικελίαν πολέμῳ ναυμαχίας μεγάλης γενομένης, καὶ κατὰ πολλῶν φήμης ȣ̓κ ἀληθȣ͂ς, ὡς ἀπο-

1 Xyl. maluit *αὐτȣ̀ς*, *ſeſe demittunt*, ut melius cohaereat cum Varroniana fabula.

ἀπολωλότων, ῥυείσης, ἐπανελθόντας αὐτὰς ὀλίγῳ χρόνῳ πάντας τελευτῆσαι. ἑνὶ δ' εἰσιόντι τὰς θύρας ἀπαντῆσαι κλειομένας ἀπ' αὐτομάτου, καὶ μὴ χαλᾶν [1] ἐπιχειρούντων ἀνοίγειν· τὸν δ' ἄνθρωπον αὐτοῦ καταδαρθέντα [2] πρὸ τῶν θυρῶν ἰδεῖν κατὰ τοὺς ὕπνους ὄψιν ὑφηγουμένην αὐτῷ τὴν ὑπὲρ τὸ τέγος εἰς τὴν οἰκίαν καθίμησιν· ποιήσαντα δὲ οὕτως, εὐτυχῆ γενέσθαι καὶ γηραιόν. ἐκ δὲ τούτου τὸ ἔθος κατασῆναι τοῖς ὕστερον. ὅρα δὲ, μὴ καὶ ταῦτα τρόπον τινὰ [3] τοῖς Ἑλληνικοῖς ἔοικεν. οὐ γὰρ ἐνόμιζον ἁγνοὺς, οὐδὲ κατεμίγνυσαν ἑαυτοῖς, οὐδ' εἴων ἱεροῖς πλησιάζειν, οἷς ἐκφορὰ γεγόνει [4] καὶ τάφος ὡς τεθνηκόσι. λέγεται δέ τινα τῶν ἐνόχων ταύτῃ τῇ δεισιδαιμονίᾳ γεγονότων, Ἀρισῖνον, εἰς Δελφοὺς ἀποσείλαντα δεῖσθαι τοῦ θεοῦ, καὶ παραιτεῖσθαι τὰς παρούσας αὐτῷ διὰ τὸν νόμον ἀπορίας· τὴν δὲ Πυθίαν εἰπεῖν·

Ὅσσαπερ ἐν λεχέεσσι γυνὴ τίκτουσα τελεῖται,
Ταῦτα πάλιν τελέσαντα θύειν μακάρεσσι θεοῖσι.

τὸν οὖν Ἀρισῖνον εὖ φρονήσαντα [5] παρασχεῖν ἑαυτὸν, ὥσπερ ἐξ ἀρχῆς τικτόμενον, ταῖς γυναιξὶν ἀπολοῦσαι καὶ σπαργανῶσαι καὶ θηλὴν ἐπισχεῖν, οὕτω τε δρᾶν καὶ τοὺς ἄλλους ἅπαντας, ὑσεροπότμους [6] προσαγορευομένους. ἔνιοι δὲ καὶ πρὸ τοῦ Ἀρισίνου ταῦτα γίνεσθαι περὶ τοὺς ὑσεροπότμους, καὶ τὸ ἔθος εἶναι παλαιόν. οὐδὲν οὖν θαυμασὸν, εἰ καὶ Ῥωμαῖοι τοῖς δοκοῦσιν [7] ἅπαξ τετάφθαι καὶ γεγο-



1 Petav. χανᾶν.
2 W. mavult καταδαρθόντα.
3 Petav. πρός τινα pro τρόπον τινά.
4 Petav. γεγόνοι.
5 W. mavult συμφρονήσαντα pro εὖ φρον.
6 Xyl. docente, haec vox eos significat, qui crediti jam fato suo defuncti, denuo ei servire opus habent. Ald. & Bas. ὑστεροπόμους.
7 Aut hoc, quod dedi, legi voluit W. aut τοὺς δοκοῦντας. Vulgo τότε δοκοῦσιν.

γεγονέναι τῆς τῶν Φθιτῶν μερίδος ὀκ ᾤοντο δεῖν παριέναι [1] τὴν αὔλειον, ᾗ θύσοντες ἐξίασι, καὶ θύσαντες εἰσίασιν, ἀλλ' ἄνωθεν ἐκέλευον εἰς τὰ ὕπαιθρα καταβαίνειν ἐκ τῦ περιέχοντος. καὶ γὰρ τὺς καθαρμὺς ἐπιεικῶς πάντας ἐν ὑπαίθρῳ τελῦσι.

VI. „Διὰ τί τὺς συγγενεῖς τῷ ςόματι Φιλῦσιν αἱ γυναῖκες;“ πότερον (ὡς οἱ πλεῖςοι νομίζυσιν) ἀπειρημένον ἦν πίνειν οἶνον ταῖς γυναιξίν· ὅπως ὖν αἱ πιῦσαι μὴ λανθάνωσιν, ἀλλ' ἐλέγχωνται, περιτυγχάνυσαι τοῖς οἰκείοις, ἐνομίσθη καταφιλεῖν; ἢ δι' ἣν Ἀριςοτέλης, ὁ Φιλόσοφος, αἰτίαν ἱςόρηκε; τὸ γὰρ πολυθρύλλητον ἐκεῖνο, καὶ πολλαχῦ [2] γενέσθαι λεγόμενον, ὡς ἔοικεν, ἐτολμήθη καὶ ταῖς Τρωάσι [3] περὶ τὴν Ἰταλίαν. τῶν γὰρ ἀνδρῶν, ὡς προσέπλευσαν, ἀποβάντων, ἐνέπρησαν τὰ πλοῖα, πάντως ἀπαλλαγῆναι τῆς πλάνης δεόμεναι καὶ τῆς θαλάττης· φοβηθεῖσαι δὲ τὺς ἄνδρας, ἠσπάζοντο τῶν συγγενῶν καὶ οἰκείων, μετὰ τῦ καταφιλεῖν καὶ περιπλέκεσθαι, τὺς προστυγχάνοντας. παυσαμένων δὲ τῆς ὀργῆς καὶ διαλλαγέντων [4], ἐχρῶντο καὶ τολοιπὸν ταύτῃ τῇ φιλοφροσύνῃ πρὸς αὐτύς. ἢ μᾶλλον ἐδόθη τῦτο ταῖς γυναιξὶν, ὡς τιμὴν ἅμα καὶ δύναμιν αὐταῖς φέρον, εἰ φαίνοιντο πολλὺς καὶ ἀγαθὺς ἔχυσαι συγγενεῖς καὶ οἰκείυς; ἤ, μὴ νενομισμένυ συγγενίδας γαμεῖν, ἄχρι φιλήματος ἡ φιλοφροσύνη προῆλθεν, καὶ τῦτο μόνον ἀπελείφθη σύμβολον καὶ κοινώνημα τῆς συγγενείας; πρότερον γὰρ ὐκ ἐγάμυν τὰς ἀφ' αἵματος, ὥσπερ ὐδὲ νῦν τιτθίδας, ὐδ' ἀδελφὰς γαμῦσιν, ἀλλ' ὀψὲ συνεχώρησαν ἀνεψιαῖς συνοικεῖν ἐκ τοιαύτης αἰτίας. ἀνὴρ χρημάτων ἐνδεὴς, τὰ δ' ἄλλα χρηςὸς, καὶ παρ' ὀντιναῦν τῷ δήμῳ

1 Petav. περιίναι; Mox idem ἢ θύσοντες.

2 Recepi πολλαχῦ, quod Xyl. conjecit vertitque, & W. probat. Vulgo πολλῦ.

3 Dedi ordinem vocum, quem W. voluit. Vulgo ταῖς Τρωάσι καί.

4 Petav. διαλεγότων. Idem infra γαμῶσιν pro γαμῦσιν.

μῳ τῶν πολιτευομένων ἀρέσκων [1], ἐπίκληρον ἀνεψιὰν ἔχειν ἔδοξε, καὶ πλετεῖν ἀπ' αὐτῆς. ἐπὶ τέτῳ δὲ γενομένης αὐτῦ κατηγορίας, ὁ δῆμος ἀφεὶς τὴν αἰτίαν ἐλέγχειν, ἔλυσε τὸ ἔγκλημα, ψηφισάμενος πᾶσιν ἐξεῖναι γαμεῖν ἄχρις ἀνεψιῶν, τὰ δ' ἀνωτέρω κεκωλῦσθαι.

VII. „Διὰ τί δὲ δῶρον λαβεῖν ἀνδρὶ παρὰ γυναικὸς, καὶ γυναικὶ παρὰ ἀνδρὸς ἀπείρηται;" πότερον, ὡς Σόλων, γράψας τὰς δόσεις κυρίας εἶναι τῶν τελευτώντων, πλὴν εἰ μή τις ἀνάγκῃ συνεχόμενος, ἢ [2] γυναικὶ πειθόμενος, τὴν μὲν ἀνάγκην ὡς βιαζομένην ὑπεξείλετο, τὴν δὲ ἡδονὴν ὡς παραλογιζομένην, ὕτως ὑπενοήθησαν αἱ γυναικῶν καὶ ἀνδρῶν δόσεις; ἢ φαυλότατον ἡγέμενοι [3] σημεῖον εὐνοίας τὸ διδόναι, (διδόασι γὰρ καὶ ἀλλότριοι καὶ μὴ φιλῦντες) ἐκ τῦ γάμε τὴν τοιαύτην ἀρέσκειαν ἀνεῖλον, ὅπως ἄμιθον ᾖ [4] καὶ προῖκα καὶ δι' αὐτὸ, μὴ δι' ἄλλο, τὸ φιλεῖσθαι καὶ φιλεῖν, ἢ, ὅτι τῷ λαμβάνειν διαφθειρόμεναι, μάλιστα προσίενται τὲς ἀλλοτρίες, σεμνὸν ἐφάνη τὸ μὴ διδόντας ἀγαπᾶν τὲς ἰδίες; ἢ μᾶλλον ὅτι δεῖ κοινὰ καὶ γυναιξὶν εἶναι τὰ ἀνδρῶν, καὶ ἀνδράσι τα γυναικῶν; μανθάνει γὰρ ὁ λαβὼν τὸ δοθὲν, ἀλλότριον ἡγεῖσθαι τὸ μὴ δοθέν· ὥς' ὀλίγον διδόντες ἀλλήλοις, τὸ πᾶν ἀφαιρῦνται.

VIII. „Διὰ τί δὲ παρὰ γαμβρῦ καὶ παρὰ πενθερῦ λαβεῖν ἐκείνοις κεκώλυται δῶρον;" ἢ παρὰ γαμβρῦ μὲν,

1 Quae sequuntur, absunt a Petav. usque ad ὁ δ' ἀφ.

2 Recepi ἢ e Petav. pro vulg. καὶ. Verba ipsa periodi hujus satis obscura esse, Xyl. monet, & sic explicare conatur: *Suspectae vitii & illiberalitatis erant Romanis donationes conjugum, nimirum quod non ab animo liberali profectae, sed adulatione conjugis extortae essent: quomodo etiam donationes mortis causa factas, ad uxoris petitionem, irritas esse voluit Solon, non minus, quam vi extortas.*

3 Ald. & Bas. ἡγέμενον. Xyl. correxit. Petav. φαυλότητα pro φαυλότατον. Pro εὐνοίας Ald. εὐνίας.

4 Petav. pro ᾖ dat εἶναι. Id. mox δι' αὐτὸ, μηδ' ἄλλο.

μὲν, ἵνα μὴ δόξῃ διὰ τοῦ πατρὸς εἰς τὴν γυναῖκα περιχωρεῖν τὸ δῶρον· παρὰ πενθεροῦ δὲ, ὅτι τὸν μὴ διδόντα δίκαιον ἐφάνη μηδὲ λαμβάνειν;

IX. „Διὰ τί, κἂν ἐξ ἀγροῦ, κἂν ἀπὸ ξένης ἐπανίωσιν, ἔχοντες οἴκοι γυναῖκας, προπέμπουσι, δηλοῦντες αὐταῖς, ὅτι παραγίνονται;“ πότερον ὅτι τοῦτο πιστεύοντός [1] ἐστι τὴν γυναῖκα μηδὲν ῥᾳδιουργεῖν· τὸ δ' ἐξαίφνης καὶ ἀπροσδοκήτως, οἷον ἐνέδρα καὶ παρατήρησις [2]. ἢ σπεύδουσιν ὡς ποθούσαις καὶ προσδεχομέναις εὐαγγελίζεσθαι περὶ αὐτῶν; ἢ μᾶλλον αὐτοὶ περὶ ἐκείνων πυθέσθαι ποθοῦσιν, εἰ σωζομένας καὶ ποθούσας ἐπὶ τῆς οἰκίας καταλαμβάνουσιν; ἢ πλείονες ταῖς γυναιξὶν οἰκονομίαι καὶ ἀσχολίαι, τῶν ἀνδρῶν ἀπόντων, τυγχάνουσι, καὶ διαφοραὶ καὶ ὁρμαὶ [3] πρὸς τοὺς ἔνδον; ἵνα οὖν ἀπαλλαγεῖσα τούτων ἀθόρυβον τῷ ἀνδρὶ παρέχῃ τὴν ὑποδοχὴν καὶ ἡδεῖαν, ἡ προδήλωσις γίνεται.

X. „Διὰ τί τοὺς θεοὺς προσκυνοῦντες ἐπικαλύπτονται τὴν κεφαλὴν, τῶν δ' ἀνθρώπων τοῖς ἀξίοις τιμῆς ἀπαντῶντες, κἂν τύχωσιν ἐπὶ τῆς κεφαλῆς ἔχοντες τὸ ἱμάτιον, ἀποκαλύπτονται;“ τοῦτο γὰρ ἔοικε κἀκείνην ἐπιτείνειν τὴν ἀπορίαν. εἰ μὲν οὖν ὁ περὶ Αἰνείου λεγόμενος λόγος ἀληθής ἐστι, καὶ τοῦ Διομήδους παρεξιόντος, ἐπικαλυψάμενος τὴν θυσίαν ἐπετέλεσε, λόγον ἔχει καὶ ἀκολουθεῖ τῷ συγκαλύπτεσθαι πρὸς τοὺς πολεμίους, τὸ τοῖς φίλοις καὶ ἀγαθοῖς ἐντυγχάνοντας ἀποκαλύπτεσθαι. τὸ γὰρ πρὸς τοὺς θεοὺς οὐκ ἴδιόν ἐστιν, ἀλλὰ κατὰ συμβεβηκὸς, καὶ ἀπ' ἐκείνου μεμένηκε τηρούμενον. εἰ δ' ἄλλο τι λέγειν χρὴ, σκόπει, μὴ μόνον ἐκεῖνο δεῖ ζητεῖν, δι'



1 Petav. πιστεύοντες. Pro seq. ἐστὶ Ald. & Bas. ἐπί. Xyl. correxit.

2 Secutus sum in his Xylandrum. Vulgo οἷον ἐνέδρᾳ καὶ παρατηρήσει, statim adhaerente voce σπεύδουσιν. Particulam ἢ e W. mente recepi. Idem ad dativos praecedentes addi vult ἐοικεν. Mox Petav. αὐτὸν pro αὐτοί.

3 W. susp. ὀργαί.

ὅ τὰς θεὰς προσκυνᾶντες ἐπικαλύπτονται [1], θάτερον δ' ἀκόλαθόν ἐςι. τῶν γὰρ ἀνθρώπων ἀποκαλύπτονται τοῖς δυνατωτέροις, ἀ τιμὴν αὐτοῖς προστιθέντες, ἀλλὰ τὸν Φθόνον αὐτῶν [2] μᾶλλον ἀφαιρᾶντες, ἵνα μὴ δόξωσι τὰς αὐτὰς τοῖς θεοῖς τιμὰς ἀπαιτεῖν, μηδὲ ὑπομένειν, μηδὲ χαίρειν θεραπευόμενοι παραπλησίως ἐκείνοις· τὰς δὲ θεὰς ἅτω προσεκύνεν, ἢ ταπεινᾶντες ἑαυτὰς τῇ ἐπικρύψει τῆς κεφαλῆς, ἢ μᾶλλον εὐλαβέμενοι τινὰ Φωνὴν προσπεσεῖν αὐτοῖς ἔξωθεν εὐχομένοις ἀπαίσιον καὶ δύσφημον, ἄχρι τῶν ὤτων ἀνελάμβανον τὸ ἱμάτιον. ὅτι γὰρ ἰσχυρῶς ἐφυλάττοντο ταῦτα, δῆλόν ἐςι τῷ προσιόντας ἐπὶ μαντείαν χαλκωμάτων πατάγῳ περιψοφεῖσθαι· ἢ, ὡς Κάςωρ λέγει, τὰ Ῥωμαϊκὰ τοῖς Πυθαγορικοῖς συνοικειῶν, τὸν ἐν ἡμῖν δαίμονα δεῖσθαι τῶν ἐκτὸς θεῶν, καὶ ἱκετεύειν τῇ τῆς κεφαλῆς ἐπικαλύψει, τὴν τῆς ψυχῆς αἰνιττόμενον ὑπὸ τᾶ σώματος ἐγκάλυψιν καὶ ἀπόκρυψιν.

XI. „Διὰ τί τῷ Κρόνῳ θύεσιν ἀπαρακαλύπτῳ τῇ κεφαλῇ;“ πότερον ὅτι τὴν ἐγκάλυψιν Αἰνείας παρέδωκεν, ἡ δὲ τᾶ Κρόνα θυσία παμπάλαιός ἐςιν; ἢ ὅτι τοῖς ἀρανίοις ἐπικαλύπτονται, τὸν δὲ Κρόνον ἡγᾶνται θεὸν ὑπαδαῖον καὶ χθόνιον; ἢ ὅτι τῆς ἀληθείας ἀδὲν ἐπίκρυφον [3], ἢ ἐπίσκιον. ἀληθείας δὲ νομίζεσι Ῥωμαῖοι πατέρα τὸν Κρόνον εἶναι;

XII. „Διὰ τί δὲ τὸν Κρόνον πατέρα τῆς ἀληθείας νομίζεσι;“ πότερον, ὥσπερ ἔνιοι τῶν Φιλοσόφων, χρόνον οἴονται τὸν Κρόνον εἶναι· τὸ δ' ἀληθὲς εὑρίσκει χρόνος; ἢ τὸν μυθολογέμενον ἐπὶ Κρόνα βίον, εἰ δικαιότατος ἦν, εἰκός ἐςι μάλιςα μετέχειν ἀληθείας;

XIII.

1 Quae sequuntur, absunt a Petav. usque ad τοῖς δυνατ.

2 Petav. αὐτόν. Mox idem ταπεινῶντες; & infra συνοικεῖ pro συνοικειῶν.

3 Turn. & Petav. ἀπόκρυφον; Ald. & Bas. corrupte ἐπόκρυφον.

XIII. „Διὰ τί καὶ τῷ λεγομένῳ Ὀνώρει [1] θύουσιν ἀκαλύπτῳ τῇ κεφαλῇ; τὸν δὲ Ὀνώρεμ δόξαν ἄν τις, ἢ τιμὴν, μεθερμηνεύσειε;“ πότερον διότι [2] λαμπρὸν ἡ δόξα καὶ περιφανὲς καὶ ἀναπεπταμένον, δι' ἣν αἰτίαν τοῖς ἀγαθοῖς καὶ τιμωμένοις ἀνδράσιν ἀποκαλύπτονται, διὰ ταύτην καὶ τὸν ἐπώνυμον τῆς τιμῆς θεὸν οὕτω προσκυνοῦσι;

XIV. „Διὰ τί τοὺς γονεῖς ἐκκομίζουσιν, οἱ μὲν υἱοὶ συγκεκαλυμμέναις [3], αἱ δὲ θυγατέρες γυμναῖς ταῖς κεφαλαῖς καὶ ταῖς κόμαις λελυμέναις;“ πότερον ὅτι τιμᾶσθαι μὲν ὑπὸ τῶν ἀῤῥένων δεῖ τοὺς πατέρας, ὡς θεοὺς, πενθεῖσθαι δὲ ὑπὸ τῶν θυγατέρων, ὡς τεθνηκότας, ἑκατέρῳ τὸ οἰκεῖον ὁ νόμος ἀποδιδοὺς [4], ἐξ ἀμφοτέρων ἐποίησε τὸ ἁρμόττον; ἢ πένθους μὲν οἰκεῖον τὸ μὴ σύνηθες, συνηθέστερον δὲ ταῖς μὲν γυναιξὶν, ἐγκεκαλυμμέναις, τοῖς δ' ἀνδράσιν, ἀκαλύπτοις εἰς τὸ δημόσιον προϊέναι; καὶ γὰρ παρ' Ἕλλησιν, ὅταν δυστυχία τις γένηται, κείρονται μὲν αἱ γυναῖκες, κομῶσι δὲ οἱ ἄνδρες· ὅτι τοῖς μὲν τὸ κείρεσθαι, ταῖς δὲ τὸ κομᾶν σύνηθές ἐστιν· ἢ τοὺς μὲν υἱοὺς ἐπικαλύπτεσθαι δι' ἣν εἰρήκαμεν αἰτίαν ἐνομίσθη; (καὶ γὰρ ἐπὶ τῶν τάφων, ὥς φησι Βάῤῥων, περιστρέφονται, καθάπερ θεῶν ἱερὰ τιμῶντες τὰ τῶν πατέρων μνήματα, καὶ καύσαντες τοὺς γονεῖς, ὅταν ὀστέῳ πρῶτον ἐντύχωσι, θεὸν γεγονέναι τὸν τεθνηκότα λέγουσι) ταῖς δὲ γυναιξὶν οὐδὲ ὅλως ἐξῆν ἐπικαλύπτεσθαι τὴν κεφαλήν; ἱστορεῖται γοῦν, ὅτι πρῶτος [5] μὲν ἐξέβαλε γυναῖκα Σπόριος Καρβίλιος ἐπ' ἀτεκνίᾳ, δεύτερος δὲ Σουλπίκιος Γάλλος ἐφελκυσαμένην ἰδὼν κατὰ κεφαλῆς τὸ ἱμάτιον,

1 Petav. ὄνερε; & mox ὄνωρε pro ὀνώρεμ.
2 Dedi sic pro vulg. δὲ ὅτι, quod W. corrigendum monuit.
3 Petav. συγκεκαλυμμένοι.
4 Petav. ἀποδοὺς.
5 Petav. πρῶτον. In seq. R. dedit Καρβίλιος e Xyl. mente pro vulg. Καρβήλιος.

τιον, τρίτος δὲ Πόπλιος Σεμπρώνιος ἀγῶνα θεωρησάσαν ἐπιτάφιον.

XV. „Διὰ τί τὸν Τέρμινον, ᾧ τὰ Τερμινάλια ποιῦσι, θεὸν νομίζοντες, ὐδὲν ἔθυον αὐτῷ ζῶον;“ ἢ Ῥωμύλος μὲν ὅρυς ὐκ ἔθηκε [1] τῆς χώρας, ὅπως ἐξῇ προϊέναι καὶ ἀποτέμνεσθαι καὶ νομίζειν πᾶσαν ἰδίαν, ὥσπερ ὁ Λάκων εἶπεν, ἧς ἂν τὸ δόρυ ἐφικνῆται [2]. Νυμᾶς δὲ Πομπίλιος, ἀνὴρ δίκαιος καὶ πολιτικὸς ὢν, καὶ φιλόσοφος γενόμενος, τήν τε χώραν ὡρίσατο πρὸς τὺς γειτνιῶντας, καὶ τοῖς ὅροις ἐπιφημίσας τὸν Τέρμινον, ὡς ἐπίσκοπον καὶ φύλακα φιλίας καὶ εἰρήνης, ᾤετο δεῖν αἵματος καὶ φόνυ καθαρὸν καὶ ἀμίαντον διαφυλάττειν;

XVI. „Διὰ τί δύλαις τὸ τῆς Λευκοθέας [3] ἱερὸν ἄβατόν ἐςι; μίαν δὲ μόνην αἱ γυναῖκες εἰσάγυσαι, παίυσιν ἐπὶ κόῤῥης καὶ ῥαπίζυσιν;“ ἢ τὸ μὲν ταύτην ῥαπίζεσθαι, σύμβολόν ἐςι τῦ μὴ ἐξεῖναι, κωλύυσι δὲ τὰς ἄλλας διὰ τὸν μῦθον; ἡ γὰρ Ἰνὼ [4] ζηλοτυπήσασα δύλην ἐπὶ τῷ ἀνδρὶ, λέγεται περὶ τὸν υἱὸν ἐκμανῆναι· τὴν δὲ δύλην Ἕλληνες Αἰτωλίδα γένει φασὶν εἶναι, καλεῖσθαι δ' Ἀντιφέραν. διὸ καὶ παρ' ἡμῖν ἐν Χαιρωνείᾳ πρὸ [5] τῦ σηκῦ τῆς Λευκοθέας ὁ νεωκόρος λαβὼν μάςιγα, κηρύσσει, μὴ δῦλον εἰσιέναι [6], μὴ δύλαν, μηδ' Αἰτωλὸν, μηδ' Αἰτωλάν.

XVII. „Διὰ τί παρὰ τῇ θεῷ ταύτῃ τοῖς μὲν ἰδίοις τέκνοις

[1] Particulam negantem ὐκ, quae in omnibus edd. defuit, R. recepit, Xyl. ut videtur, secutus & Petav. Etiam W. eam sumsit ex Voss. Anon. P. Mez. Xyl.

[2] Petav. ἐφικνεῖται.

[3] Dea a Romanis Matuta nuncupata, sive Mater Matuta. Statim Bas. ἄβατόν τι; Ald. nota utitur, haud dubie ἐςὶν exhibente. Xyl. correxit.

[4] Petav. Ἠνώ.

[5] abest πρὸ a Petav. Idem συκῦ, & νεοκύρως absque artic.

[6] Ald. εἰσίενται. Petav. δῦλος.

τέκνοις ἐκ εὔχονται τἀγαθὰ, τοῖς δὲ τῶν ἀδελφῶν;" πότερον ὅτι φιλάδελφος μέν τις ἡ Ἰνὼ καὶ τὸν [1] ἐκ τῆς ἀδελφῆς ἐτιθηνήσατο· ἡ δὲ περὶ τὲς ἑαυτῆς παῖδας ἐδυστύχησεν; ἢ καὶ ἄλλως ἠθικὸν καὶ καλὸν τὸ ἔθος, καὶ πολλὴν παρασκευάζον εὔνοιαν ταῖς οἰκειότησι;

XVIII. „Διὰ τί τῷ Ἡρακλεῖ πολλοὶ τῶν πλεσίων ἐδεκάτευον τὰς ἐσίας;" πότερον ὅτι κἀκεῖνος ἐν Ῥώμῃ τῶν Γηρυόνε βοῶν ἀπέθυσε τὴν δεκάτην; ἢ ὅτι Ῥωμαίες ὑπὸ Τυῤῥηνῶν δεκατευομένες ἀπήλλαξεν; ἢ ταῦτα μὲν ἐκ εἶχε τὴν ἱςορίαν ἀξιόπιςον, ὡς δ' ἀδδηφάγῳ [2] τινὶ τῷ Ἡρακλεῖ καὶ εὐθοίνῳ δαψιλῶς καὶ ἀφθόνως ἀπέθυον; ἢ μᾶλλον ὡς ἐπαχθῆ ταῖς πολιτείαις [3] τὸν ὑπερβάλλοντα 'πλῦτον κολέοντες, καὶ καθάπερ εὐεξίας ἐπ' ἄκρον εὐσωματέσης ἀφαιρῦντες, ᾤοντο μάλιςα τιμᾶσθαι τὸν Ἡρακλέα, καὶ χαίρειν ταῖς τοιαύταις ἀποχρήσεσι [4] καὶ συςολαῖς τῶν περιττῶν, εὐτελῆ καὶ αὐτάρκη καὶ ἀπέριττον τῷ βίῳ γενόμενον;

XIX. „Διὰ τί τὸν Ἰανεάριον [5] μῆνα νέε ἔτες ἀρχὴν λαμβάνεσι;" τὸ γὰρ παλαιὸν ὁ Μάρτιος ἠριθμεῖτο πρότερος, ὡς ἄλλοις τε πολλοῖς δῆλόν ἐςι τεκμηρίοις, καὶ μάλιςα τῷ τὸν πέμπτον ἀπὸ τῦ Μαρτίε, Πέμπτον, καὶ τὸν ἕκτον, Ἕκτον ὀνομάζεσθαι· καὶ τὲς ἄλλες ἐφεξῆς ἄχρι τῦ τελευταίε, ὃν Δεκέμβριον καλῦσιν, ἀπὸ τῦ Μαρτίε δέκατον ἀριθμέμενον. ἐξ ἕ δὴ καὶ παρέςη τισὶν

1 Restitui τὸν ex Ald. Bas. & Steph. simul e Petav. exhibitum pro τῶν, quod est in Frst. & R. Intellige Bacchum. Mox Petav. παρασκευάζων.

2 Petav. ἀδηφάγῳ.

3 Sic dedit Steph. & enotatur e Turn. & Bong. At in Ald. & Bas. est ταῖς πολίταις, forte pro τοῖς πολ. quod habet Petav. Paulo ante Bas. ἀφθόνων, & mox εὐτάρκη. Xyl. utrumque correxit, quod in Ald. bene legitur.

4 W. susp. ἀποκρίσεσι, vel ἀποχωρίσεσι.

5 Petav. Ἰανάριον, h. l. & infra. Deinde idem ἐ δέδωκα pro ἐ δώδ.

τισὶν οἴεσθαι καὶ λέγειν, ὡς ἐ δώδεκα μησὶν, ἀλλὰ δέκα, συνεπλήρουν οἱ τότε Ῥωμαῖοι τὸν ἐνιαυτὸν, ἐνίοις [1] τῶν μηνῶν ἡμέρας πλείονας τῶν τριάκοντα προστιθέντες. ἄλλοι δὲ ἱςορῦσι, τὸν μὲν Δεκέμβριον ἀπὸ τῦ Μαρτίυ δέκατον εἶναι, τὸν δ' Ἰανυάριον ἑνδέκατον, τὸν δὲ Φεβρυάριον δωδέκατον, ἐν ᾧ καθαρμοῖς τε χρῶνται, καὶ τοῖς Φθιμένοις ἐναγίζυσι τῦ ἐνιαυτῦ τελευτῶντος. μετατεθῆναι δὲ τύτυς, καὶ γενέσθαι τὸν Ἰανυάριον πρῶτον, ὅτι τῇ νεμηνίᾳ τύτυ τῦ μηνὸς (ἣν ἡμέραν καλάνδας Ἰανυαρίας καλῦσιν) οἱ πρῶτοι κατεςάθησαν [2] ὕπατοι, τῶν βασιλέων ἐκπεσόντων. πιθανώτεροι δέ εἰσιν οἱ λέγοντες, ὅτι τὸν μὲν Μάρτιον ὁ Ῥωμύλος πολεμικὸς καὶ ἀρειμάνιος ὢν, καὶ δοκῶν ἐξ Ἄρεος γεγονέναι, προέταξε τῶν μηνῶν, ἐπώνυμον ὄντα τῦ Ἄρεος· Νυμᾶς δ' αὖθις εἰρηνικὸς γενόμενος, καὶ πρὸς [3] ἔργα τῆς γῆς Φιλοτιμύμενος τρέψαι τὴν πόλιν, ἀποςῆσαι δὲ τῶν πολεμικῶν, τῷ Ἰανυαρίῳ τὴν ἡγεμονίαν ἔδωκε, καὶ τὸν Ἰανὸν εἰς τιμὰς προήγαγε μεγάλας, ὡς πολιτικὸν καὶ γεωργικὸν μᾶλλον, ἢ πολεμικὸν, γενόμενον. ὅρα δὲ, μὴ μᾶλλον ὁ Νυμᾶς τῇ Φύσει προσήκυσαν ἀρχὴν ἔλαβε τῦ ἔτυς ὡς πρὸς ἡμᾶς. καθόλυ μὲν γὰρ ὐδέν ἐςι Φύσει τῶν ἐν κύκλῳ περιΦερομένων, ἔτ' ἔσχατον, ἔτε πρῶτον, νόμῳ δ' ἄλλην ἄλλοι τῦ χρόνυ λαμβάνυσιν ἀρχήν. ἄριςα δὲ οἱ τὴν μετὰ τροπὰς χειμερινὰς [4] λαμβάνοντες, ὁπηνίκα τῦ πρόσω βαδίζειν πεπαυμένος ὁ ἥλιος ἐπιςρέφει καὶ ἀνακάμπτει πάλιν πρὸς ἡμᾶς. γίνεται γὰρ αὐτοῖς τρόπον τινὰ καὶ Φύσει [5], τὸν μὲν τῦ Φωτὸς αὔξυσα

1 Sic omnino dandum fuit, quod W. monet, pro vulg. ἐνίαις.

2 Ald. & Baf. κατεκάθησαν. Xyl. correxit. Mox Petav. Ἀριμάνιος pro ἀρειμάνιος.

3 Petav. γενόμενος καίπερ ἔργα.

4 Sumſi cum W. ex Petav. & Mez. Vulgo χειμερίυς.

5 Si haec integra ſunt cenſenda, ex antecedenti ſubaudiri oportet ἀρχή: — *illis ipſis*, qui inde initium anni ſtatuunt,

ξεσα χρόνον ἡμῖν, μειεσα δὲ τὸν [1] τε σκότες, ἐγγυτέρω δὲ ποιεσα τὸν κύριον καὶ ἡγεμόνα τῆς ῥευςῆς εσίας απάσης.

XX. „Διὰ τί τῇ γυναικείᾳ θεῷ, ἣν Ἀγαθὴν καλεσιν, κοσμεσαι σηκὸν αἱ γυναῖκες, οἴκοι μυρσίνας εκ εἰσφέρεσι, καίτοι πᾶσι φιλοτιμέμεναι χρῆσθαι τοῖς βλαςάνεσι καὶ ἀνθεσι;“ πότερον (ὡς οἱ μυθολογεντες ἱσορεσι) Φαυλίε [2] μὲν ἦν γυνὴ, τε μάντεως, οἴνῳ δὲ χρησαμένη κρύφα, καὶ μὴ λαθεσα, ῥάβδοις ὑπὸ τε ἀνδρὸς ἐκολάσθη μυρσίνης. ὅθεν μυρσίνην μὲν εκ εἰσφέρεσιν, οἶνον δ' αὐτῇ σπένδεσι, γάλα προσαγορεύεσαι. ἢ πολλῶν μὲν ἁγναὶ, μάλιςα δ' ἀφροδισίων, τὴν ἱερεργίαν ἐκείνην ἐπιτελεσιν; ε γὰρ μόνον ἐξοικίζεσι τὲς ἄνδρας, ἀλλὰ καὶ πᾶν ἄῤῥεν ἐξελαύνεσι τῆς οἰκίας, ὅταν τὰ νενομισμένα τῇ θεῷ ποιῶσι. τὴν ἓν μυρσίνην ὡς ἱερὰν Ἀφροδίτῃ [3] ἀφοσιενται. καὶ γὰρ ἣν νῦν Μερκίαν Ἀφροδίτην καλεσι, Μυρτίαν [4] τοπαλαιὸν (ὡς ἔοικεν) ὠνόμαζον.

XXI. „Διὰ τί τὸν δρυοκολάπτην οἱ Λατῖνοι σέβονται, καὶ ἀπέχονται πάντες ἰσχυρῶς τε ὄρνιθος;“ πότερον ὅτι τὸν Πῖκον λέγεσιν ὑπὸ φαρμάκων τῆς γυναικὸς μεταβαλεῖν τὴν φύσιν, καὶ γενόμενον δρυοκολάπτην ἀποφθέγγεσθαι λόγια, καὶ χρησμῳδεῖν τοῖς ἐρωτῶσιν; ἢ τετο μὲν ἄπιςόν ἐςιν ὅλως καὶ τερατῶδες· ἅτε-

*& naturae fit initium*, i. e. quasi denuo cum natura existere & vigere incipiunt. Manca ea esse, monet Xyl. sententiam ita efferens: tunc enim in ipsa quoque natura conversio quaedam fit. Eum sequitur Kaltw. Consentit W. & hoc modo corrigenda putat: γίνεται γὰρ αὖθις τρόπον τινὰ ἡ φύσις, *nascitur enim denuo quodammodo natura*. Malit quis fortasse καινὴ φύσις.

1 abest τὸν a Petav.

2 Mez. Φαύνε. Pro seq. ἣν Petav. ἓν.

3 Petav. Ἀφροδίτην; & mox τὸ παλαιὸν.

4 Xyl. e Plin. H. N. l. XV. c. 19. potius Μερτίαν legendum suspicatur.

ἅτερος δὲ τῶν μύθων πιθανώτερος, ὡς ἄρα τοῖς περὶ Ῥωμύλον καὶ Ῥῶμον ἐκτεθεῖσιν ἐ μόνον λύκαινα θηλὴν ἐπεῖχεν, ἀλλὰ καὶ δρυοκολάπτης τις ἐπιφοιτῶν ἐψώμιζεν; ἐπιεικῶς γὰρ ἔτι καὶ νῦν τοῖς ὑπωρείοις [1] καὶ δρυμώδεσι τόποις, ὅπε φαίνεται δρυοκολάπτης, ἐκεῖ καὶ λύκος, ὡς Νιγίδιος [2] ἱςορεῖ. ἢ μᾶλλον, ὡς ἄλλον ἄλλε θεε, καὶ τἔτον [3] Ἄρεος ἱερὸν νομίζεσι τὸν ὄρνιν; καὶ γὰρ εὐθαρσὴς καὶ γαῦρός ἐςι, καὶ τὸ ῥύγχος ὅτως ἔχει κραταιὸν, ὥςε δρῦς ἀνατρέπειν, ὅταν κόπτων πρὸς τὴν ἐντεριώνην ἐξίκηται.

XXII. „Διὰ τί τὸν Ἰανὸν διπρόσωπον οἴονται γεγονέναι, καὶ γράφεσιν ὅτως καὶ πλάττεσιν;“ πότερον ὅτι τῷ μὲν γένει Ἕλλην ἐκ Περραιβίας ἦν, (ὡς ἱςορεσιν) διαβὰς δ᾽ εἰς Ἰταλίαν, καὶ συνοικίσας τοῖς αὐτόθι βαρβάροις, μετέβαλε καὶ γλῶτταν καὶ δίαιταν; ἢ μᾶλλον ὅτι τὲς περὶ τὴν Ἰταλίαν αὐτὸς ἀγρίοις καὶ ἀνόμοις χρωμένες ἤθεσιν εἰς ἕτερον βίε σχῆμα, πείσας καὶ γεωργεῖν καὶ πολιτεύεσθαι, μετέβαλε καὶ μετεκόσμησε;

XXIII. „Διὰ τί τὰ πρὸς τὰς ταφὰς πιπράσκεσιν ἐν τῷ τεμένει τῷ Λιβιτίνης, νομίζοντες Ἀφροδίτην εἶναι τὴν Λιβιτίνην;“ πότερον καὶ τἔτο τῶν Νεμᾶ [4], τε βασιλέως, φιλοσοφημάτων ἕν ἐςιν [5], ὅπως μανθάνωσι μὴ δυσχεραίνειν τὰ τοιαῦτα, μηδὲ φεύγειν, ὡς μιασμόν; ἢ μᾶλλον ὑπόμνησίς ἐςι τε φθαρτὸν εἶναι τὸ γενητον [6]; ὡς μιᾶς θεε τὰς γενέσεις καὶ τὰς τελευ-



1 Petav. ὑπορείοις. W. loco huic aliquid labis inesse suspicatur, licet quidem sententia non sit obscura.

2 Ald. & Bas. Νίγιδος. Xyl. correxit.

3 Petav. καὶ τε Ἄ.

4 Sic Xyl. legit pro eo, quod vitiose exhibet Ald. & Bas. τὄνομα. Petav. τῶν Νομᾶ. Steph. & rell. τε Νεμᾶ. W. recepit quoque τῶν Ν. adsentiente Mez. In Suppl. Var. Lect. Frst. mavult Collector τῶν τε Νεμᾶ.

5 Ald. & Bas. ἕνεςιν. Xyl. correxit.

6 Petav. γεννητόν.

λευτὰς ἐπισκοπέσης. καὶ γὰρ ἐν Δελφοῖς Ἀφροδίτης Ἐπιτυμβίας ἀγαλμάτιόν ἐστι [1], πρὸς ὃ τὰς κατοιχομένους ἐπὶ τὰς χοὰς ἀνακαλοῦνται.

XXIV. „Διὰ τί τρεῖς τοῦ μηνὸς ἀρχὰς προθεσμίας ἔχουσιν οὐ ταὐτὸ [2] διάστημα τῶν ἡμερῶν μεταξὺ λαμβάνοντες;" πότερον (ὡς οἱ περὶ τὸν Ἰόβαν ἱστοροῦσιν) ὅτι ταῖς καλάνδαις ἐκάλουν τὸν δῆμον οἱ ἄρχοντες, καὶ κατήγγελλον εἰς πέμπτην τὰς νόννας, εἰδοὺς δὲ ἡμέραν ἱερὰν ἐνόμιζον; ἢ μᾶλλον ὅτι ταῖς τῆς σελήνης διαφοραῖς ὁρίζοντες τὸν χρόνον, ἑώρων ἐν τρισὶ γινομένην διαφοραῖς τὴν σελήνην κατὰ μῆνα ταῖς μεγίσταις; πρώτη μὲν, ὅτε κρύπτεται, σύνοδον ποιησαμένη πρὸς ἥλιον· δευτέρα δὲ, ὅταν ἐκφυγοῦσα τὰς αὐγὰς τοῦ ἡλίου, καταφανὴς πρῶτον ἐπὶ δυσμῶν γένηται· τρίτη δὲ, τῇ περὶ τὴν πλήρωσιν αὐτῆς πανσελήνου γενομένης· ὀνομάζουσι [3] τὸν μὲν ἀφανισμὸν αὐτῆς καὶ τὴν κρύψιν Καλάνδας, ὅτι πᾶν [4] τὸ κρύφα καὶ λάθρα κλὰμ, καὶ κηλᾶρε τὸ λανθάνειν· τὴν δὲ πρώτην φάσιν [5] Νόννας τῷ δικαιοτάτῳ τῶν ὀνομάτων, νουμηνίαν οὖσαν· καὶ γὰρ αὐτοὶ νέον τὸ καινὸν [6], ὥσπερ ἡμεῖς, προσαγορεύουσι· τὰς δ' Εἰδοὺς, ἢ διὰ τὸ κάλλος καὶ τὸ εἶδος, ὁλοκλήρου καθισταμένης τῆς σελήνης, ἢ τῷ Διῒ τὴν ἐπωνυμίαν ἀπο-

1 Bas. ἀγαλμάτιόν τε haud dubie nota, qua Ald. utitur pro ἐστι, iterum male intellecta. cf. probl. XVI.

2 Haec lectio, quam W. ex E. H. Venet. Voss. Xyl. Mez. P. pro οἱ ταὐτὸ, quod vulgo legitur, se recepisse monet, jam a R. fuit data, haud dubie Xyl. & Petav. auctoritate. Nihil enim adnotatum extat.

3 Post h. v. Petav. inserit δέ.

4 Dura constructio, W. judice, subaudiendo ὀνομάζουσιν, quod lenius ac facilius subaudiatur, ὅτι mutato in ὡς.

5 Non dubitavi, cum W. Xylandrum sequi. Habent idem Pol. & Leonic. In Ald. Bas. & R. fuit φασὶ; in Steph. & Frft. φασίν. Sequens τῷ ante δικ. abest a Petav.

6 Dedi sic e W. conjectura pro vulg. τὸν νέον καὶ καινόν. Petav. αὐτοὶ τὸ νέον.

ἀποδιδόντες [1]. ἐ δεῖ δὲ τῶν ἡμερῶν τὸν ἀκριβέστατον ἀριθμὸν διώκειν, ἐδὲ τῷ παρ' ὀλίγον συκοφαντεῖν. ὅπε καὶ νῦν ἐπίδοσιν τοσαύτην ἀστρολογίας [2] ἐχέσης, περιγίνεται τῆς ἐμπειρίας τῶν μαθηματικῶν ἡ τῆς κινήσεως ἀνωμαλία διαφεύγεσα τὸν λόγον,

XXV. „Διὰ τί τὴν μετὰ καλάνδας ἡμέραν καὶ νόννας καὶ εἰδὲς ἀνέξοδον [3] καὶ ἀνεκδήμητον τίθενται;“ πότερον (ὡς οἱ πλεῖστοι νομίζεσι, καὶ Λίβιος ἱστορεῖ) μετὰ τὰς Κυϊντιλίας εἰδὲς (ἃς νῦν Ἰελίας καλεσιν) ἐξάγοντες οἱ χιλίαρχοι τὸ στράτευμα περὶ τὸν Ἀλλίαν ποταμὸν, ἐκρατήθησαν ὑπὸ Κελτῶν μάχῃ, καὶ τὴν πόλιν ἀπώλεσαν· νομιθείσης δὲ τῆς [4] μετὰ τὰς εἰδὲς ἀποφράδος προήγαγεν [5], ὥσπερ φιλεῖ, ποῤῥωτέρω τὸ ἔθος ἡ δεισιδαιμονία, καὶ κατέστησεν εἰς τὴν αὐτὴν εὐλάβειαν, τήν τε μετὰ τὰς νόννας καὶ τὴν μετὰ καλάνδας [6]; ἢ τῦτο μὲν ἔχει πολλὰς ἀντιλογίας; ἄλλῃ τε γὰρ ἡμέρᾳ τὴν μάχην ἡττήθησαν, ἣν Ἀλλιάδα διὰ τὸν ποταμὸν καλῦντες ἀφοσιῦνται, καὶ πολλῶν ἀποφράδων ἐσῶν, ἐκ ἐν παντὶ μηνὶ τὰς ὁμωνύμες παραφυλάττεσιν, ἀλλὰ ἑκάστην, ἐν ᾧ συνέτυχε· τό τε ταῖς μετὰ νόννας [7]

 καὶ

1 Secutus sum W. sic ex E. dantem. Vulgo ἐπιδιδόντες. Eodem notante, D. Lambin. ad Horat. Carm. IV. 11, 16. hujus loci summam referens: *vel ἀπὸ τῦ ἰδυάρε iduare, quod est μερίζαν, id est, dividere: idus enim διχοτομῦσι τὸν μῆνα:* tum subjungit, „*haec non reperiri in vulgatis Plutarchi codicibus.*“

2 Petav. ἀπολογίας.

3 Petav. ἐνέξοδον.

4 Recepi τῆς e correctione Mez. Vulgo abest.

5 Vulgo προσταγὲν. Mendum esse, Xyl. monuit, suspicans προῆγεν. W. e sua correctione dedit προήγαγεν, quod recepi.

6 Petav. τήν τε μετὰ νόννας καὶ καλάνδας. Idem mox ἀλογίας pro ἀντιλ.

7 Petav. νόνναις; & mox ἁπάσαις. Correxi porro vitium, quod R. e Frst. retinuerat, ἀπιθανωτάτων, ab ipso Collectore Suppl. Var. Lect. notatum & emendatum.

καὶ καλάνδας ἁπλῶς ἁπάσαις προστρίψαθαι τὴν δεισιδαιμονίαν ἀπιθανώτατον. ὅρα δὴ, μὴ, καθάπερ τῶν μηνῶν τὸν μὲν [1] πρῶτον ὀλυμπίοις θεοῖς ἱέρωσαν, τὸν δὲ δεύτερον χθονίοις, ἐν ᾧ καὶ καθαρμὲς τινας τελῦσι, καὶ τοῖς κατοιχομένοις ἐναγίζυσιν, ὕτω τῶν ἡμερῶν τὰς μὲν οἷον ἀρχὰς καὶ κυρίας, ὥσπερ εἴρηται, τρεῖς ὕσας, ἑορτασίμυς καὶ ἱερὰς ἔθεντο, τὰς δ' ἐφεξῆς δαίμοσι καὶ φθιτοῖς ἐπιφημίσαντες, ἀποφράδας καὶ ἀπράκτυς ἐνόμισαν. καὶ γὰρ Ἕλληνες ἐν τῇ νυμηνίᾳ τὺς θεὺς σεβόμενοι, τὴν δευτέραν ἥρωσι καὶ δαίμοσιν ἀποδεδώκασι, καὶ τῶν κρατήρων ὁ δεύτερος [2] ἥρωσιν ἐπικίρναται καὶ ἡρωΐσι. καὶ ὅλως ἀριθμός τις ὁ χρόνος· ἀριθμῦ δὲ θεῖον ἡ ἀρχή· μονὰς γὰρ ἐςιν. ἡ δὲ μετ' αὐτὴν δυὰς ἀντίπαλον τῇ ἀρχῇ καὶ ἀρτίων πρώτη. τὸ δ' ἄρτιον ἐνδεὲς καὶ ἀτελὲς καὶ ἀόριςον, ὥσπερ αὖ τὸ [3] περιττὸν ὥριςαι καὶ περαίνει καὶ τέλειόν ἐςι. διὸ καὶ νόνναι μὲν ἐπιβάλλυσι διὰ πέμπτης καλάνδαις, νόνναις δ' εἰδοῖ δι' ἐνάτης. ὁρίζυσι γὰρ οἱ περισσοὶ τὰς ἀρχάς· οἱ δὲ μετὰ τὰς ἀρχὰς ἄρτιοι ὄντες, ὐκ ἔχυσι τάξιν, ὐδὲ δύναμιν, ὅθεν ὐκ ἄρχονται πράξεως, ὐδ' ἀποδημίας, ἐν ταύταις. ἢ [4] καὶ τὸ τῦ Θεμιςοκλέυς ἔχει λόγον, ἐρίσαι ποτὲ τὴν ὑςεραίαν πρὸς τὴν ἑορτὴν, ἐκείνης μὲν ἀχολίαν καὶ κόπον ἐχύσης πολὺν, αὐτὴ [5] δὲ παρέχυσα μετὰ σχολῆς καὶ ἡσυχίας ἀπολαῦσαι τῶν παρεσκευασμένων πρὸς τὴν ἑορτήν. ἀποκρίναθαι [6] δὲ πρὸς ταῦτα τὴν ἑορτήν· Ἀληθῆ λέγεις· ἀλλ' ἐμῦ μὴ γενομένης, ὐδ' ἂν σὺ ἧς. Ταῦτα δὲ ὁ Θεμιςοκλῆς πρὸς τὺς αὖθις ἔλεγε ςρατηγὺς τῶν Ἀθηναίων, ὡς ὐκ ἂν ὐδαμῦ φανέν-

1 W. omittit τὸν. Petav. τὸ μὲν.
2 A Petav. absunt, quae sequuntur, ἥρωσιν — χρόνος.
3 Baf. αὐτό. Xyl. hinc se legere monet αὖ τὸ, quod recte habet Ald.
4 Dedi sic e Xyl. mente. Vulgo ῆ. W. ῇ. Petav. ἢ.
5 Codex innominatus αὕτη.
6 Petav. ἀποκρίνεσθαι.

φανέντας [1], εἰ μὴ τὴν πόλιν αὐτὸς ἔσωσεν. ἐπεὶ τοίνυν πᾶσα μὲν ἀξία σπȣδῆς ἀποδημία καὶ πρᾶξις οἰκονομίας δεῖται καὶ παρασκευῆς· Ῥωμαῖοι δὲ τοπαλαιὸν ἐν ταῖς ἑορταῖς ȣδὲν ᾠκονόμȣν, ȣδ' ἐφρόντιζον, ἀλλ' ἢ περὶ τȣς θεȣς ἠχολȣντο, καὶ τȣτο ἔπραττον, ὥσπερ ἔτι νῦν προκηρύττȣσιν οἱ ἱερεῖς, ἐπὶ τὰς θυσίας βαδίζοντες, εἰκότως εὐθὺς ȣκ ἐξεδήμȣν μετὰ τὰς ἑορτάς, ȣδ' ἔπραττον, (ἀπαράσκευοι γὰρ ἦσαν) ἀλλ' ἐκφροντίζοντες οἴκοι καὶ παρασκευαζόμενοι τὴν ἡμέραν ἐκείνην διετέλȣν. ἢ καθάπερ ἔτι νῦν προσευξάμενοι καὶ προσκυνήσαντες, ἐν τοῖς ἱεροῖς [2] ἐπιμένειν καὶ καθίζειν εἰώθασιν, ȣτως ȣκ εὐθὺς ἐπέβαλλον ταῖς ἱεραῖς ἡμέραις τὰς ἐνεργȣς, ἀλλ' ἐποίȣν τι διάλειμμα καὶ διάστημα, πολλὰ τῶν πραγμάτων [3] δυσχερῆ καὶ ἀβȣλητα φερόντων.

XXVI. „Διὰ τί λευκὰ φορȣσιν ἐν τοῖς πένθεσιν αἱ γυναῖκες ἱμάτια, καὶ λευκȣς κεκρυφάλȣς;“ πότερον ὡς τȣς μάγȣς φασὶν πρὸς τὸν ᾅδην καὶ τὸ σκότος ἀντιταττομένȣς, τῷ (δὲ [4]) φωτεινῷ καὶ λαμπρῷ συνεξομοιȣντας ἑαυτȣς, τȣτο ποιεῖν; ἤ, καθάπερ τὸ σῶμα τȣ τεθνηκότος ἀμφιεννύȣσι λευκοῖς, καὶ τȣς προσήκοντας ἀξιȣσι; τὸ δὲ σῶμα κοσμȣσιν [5] ȣτως, ἐπεὶ μὴ δύναται τὴν ψυχήν. βȣλονται δ' ἐκείνην λαμπρὰν καὶ καθαρὰν προπέμπειν, ὡς ἀφειμένην ἤδη καὶ διηγωνισμένην μέγαν ἀγῶνα καὶ ποικίλον. ἤ, τὸ μὲν λιτὸν ἐν τȣτοις μάλιστα καὶ τὸ ἁπλȣν πρέπει; τῶν δὲ βαπτῶν τὰ μὲν καὶ πολυτέλειαν ἐμφαίνει, τὰ δὲ περιεργίαν. ȣ γὰρ ἧττόν ἐστι πρὸς τὸ μέλαν, ἢ τὸ ἀλȣργόν, εἰπεῖν, δολερὰ μὲν τὰ εἵματα, δολερὰ δὲ τὰ χρώματα [6]. τὸ δ' αὐτο-



1 Dedi ſic e Petav. Vulgo φαvέντας.

2 Petav. ἱερεῖς, vitio huic codici frequentiſſimo; item ἐπιμένει.

3 i. e. W. monente, *illo, qui tunc erat, reipublicae ſtatu, bellis ac turbis agitato*.

4 Partic. δὲ, quam uncis incluſi, Xyl. jure omittit.

5 Petav. κοσμῶσιν. Id. τῶν δὲ καπνῶν pro τῶν δὲ βαπτῶν.

6 E Poëta locus hic deſumtus eſſe videtur Kaltw.

αὐτόχρουν μέλαν, οὐχ ὑπὸ τέχνης, ἀλλὰ φύσει, βαπτόν ἐστι, καὶ μεμιγμένον τῷ σκιώδει κέκραται [1]. μόνον οὖν τὸ λευκὸν εἰλικρινὲς καὶ ἀμιγὲς καὶ ἀμίαντόν ἐστι καὶ βαφῇ [2] ἀμίμητον· οἰκειότατον οὖν τοῖς θαπτομένοις. καὶ γὰρ ὁ τεθνηκὼς ἁπλοῦν τι γέγονε καὶ ἀμιγὲς καὶ καθαρὸν ἀτεχνῶς, οὐδὲν ἀλλ' ἢ φαρμάκου δευσοποιοῦ, τοῦ σώματος ἀπηλλαγμένος. ἐν δ'. Ἄργει λευκὰ φοροῦσιν ἐν τοῖς πένθεσιν, ὡς Σωκράτης φησὶν, ὑδατόκλυστα.

XXVII. „Διὰ τί πᾶν τεῖχος ἀβέβηλον καὶ ἱερὸν νομίζουσι, τὰς δὲ πύλας οὐ νομίζουσιν;“ ἢ, (καθάπερ ἔγραψε Βάῤῥων) τὸ μὲν τεῖχος ἱερὸν δεῖ νομίζειν, ὅπως ὑπὲρ αὐτοῦ μάχωνται προθύμως καὶ ἀποθνήσκωσιν; οὕτω γὰρ δοκεῖ καὶ Ῥωμύλος ἀποκτεῖναι τὸν ἀδελφὸν, ὡς ἄβατον καὶ ἱερὸν τόπον ἐπιχειροῦντα διαπηδᾷν, καὶ ποιεῖν ὑπέρβατον καὶ βέβηλον. τὰς δὲ πύλας οὐχ οἷόν τ' ἦν ἀφιερῶσαι, δι' ὧν ἄλλα τε πολλὰ τῶν ἀναγκαίων καὶ τοὺς νεκροὺς ἐκκομίζουσιν. ὅθεν οἱ πόλιν ἀπ' ἀρχῆς κτίζοντες, ὅσον ἂν μέλλωσι τόπον ἀνοικοδομεῖν, ἐπίασιν ἀρότρῳ, βοῦν ἄῤῥενα καὶ θήλειαν ὑποζεύξαντες. ὅταν τε τὰ τείχη περιορίζωσι, τὰς τῶν πυλῶν χώρας διαμετροῦντες, τὴν ὕννιν ὑφαιροῦσι, καὶ μεταφέρουσιν οὕτω τὸ ἄροτρον, ὡς τὴν ἀρουμένην πᾶσαν ἱερὰν καὶ ἄσυλον ἐσομένην.

XXVIII. „Διὰ τί τοὺς παῖδας, ὅταν ὀμνύωσι τὸν Ἡρακλέα, κωλύουσιν [3] ὑπὸ στέγῃ τοῦτο ποιεῖν, καὶ κελεύουσιν εἰς ὕπαιθρον προϊέναι;“ πότερον (ὡς ἔνιοι λέγουσιν) οὐκ οἰκουρίᾳ τὸν Ἡρακλέα χαίρειν, ἀλλὰ ὑπαίθρῳ βίῳ καὶ θυραυλίαις νομίζοντες; ἢ μᾶλλον, ὅτι τῶν θεῶν

1 Petav. E. Voss. κεκράτηται, quod item bonum est, W. judice.

2 Xyl. sum secutus Vulgo βαφῇ καὶ ἀμ. Pro ἀμίμητον Mez. corrigit ἄμικτον. Pro ἀμίαντον Petav. εὐμίαντον. Idem infra ἀπηλαγμένοι.

3 Pro κωλ. Petav. καὶ λύουσι. Id. mox θηραυλίαις cum Bas.

θεῶν ἐκ ἐπιχώριος ἐτος, ἀλλὰ πόῤῥωθεν [1] ξένος; ἐδὲ γὰρ τὸν Διόνυσον ὀμνύεσιν ὑπὸ σέγῃ, ξένον ὄντα καὶ αὐτόν· (εἴπερ ἐςὶ Διόνυσος [2].) ἢ ταῦτα μὲν λέγεται καὶ παίζεται πρὸς τὲς παῖδας, ἄλλως [3] δ' ἐπίσχεσίς ἐςι τῆς πρὸς τὸν ὅρκον εὐχερείας καὶ ταχυτῆτος [4] τὸ γινόμενον, ὡς Φαβωρῖνος ἔλεγε. τὸ γὰρ ὥσπερ ἐκ παρασκευῆς μέλλησιν ἐμποιεῖ, καὶ βελεύσασθαι δίδωσι. συμβάλλοιτο δ' ἄν τις τῷ Φαβωρίνῳ, πρὸς τὸ μὴ κοινὸν, ἀλλὰ ἴδιον εἶναι τε̃ θεε̃ τέτε τὸ γινόμενον ἐκ τῶν περὶ Ἡρακλέες λεγομένων. ἱςορεῖται γὰρ ἔτως εὐλαβὴς γεγονέναι πρὸς ὅρκον, ὥςε ἅπαξ ὀμόσαι καὶ μόνῳ Φυλεῖ τῷ Αὐγέε. διὸ καὶ τὴν Πυθίαν προφέρειν τὰ ὅρκια ταῦτα Λακεδαιμονίοις, ὡς ἐμπεδε̃σι λῷον εἴη καὶ ἄμεινον.

XXIX. „Διὰ τί τὴν γαμεμένην ἐκ ἐῶσιν αὐτὴν ὑπερβῆναι τὸν ἐδὸν τῆς οἰκίας, ἀλλ' ὑπεραίρεσιν οἱ προπέμποντες; πότερον ὅτι τὰς πρώτας γυναῖκας ἁρπάσαντες, ἔτως εἰσήνεγκαν, αὐταὶ δὲ ἐκ εἰσῆλθον; ἢ βέλονται δοκεῖν εἰσιέναι βιαζομένας, ἐχ ἑκέσας, ὅπε μέλλεσι διαλύειν τὴν παρθενίαν; ἢ σύμβολόν ἐςι τε̃ μηδὲ ἐξιέναι [5] δι' αὐτῆς, μηδὲ καταλιπεῖν τὴν οἰκίαν, εἰ μὴ βιαθείη, καθάπερ καὶ εἰσῆλθε βιαθεῖσα; καὶ γὰρ παρ' ἡμῖν ἐν Βοιωτίᾳ καίεσι πρὸ τῆς θύρας τὸν ἄξονα τῆς ἁμά-



1 Post h. v. Petav. inserit καὶ. Id. mox ὑπὸ σέγην cum Ald. & Baf.

2 Omisit Xyl. εἴπ. ἐ. Δ. Eum sequitur Kaltw. Bene monet W. fuisse forte notulam ab aliena manu in margine positam, & deinde in contextum receptam: *siquidem Romanorum Bacchus idem est qui Graecorum Dionysus.* Hinc uncis inclusi.

3 W. mavult ἄλλως cum antecedentibus jungi, & corrigi ἄλλως, ἀληθῶς δὲ ἐπισχ. vel ἄλλως, ἐπίσχεσις δὲ, vel voce ἄλλως deleta, reponi ἀληθῶς δ. ἐ.

4 Petav. ταχύτητος. Favorinus, philosophus & historicus, Plutarcho aequalis. Petav. mox Φαβωρίῳ.

5 Petav. διεξιέναι.

ἁμάξης, ἐμφαίνοντες δεῖν τὴν νύμφην ἐμμένειν [1] ὡς ἀνῃρημένου τοῦ ἀπάξοντος.

XXX. „Διὰ τί τὴν νύμφην εἰσάγοντες, λέγειν κελεύουσιν· Ὅπου σὺ Γάϊος [2], ἐγὼ Γαΐα;“ πότερον, ὥσπερ ἐπὶ ῥητοῖς εὐθὺς εἴσεισι τῷ κοινωνεῖν ἁπάντων καὶ συνάρχειν, καὶ τὸ μὲν δηλούμενόν ἐστιν· Ὅπου σὺ κύριος καὶ οἰκοδεσπότης, καὶ ἐγὼ κυρία καὶ οἰκοδέσποινα· τοῖς δ' ὀνόμασι τούτοις ἄλλως [3] κέχρηνται κοινοῖς οὖσιν, ὥσπερ οἱ νομικοὶ Γάϊον, Σήϊον, καὶ Λούκιον, Τίτιον, καὶ οἱ φιλόσοφοι Δίωνα καὶ Θέωνα παραλαμβάνουσιν; ἢ διὰ Γαΐαν Κεκιλίαν καλὴν καὶ ἀγαθὴν γυναῖκα τῶν Ταρκυνίου παίδων ἑνὶ συνοικήσασαν, ἧς ἐν τῷ τοῦ Σάγκτου [4] ἱερῷ χαλκοῦς ἀνδριὰς ἕστηκεν; ἔκειτο δὲ πάλαι καὶ σανδάλια καὶ ἄτρακτοι, τὸ μὲν, οἰκουρίας αὐτῆς, τὸ δὲ, ἐνεργείας σύμβολον.

XXXI. „Διὰ τί ὁ πολυθρύλλητος ᾄδεται Ταλάσιος ἐν τοῖς γάμοις;“ πότερον ἀπὸ τῆς ταλασίας; καὶ γὰρ τὸν τάλαρον τάλαντον [5] ὀνομάζουσι· καὶ τὴν νύμφην εἰσάγοντες, νάκος ὑποστρωννύουσιν· αὐτὴ δ' εἰσφέρει μὲν ἠλακάτην καὶ τὴν ἄτρακτον, ἐρίῳ δὲ τὴν θύραν περι-

1 Dedi fic cum W. ex Petav. E. H. Voff. Vertit idem Xyl. & in fcriptis ita legi monuit B. Briffon. de Ritu Nupt. p. 327. Mez. & Valckenar. ad Herod. IV. 114. item correxerunt.

2 Petav. Γαΐς; item εἴσι pro εἴσεισι.

3 *improprie*, *ufurpative*, ut Xyl. monet, qui fic correxit vitium Ald. & Baf. ἄλλοις, quod etiam e Petav. notatur, fimul habente κέχρηται pro κέχρηνται.

4 Pluribus Xyl. probat, *Sanctum* recte legi. Alii hunc Deum dicunt *Sangum* cum *Semonis* cognomento, a Sabinis primo cultum, & deinde ab iisdem Romam translatum. Idem fuiffe videtur cum Deo Fidio & Hercule Grajorum.

5 Vox corrupta, pro qua Xyl. legit τάλασον, ut ad Talafii vocem aditus fit accommodatus, Romanis praefertim literam ρ in σ nonnunquam mutantibus. W. legendum putat ταλασσίονα vel ταλάσσιον ex Varrone ap. Feftum Voc. Talaffionem. Cf. B. Briffon. de ritu nupt. p. 333.

περιςέφει τῦ ἀνδρός. ἢ τὸ λεγόμενον ὑπὸ τῶν ἱςορικῶν, ἀληθὲς, ὅτι νεανίσκος ἦν τις λαμπρὸς ἐν τοῖς πολεμικοῖς καὶ τἄλλα χρηςὸς, ὄνομα Ταλάσιος [1]. ἐπεὶ δὲ ἥρπαζον οἱ Ῥωμαῖοι τὰς τῶν Σαβίνων θυγατέρας ἐλθέσας ἐπὶ θέαν, ἐκομίζετο τῷ Ταλασίῳ παρθένος ἐκπρεπὴς [2] τὴν ὄψιν ὑπὸ δημοτικῶν τινῶν καὶ πελατῶν [3] τῦ Ταλασίε, βοώντων ὑπὲρ ἀσφαλείας, καὶ τῦ μηδένα πελάζειν, μηδὲ ἀντιλαμβάνεσθαι τῆς παιδὸς, ὡς Ταλασίῳ γυνὴ φέροιτο. τιμῶντες ὖν οἱ λοιποὶ τὸν Ταλάσιον, καὶ συνευχόμενοι καὶ συνευφημῦντες, εἵποντο καὶ παρέπεμπον· ὅθεν, εὐτυχῦς γάμυ γενομένυ, καὶ τοῖς ἄλλοις εἰθίσθησαν ἐπιφωνεῖν τὸν Ταλάσιον, ὥσπερ Ἕλληνες τὸν Ὑμέναιον.

XXXII. „Διὰ τί τῦ Μαΐυ μηνὸς [4] ἀπὸ τῆς ξυλίνης γεφύρας εἴδωλα ῥιπτῦντες ἀνθρώπων εἰς τὸν ποταμὸν Ἀργείυς τὰ ῥιπτόμενα καλῦσιν;“ ἢ τοπαλαιὸν οἱ περὶ τὸν τόπον οἰκῦντες βάρβαροι τὺς ἁλισκομένυς Ἕλληνας ὕτως ἀπώλλυσαν. Ἡρακλῆς δὲ θαυμασθεὶς ὑπ' αὐτῶν, ἔπαυσε μὲν τὴν ξενοκτονίαν, ἐδίδαξε δὲ τὸ ἔθος καὶ τὴν δεισιδαιμονίαν ἀπομιμυμένυς εἴδωλα ῥιπτεῖν; Ἀργείυς δὲ τὺς Ἕλληνας οἱ παλαιοὶ πάντας ὁμαλῶς προσηγόρευον. εἰ μὴ νὴ Δία τῶν Ἀρκάδων πολεμίυς καὶ τὺς Ἀργείυς διὰ τὴν γειτνίασιν ἡγυμένων, οἱ περὶ Εὔανδρον ἐκ τῆς Ἑλλάδος φυγόντες καὶ κατοικήσαντες αὐτόθι, τὴν μνησικακίαν καὶ τὴν ἔχθραν διεφύλαττον.

XXXIII. „Διὰ τί τοπαλαιὸν ὐκ ἐδείπνυν ἔξω χωρὶς τῶν υἱῶν, ἔτι τὴν παιδικὴν ἡλικίαν ἐχόντων;“ ἢ

1 Frst. & R. Σαλάσιος. Correxi ex edd. prioribus & Petav. Cf. Plut. Vol. I. Vita Romul. c. 14. 15. Liv. I. 9.

2 Dedi sic ex Ald. Bas. & Petav. pro vulg. εὐπρεπὴς, quod e Steph. prodiit. Recepit idem W. adsentientibus Venet. Voss.

3 Recepi πελατῶν, quod W. scribendum monuit, pro vulg. πελαςῶν. Petav. corruptius πελτταςῶν.

4 Petav. post h. v. addit περὶ τὴν πανσέληνον.

ἢ τῦτο μὲν καὶ Λυκῦργος εἴθισε [1], τὺς παῖδας ἐπεισάγων τοῖς Φιδιτίοις, ὅπως ἐθίζωνται μὴ θηριωδῶς, μηδ' ἀτάκτως, ἀλλὰ μετ' εὐλαβείας ταῖς ἡδοναῖς προσφέρεσθαι, τὺς πρεσβυτέρυς οἷον ἐπισκόπυς καὶ θεατὰς ἔχοντες; ἐκ ἔλαττον δὴ τῦτο καὶ τὺς πατέρας αὐτὺς μᾶλλον αἰδεῖσθαι, καὶ σωφρονεῖν τῶν υἱῶν παρόντων. ὅπε γὰρ ἀναισχυντῦσι γέροντες, (ὥς φησιν ὁ Πλάτων) ἐνταῦθα ἀνάγκη καὶ νέυς ἀναισχυντοτάτυς εἶναι.

XXXIV. „Διὰ τί, τῶν ἄλλων Ῥωμαίων ἐν τῷ Φεβρυαρίῳ μηνὶ ποιυμένων χοὰς καὶ ἐναγισμὺς τοῖς τεθνηκόσι, Δέκιμος Βρῦτος (ὡς Κικέρων [2] ἱςόρηκεν) ἐν τῷ Δεκεμβρίῳ τῦτ' ἔπραττεν; (ἦν δὲ ὗτος ὁ Λυσιτάνειαν ἐπελθὼν, καὶ πρῶτος ἐπέκεινα ςρατῷ διαβὰς τὸν τῆς Λήθης ποταμὸν)" πότερον, ὥσπερ ἡμέρας ληγύσης καὶ μηνὸς φθίνοντος εἰώθασιν ἐναγίζειν οἱ πολλοὶ, λόγον ἔχει, καὶ τῦ ἐνιαυτῦ καταςρέφοντος, ἐν τῷ τελευταίῳ μηνὶ τιμᾶν τὺς τεθνηκότας; ἔςι δὲ τῶν μηνῶν τελευταῖος ὁ Δεκέμβριος. ἢ χθονίων μὲν αἱ [3] τιμαὶ θεῶν, τιμᾶν δὲ τὺς χθονίυς ὡραῖόν ἐςι, τῶν καρπῶν ἁπάντων εἰληφότων συντέλειαν; ἢ, ὅτε [4] κινῦσι τὴν γῆν ἀρχόμενοι σπόρυ, μεμνῆσθαι μάλιςα τῶν κάτω προσήκει; ἢ Κρόνῳ μὲν ὗτος ὁ μὴν ὑπὸ Ῥωμαίων καθιέρωται, Κρόνον δὲ τῶν κάτω θεῶν, ὐ τῶν ἄνω νομίζυσιν; ἢ μεγίςης αὐτοῖς ἑορτῆς τῶν κρονίων καθεςώσης, καὶ συνυσίας τε πλείςας καὶ ἀπολαύσεις ἔχειν δοκύσης, ἔδοξε καὶ ταύτης ἀπονέμειν τινὰς ἀπαρχὰς τοῖς τεθνηκόσιν; ἢ τῦτο, μόνον Βρῦτον ἐναγίζειν [5] ἐν τῷ μηνὶ τύτῳ, καθόλυ ψεῦδός ἐςι; καὶ

1 Petav. ἔθισε, & mox ἔχοντας pro ἔχοντες. Ald. τοῖς Φιτιδίοις pro τοῖς Φιδίτ.

2 de Leg. II, 21.

3 Petav. χθονίων μὲν τιμαὶ, & pro seq. τιμᾶν dat τιμῆς.

4 Petav. ὅτι

5 W. corrigendum fuspicatur ἢ, τὸ μόνον Β. ἐναγίσαι.

καὶ γὰρ τῇ Λαρεντίᾳ ποιῦσι τὸν ἐναγισμὸν, καὶ χοὰς ἐπιφέρυσιν ἐπὶ τὸν τάφον [1], τῦ Δεκεμβρίυ μηνός.

XXXV. „Διὰ τί δὲ [2] τὴν Λαρεντίαν, ἑταίραν γεγενημένην, ὕτω τιμῶσιν;“ ἄλλην γὰρ εἶναι Λαρεντίαν Ἄκκαν ἱςορῦσι, τὴν Ῥωμύλυ τροφὸν, ἣν τῷ Ἀπριλλίῳ μηνὶ τιμῶσι. τῇ δὲ ἑτέρᾳ Λαρεντίᾳ Φαβόλαν ἐπίκλησιν εἶναι λέγυσιν. ἐγνωρίσθη δὲ διὰ τοιαύτην αἰτίαν. ζάκορός τις Ἡρακλέυς, ὡς ἔοικεν, ἀπολαύων σχολῆς, ἔθος εἶχεν ἐν πετ]οῖς καὶ κύβοις τὰ πολλὰ διημερεύειν· καί ποτε τῶν εἰωθότων παίζειν σὺν αὐτῷ καὶ μετέχειν τῆς τοιαύτης διατριβῆς, κατὰ τύχην μηδενὸς παρόντος, ἀδημονῶν, τὸν θεὸν πρυκαλεῖτο διαβαλέσθαι τοῖς κυβοις πρὸς αὐτὸν, ὥσπερ ἐπὶ ῥητοῖς. νικήσας μὲν, εὑρέσθαι τι παρὰ τῦ θεῦ χρηςόν· ἂν δὲ λειφθῇ, δεῖπνον αὐτὸς τῷ θεῷ παρασχεῖν, καὶ μείρακα [3] καλὴν συναναπαυσομένην. ἐκ τύτυ δὲ τὺς [4] κύβυς προθέμενος, τὴν μὲν ὑπὲρ ἑαυτῦ, τὴν δὲ ὑπὲρ τῦ θεῦ βαλὼν ἐλείφθη. ταῖς ὖν προκλήσεσιν ἐμμένων, τράπεζάν τε λαμπροτέραν παρεσκεύασε τῷ θεῷ, καὶ τὴν Λαρεντίαν παραλαβὼν ἐμφανῶς ἑταιρῦσαν εἱςίασε, καὶ κατέκλινεν ἐν τῷ ἱερῷ, καὶ τὰς θύρας ἀπιὼν ἔκλεισε. λέγεται δὲ νύκ]ωρ ἐντυχεῖν αὐτῇ τὸν θεὸν ὀκ ἀνθρωπίνως, καὶ κελεῦσαι βαδίζειν ἕωθεν [5] εἰς ἀγορὰν, ᾧ δ' ἂν ἐντύχῃ πρώτῳ, προσέχειν μάλιςα καὶ ποιεῖσθαι φίλον. ἀναςᾶσαν ὖν τὴν Λαρεντίαν βαδίζειν, καὶ συντυχεῖν τινι τῶν πλυσίων, ἀγάμων δὲ καὶ παρηκμακότων, ὄνομα Ταῤῥυντίῳ [6]. γνωρισθεῖσαν δὲ τύτῳ, καὶ ζῶντος, ἄρχειν τῦ οἴκυ, καὶ κλη-

1 Ald. & Baſ. τάρον. Xyl. correxit.

2 abeſt δὲ a Petav. Infra id. εἰωθώτων.

3 Petav. μειράκιον.

4 Petav. τῦ, Colleſtore Var. Leſt. judice, male, niſi ſubaudiatur χρόνυ, ad illudque & antecedens τύτυ, non κύβυς referatur.

5 Petav. ἔξωθεν; & ἐνετύχῃ pro ſeq. ἐντύχῃ.

6 Petav. Ταῤῥυτίῳ.

κληρονομῆσαι, τελευτήσαντος· ὕστερον δὲ χρόνοις αὐτὴν τελευτῶσαν τῇ πόλει τὴν ἐσίαν ἀπολιπεῖν, διὸ τὰς τιμὰς ἔχειν ταύτας.

XXXVI. „Διὰ τί πύλην μίαν θυρίδα καλῦσι, (τὴν γὰρ Φαινέστραν τῦτο σημαίνειν) καὶ παρ' αὐτὴν ὁ καλύμενος τύχης θάλαμός ἐστι;" πότερον ὅτι Σέρβιος ὁ βασιλεὺς εὐτυχέστατος γενόμενος, δόξαν ἔσχε τῇ τύχῃ συνεῖναι Φοιτώσῃ διὰ θυρίδος πρὸς αὐτόν; ἢ τῦτο μὲν μῦθός ἐστιν· ἐπεὶ δὲ Ταρκυνίε Πρίσκε τῦ βασιλέως ἀποθανόντος ἡ γυνὴ Τανακυλλὶς, ἔμφρων ἔσα καὶ βασιλικὴ, διὰ θυρίδος προκύψασα τοῖς πολίταις ἐνέτυχε, καὶ συνέπεισεν ἀποδεῖξαι βασιλέα τὸν Σέρβιον, ἔσχε ταύτην ὁ τόπος τὴν ἐπωνυμίαν;

XXXVII. „Διὰ τί τῶν τοῖς θεοῖς ἀνατιθεμένων μόνα τὰ σκῦλα νενόμισται περιορᾷν ἀφανιζόμενα τῷ χρόνῳ, καὶ μήτε προσκυνεῖν [1], μήτ' ἐπισκευάζειν;" πότερον ἵνα τὴν δόξαν οἰόμενοι τοῖς πρώτοις [2] συνεκλιπεῖν, ἀεί τι πρόσφατον ὑπόμνημα τῆς ἀρετῆς ζητῶσι κομίζειν; ἢ μᾶλλον, ὅτι τῦ χρόνυ τὰ σημεῖα τῆς πρὸς τὺς πολεμίυς διαφορᾶς ἀμαυρῦντος, αὐτὺς ἀναλαμβάνειν καὶ καινοποιεῖν ἐπίφθονόν ἐστι [3] καὶ φιλαπεχθῆμον. ὐδὲ γὰρ παρ' Ἕλλησιν οἱ πρῶτοι λίθινον καὶ χαλκῦν στήσαντες τρόπαιον εὐδοκιμῦσι.

XXXVIII. „Διὰ τί Κόϊντος Μέτελλος, ἀρχιερεὺς γενόμενος, καὶ τἆλλα δοκῶν φρόνιμος εἶναι καὶ πολιτικὸς ἀνὴρ, ἐκώλυεν οἰωνίζεσθαι μετὰ τὸν Σεξτίλιον μῆνα, τὸν νῦν Αὔγυστον προσαγορευόμενον;" πότερον ὅτι καθάπερ ἡμέρας ἀκμαζύσης ἢ ἀρχομένης πράττομεν τα τοιαῦτα, καὶ μηνὸς ἱσταμένυ καὶ αὐξομένυ, τὰς δὲ ἀποκλίνυσας ὡς ἀχρηματίστυς φυλαττόμεθα· παραπλησίως τὸν

[1] W. cum Xyl. suspectam habet hanc vocem, forte pro προσκαινῦν vel προσκονιᾷν male datam.

[2] Turn. & Petav. τοῖς τρόποις.

[3] Petav. ἐπίφθόν ἐστι, & in seq. φιλαπευθῆμον.

τὸν μετὰ μῆνας ὀκτὼ χρόνον, ὥσπερ ἑσπέραν τινὰ τοῦ ἐνιαυτοῦ καὶ δείλην ἀποκλίνοντος ἤδη καὶ φθίνοντος νομίζειν [1]; ἢ καὶ τοῖς ὄρνισι χρηστέον ἀκμαίοις καὶ τελείοις; εἰσὶ δὲ πρὸ τοῦ θέρους τοιοῦτοι· περὶ δὲ τὸ φθινόπωρον [2] οἱ μὲν ἀσθενεῖς καὶ νοσώδεις, οἱ δὲ νεοσσοὶ καὶ ἀτελεῖς, οἱ δὲ παντάπασι φροῦδοι διὰ τὴν ὥραν ἐκτοπίζοντες.

XXXIX. „Διὰ τί τοῖς μὴ στρατευομένοις μὲν, ἐν στρατοπέδῳ δ' ἄλλως ἀναστρεφομένοις οὐκ ἐξῆν ἄνδρα βαλεῖν πολέμιον, οὐδὲ τρῶσαι;“ (καὶ τοῦτο Κάτων ὁ πρεσβύτης ἐν ἐπιστολῇ τινι δεδήλωκε, γράφων πρὸς τὸν υἱὸν καὶ κελεύων [3], εἰ παρεθείη τῆς στρατείας ἀποπληρώσας τὸν χρόνον, ὑποστρέφειν· ἢ προσμένοντα, λαβεῖν παρὰ τοῦ στρατηγοῦ τὸ ἐξεῖναι τρῶσαι καὶ ἀνελεῖν πολέμιον) πότερον ὅτι τὴν ἀνάγκην μόνην ἐξουσίαν εἶναι δεῖ τοῦ ἀνελεῖν ἄνθρωπον· ὁ δ' ἄνευ νόμου καὶ προστάγματος τοῦτο ποιῶν, ἀνδροφόνος ἐστί; διὸ καὶ Χρυσάνταν ἐπῄνεσεν ὁ Κῦρος, ὅτι μέλλων ἀναιρεῖν πολέμιον, καὶ τὴν κοπίδα διῃρμένος, ἀκούσας τὸ ἀνακλητικὸν, ἀφῆκε τὸν ἄνδρα, καὶ οὐκ ἔπαισεν, ὡς κεκωλυμένος. ἢ δεῖ τὸν συνιστάμενον πολεμίοις καὶ μαχόμενον, ἂν ἀποδειλιάσῃ, μὴ ἀνυπεύθυνον εἶναι, μηδ' ἀθῷον; οὐ γὰρ οὕτω βαλών τινα καὶ τρώσας ὠφέλησεν, ὡς φυγὼν καὶ ἀναχωρήσας ἔβλαψεν. ὁ μὲν οὖν ἀφειμένος στρατείας, ἀπήλλακται [4] τῶν στρατιωτικῶν νόμων· ὁ δ' αἰτησάμενος τὸ πράττειν τὰ τῶν στρατευομένων, πάλιν ἑαυτὸν ὑπεύθυνον τῷ νόμῳ καὶ τῷ στρατηγῷ δέδωκεν.

XL. „Διὰ τί τῷ ἱερεῖ τοῦ Διὸς οὐκ ἔξεστιν ἐν ὑπαίθρῳ ἀλείφεσθαι;“ πότερον ὅτι καὶ παῖδας γυμνοῦσθαι, πατρὸς ὁρῶντος, καὶ πενθεροῦ γαμβρὸν, οὐχ ὅσιον ἦν, οὐδὲ κα-

1 Mez. & W. monent, excidisse δεῖ, vel tale quid.
2 Petav. φθινόπορον.
3 Petav. βουλεύων.
4 Petav. ἀπηλλάκται.

καλόν· οὐδὲ συνελέοντο τοπαλαιὸν ἀλλήλοις; πατὴρ δὲ ὁ Ζεὺς, καὶ τὸ ἐν ὑπαίθρῳ μάλιςά πως εἶναι δοκεῖ τοῦ Διὸς ἐνώπιον; ἤ, καθάπερ ἐν ναῷ καὶ ἱερῷ γυμνοῦν ἑαυτὸν ἀθέμιτόν ἐςιν, οὕτω τὸν ὕπαιθρον ἀέρα καὶ τὸν ὑπουράνιον, ὄντα [1] καὶ θεῶν καὶ δαιμόνων μεςὸν ἐξευλαβοῦντο; διὸ καὶ τὰ πολλὰ τῶν ἀναγκαίων ὑπὸ ςέγη δρῶμεν ἐπικρυπτόμενοι καὶ ἐπικαλυπτόμενοι ταῖς οἰκίαις πρὸς τὸ θεῖον· ἢ [2] τὰ μὲν μόνῳ τῷ ἱερεῖ, τὰ δὲ πᾶσιν ὑπὸ τοῦ νόμου προστέτακται διὰ τοῦ ἱερέως; διὸ καὶ παρ' ἡμῖν τὸ μὲν ςεφανηφορεῖν καὶ κομᾶν καὶ μὴ [3] σιδηροφορεῖν, μηδὲ τοῖς Φωκέων ὅροις ἐμβαίνειν, ἴδια λειτουργήματα τοῦ ἄρχοντός ἐςι. τὸ δ' ὀπώρας μὴ γεύεσθαι πρὸ ἰσημερίας μετοπωρινῆς, μηδ' ἄμπελον τέμνειν πρὸ ἰσημερίας ἐαρινῆς, ὁμοῦ τι πᾶσι δηλοῦται διὰ τοῦ ἄρχοντος. ἑκατέρου γὰρ ὁ καιρὸς ἐκεῖνός ἐςι. τὸν αὐτὸν οὖν τρόπον, ὡς ἔοικε, καὶ τοῦ παρὰ Ῥωμαίοις ἱερέως ἴδιόν ἐςι τὸ μήτε ἵππῳ χρῆσθαι, μήτε πλείονας νύκτας ἀποδημεῖν τριῶν, μήτ' ἀποτίθεσθαι τὸν πῖλον, ἀφ' οὗ καὶ Φλάμεν κέκληται. Πολλὰ δ' ἄλλα δηλοῦται πᾶσι διὰ τοῦ ἱερέως· ὧν ἕν ἐςι καὶ τὸ ἐν ὑπαίθρῳ μὴ ἀλείφεσθαι. τὸ γὰρ ξηραλοιφεῖν ὑφεωρῶντο Ῥωμαῖοι σφόδρα, καὶ τοῖς Ἕλλησιν οἴονται μηδὲν οὕτως αἴτιον δουλείας γεγονέναι καὶ μαλακίας, ὡς τὰ γυμνάσια καὶ τὰς παλαίςρας, πολὺν ἄλυν καὶ σχολὴν ἐντεκούσας ταῖς πόλεσι καὶ κακοσχολίαν [4], καὶ τὸ παιδεραςεῖν, καὶ τὸ διαφθείρειν τὰ σώματα τῶν νέων ὕπνοις καὶ περιπάτοις καὶ κινήσεσιν εὐρύ-

1 Distinxi sic cum W. cum vulgo ὄντα ad praecedentia refertur. Ald. ὁ τὰ pro ὄντα; in Voss. plane deest. Mavult quidem W. ὄντα post μεςὸν poni, & conjecit aliquando ἅτε.

2 Recipiendo ἤ, quod vulgo abest, Xyl. mentem sum secutus: tertiam enim caussam afferri nobis liquet. Idem supplevit Mez. & probat W. licet ipse ex E. sumserit καί.

3 Sic Mez. corrigi voluit, & dedi, accedente simul Xylandreae versionis auctoritate. Vulgo abest μή.

4 W. mavult ἀδολεσχίαν.

εὐρύθμοις καὶ διαίταις ἀκριβέσιν, ὑφ' ὧν ἔλαθον ἐκρυέντες τῶν ὅπλων, καὶ ἀγαπήσαντες ἀνθ' ὁπλιτῶν καὶ ἱππέων ἀγαθῶν, εὐτράπελοι καὶ παλαιςρῖται καὶ καλοὶ λέγεσθαι. Ταῦτα γῦν [1] ἔργον ἐςὶν ἀποφυγεῖν εἰς ὕπαιθρον ἀποδυομένους. οἱ δὲ κατ' οἰκίαν ἀλειφόμενοι καὶ θεραπεύοντες ἑαυτοὺς, οὐδὲν ἁμαρτάνουσι.

XLI. „Διὰ τί τὸ παλαιὸν νόμισμα, πῆ μὲν εἶχεν Ἰανοῦ διπρόσωπον εἰκόνα, πῆ δὲ πλοίου πρύμναν, ἢ πρῶραν ἐγκεχαραγμένην;" πότερον (ὡς οἱ πολλοὶ λέγουσιν) ἐπὶ τιμῇ Κρόνου [2] πλοίῳ διαπεράσαντος εἰς Ἰταλίαν; ἢ τοῦτο μὲν ἐςιν ἐπὶ πολλῶν λέγειν; (καὶ γὰρ Ἰανὸς καὶ Εὔανδρος καὶ Αἰνείας ἐκ θαλάττης προσεκομίσθησαν) ἐκεῖνο δ' ἄν τις μᾶλλον εἰκάσειεν, ὅτι τὰ μὲν καλὰ ταῖς πόλεσίν ἐςι, τὰ δ' ἀναγκαῖα· καὶ μέγιςον τῶν μὲν καλῶν, ἡ [3] εὐνομία, τῶν δ' ἀναγκαίων ἡ εὐπορία. ἐπεὶ τοίνυν εὐκοσμίαν μὲν Ἰανὸς κατέςησεν αὐτοῖς, ἐξημερώσας τὸν βίον, ἀφθονίαν δὲ παρέχει τῶν ἀναγκαίων ὁ ποταμὸς πλώϊμος ὢν, καὶ τὰ μὲν ἐκ θαλάττης, τὰ δ' ἀπὸ τῆς χώρας κατακομίζων, σύμβολον ἔσχε τὸ νόμισμα, τοῦ μὲν νομοθέτου, τὸ δίμορφον, ὡς εἴρηται, διὰ τὴν μεταβολήν· τοῦ δὲ ποταμοῦ, πορθμεῖον. ἑτέρῳ δ' ἐχρήσαντο νομίσματι βοῦν ἔχοντι καὶ πρόβατον καὶ ὗν παράσημον, εὐποροῦντες ἀπὸ τῶν θρεμμάτων μάλιςα, καὶ τὴν περιουσίαν ἀπὸ τούτων ἔχοντες. διὸ καὶ τῶν ὀνομάτων πολλὰ τοῖς παλαιοῖς, Συέλλιοι [4] καὶ Βουβολκοὶ καὶ Πόρκιοι ἦσαν, ὡς Φαινεςέλλας εἴρηκεν.

XLII. „Διὰ τί τῷ τοῦ Κρόνου ναῷ χρῶνται ταμείῳ τῶν δημοσίων χρημάτων, ἅμα δὲ καὶ φυλακτηρίῳ τῶν συμβολαίων;" πότερον ὅτι δόξα κατεῖχε καὶ λόγος, οὐκ εἶναι

1 Petav. οὖν pro γοῦν.
2 Petav. τοῦ Κρόνου. Mox Ald. διαπεράσαντες.
3 abest artic. a Petav.
4 Xyl. mavult Συΐλλιοι.

εἶναι πλεονεξίαν ἐν ἀνθρώποις, οὐδ᾽ ἀδικίαν, Κρόνου βασιλεύοντος, ἀλλὰ πίστιν καὶ δικαιοσύνην; ἢ ὅτι καρπῶν ἀρετῆς, ἢ γεωργίας ἡγεμὼν ὁ θεός; ἡ γὰρ ἅρπη τοῦτο σημαίνει· καὶ οὐχ, ὡς γέγραφεν Ἀντίμαχος Ἡσιόδῳ πειθόμενος·

Λέχριε [1] δὲ δρεπάνῳ τέμνων ἀπὸ μήδεα πατρὸς
Οὐρανοῦ Ἀκμονίδεο λάσιος Κρόνος ἀντιτέτυκτο.

Καρπῶν δ᾽ ἀφθονία καὶ διάθεσις, γένεσίς ἐστι νομίσματος· διὸ τὸν αἴτιον καὶ φύλακα ποιοῦνται τῆς εὐδαιμονίας. μαρτυρεῖ δὲ τούτῳ, τὸ τὰς ἀγομένας δι᾽ ἐννέα ἡμερῶν ἐπ᾽ ἀγορὰν συνόδους, νουνδίνας [2] δὲ καλουμένας, ἱερὰς τοῦ Κρόνου νομίζεσθαι. πράσεως γὰρ καὶ ὠνῆς περιουσία καρπῶν ἀρχὴν παρέχεν [3]. ἢ ταῦτα μέν ἐστι παλαιά, πρῶτος δὲ ταμεῖον ἀπέδειξε τὸ κρόνιον τῶν βασιλέων καταλυθέντων, Οὐαλέριος Ποπλικόλας, πειθόμενος [4] εὐερκῆ καὶ καταφανῆ καὶ δυσεπιβούλευτον εἶναι τὸν τόπον;

XLIII. „Διὰ τί δὲ [5] οἱ πρεσβεύοντες εἰς Ῥώμην ὁποθενοῦν, ἐπὶ τὸν τοῦ Κρόνου ναὸν βαδίζοντες, ἀπογράφονται πρὸς τοὺς ἐπάρχους τοῦ ταμείου;" πότερον ὡς ξένου τοῦ Κρόνου γενομένου, καὶ διὰ τοῦτο τοῖς ξένοις χαίροντος; ἢ καὶ τοῦτο λύεται τῇ ἱστορίᾳ; τὸ γὰρ παλαιὸν (ὡς ἔοικεν) οἱ ταμίαι ξένια [6] τοῖς πρεσβεύουσιν ἔπεμπον (ἐκαλεῖτο δὲ λαύτεια τὰ πεμπόμενα) καὶ νοσούντων ἐπεμέλοντο, καὶ τελευτήσαντας ἔθαπτον ἐκ δημοσίου. νῦν δὲ ὑπὸ πλήθους τῶν ἀφικνουμένων πρέσβεων ἐκλέλειπται τὸ

1 Xyl. voluit λέχρις, i. e. *oblique*, πλαγίως, & loqui poëtam monet de alicujus Dei simulacro, cui Saturni imago opposita fuerit. Petav. v. seq. Ἀκμωνίδεω.

2 Ald. Bas. Petav. νουνουδίνας. Xyl. correxit.

3 W. susp. πράσεως γὰρ καὶ ὠνῆς ἀφορμὴν περιουσία καρπῶν παρέχειν.

4 Petav. πυθόμενος.

5 abest δὲ a Petav.

6 Petav. ταμεῖα ξένια.

το τῆς δαπάνης, μένει δ' ἔτι τὸ τοῖς ἐπάρχοις τῷ ταμείῳ προεντυγχάνειν διὰ τῆς ἀπογραφῆς.

XLIV. „Διὰ τί τῷ ἱερεῖ τῷ Διὸς ἐκ ἔξεστιν ὀμόσαι;" πότερον ὅτι βάσανός τις ἐλευθέρων ὁ ὅρκος ἐςί, δεῖ δὲ ἀβασάνιςον εἶναι καὶ [1] τὸ σῶμα καὶ τὴν ψυχὴν τῷ ἱερέως; ἢ ὅτι περὶ μικρῶν ἀπιςεῖσθαι τὸν τὰ θεῖα καὶ μέγιςα πεπιςευμένον [2] ἐκ εἰκός ἐςιν; ἢ ὅτι πᾶς ὅρκος εἰς κατάραν τελευτᾷ τῆς ἐπιορκίας, κατάρα δὲ δύσφημον καὶ σκυθρωπόν; ὅθεν ἐδ' ἄλλοις ἐπαρᾶσθαι νομίζεται τὰς ἱερεῖς. ἐπῃνέθη γἂν 'Αθήνησιν ἡ ἱέρεια μὴ θελήσασα καταράσασθαι τῷ 'Αλκιβιάδῃ, τῷ δήμῳ κελεύοντος. ἔφη γὰρ, εὐχῆς, ἐ κατάρας, ἱέρεια [3] γεγονέναι. ἢ κοινὸς ὁ τῆς ἐπιορκίας κίνδυνος, ἂν ἀνὴρ ἀσεβὴς [4] καὶ ἐπίορκος εὐχῶν κατάρχηται καὶ ἱερῶν ὑπὲρ τῆς πόλεως;

XLV. „Διὰ τί τῶν Οὐενεραλίων τῇ ἑορτῇ πολὺν οἶνον ἐκχέεσιν ἐκ τῷ ἱερῷ τῆς 'Αφροδίτης;" πότερον (ὡς οἱ πλεῖςοι λέγεσι) Μεζέντιος [5] ὁ Τυῤῥηνῶν ςρατηγὸς ἔπεμψε πρὸς Αἰνείαν σπενδόμενος ἐπὶ τῷ λαβεῖν τὸν ἐπέτειον οἶνον· ἀρνησαμένῳ δ' ἐκείνῳ, τοῖς Τυῤῥηνοῖς ὑπέσχετο κρατήσας μάχῃ δώσειν τὸν οἶνον· Αἰνείας δὲ τὴν ὑπόσχεσιν αὐτῷ πυθόμενος, τοῖς θεοῖς τὸν οἶνον καθιέρωσε, καὶ μετὰ τὸ νικῆσαι συναγαγὼν τὸ καρπευθὲν, ἐξέχεε πρὸ τῷ ἱερῷ τῆς 'Αφροδίτης; ἢ καὶ τῷτο σύμβολόν ἐςι τῷ χρῆναι νήφοντας ἑορτάζειν, ἀλλὰ μὴ μεθύοντας, ὡς τῶν θεῶν μᾶλλον τοῖς ἐκχέεσι χαιρόντων τὸν πολὺν ἄκρατον, ἢ τοῖς πίνεσι;



1 abest hoc καὶ a Petav.
2 Petav. πιςευσάμενον.
3 Petav. cum artic. ἡ ἱέρεια.
4 Sic sententia flagitat, & legi voluit Xyl. dedique pro vulg. εὐσεβὴς. Idem recepit W. uno Voss. sic dante, non in contextu quidem, sed supra scriptum.
5 Petav. Βυζάντιος.

XLVI. „Διὰ τί τὸν τῆς Ὅρτας [1] ναὸν ἀνεῳγμένον εἶχον οἱ παλαιοὶ διαπαντός; πότερον ὡς Ἀντίςιος Λαβεὼν [2] ἱςόρηκε, τῦ παρορμᾷν ὀρτάρι λεγομένυ, τὴν οἷον ἐγκελευομένην [3] πρὸς τὰ καλὰ καὶ παρορμῶσαν θεὸν, Ὅρταν λεγομένην, ᾤοντο δεῖν ὡς ἐνεργὸν ἀεὶ μηδέποτε μέλλειν, μηδ' ἀποκεκλεῖσθαι, μηδὲ ἐλιννύειν [4]; ἢ μᾶλλον ὡς νῦν ὀνομάζυσιν αὐτὴν Ὥραν [5] μηκυνομένης τῆς προτέρας συλλαβῆς, ἐπιςρεφῆ τινα καὶ πολυωρητικὴν θεὸν, ἣν διαφυλακτικὴν καὶ φροντιςικὴν ὖσαν, ὐδέποτε ῥᾴθυμον, ὐδὲ ὀλίγωρον εἶναι τῶν ἀνθρωπίνων ἐνόμιζον; ἢ, καθάπερ ἄλλα πολλὰ, καὶ τῦτο τῶν Ἑλληνικῶν ὀνομάτων ἐςὶ, καὶ δηλοῖ θεὸν ἐπισκοπῦσαν καὶ ἐφορῶσαν; ὅθεν, ὡς ἀκοιμήτυ καὶ ἀΰπνυ, διαπαντὸς ἀνεῳγμένον ἦν τὸ ἱερὸν αὐτῆς. εἰ μέντοι τὴν ὥραν ὀρθῶς ὁ Λαβεὼν ἀπὸ τῦ παρορμᾷν ὠνομάσθαι δέδειχε [6], σκόπει, μὴ τὸν ὠράτορα προτρεπτικόν τινα καὶ παρορμητικὸν ὄντα σύμβυλον, ἢ δημαγωγὸν, ὕτως ὠνομάσθαι φατέον, ὐκ ἀπὸ τῆς ἀρᾶς καὶ εὐχῆς, ὡς ἔνιοι λέγυσι.

XLVII. Διὰ τί τὸ τῦ Ἡφαίςυ ἱερὸν ἔξω πόλεως ὁ Ῥωμύλος ἱδρύσατο;“ πότερον διὰ τὴν μυθολογυμένην πρὸς Ἄρη ζηλοτυπίαν τῦ Ἡφαίςυ δι' Ἀφροδίτην, υἱὸς εἶναι δοκῶν Ἄρεος, ὐκ ἐποιήσατο σύνοικον, ὐδὲ ὁμόπολιν αὐτόν; ἢ τῦτο μὲν ἀβέλτερον, ᾠκοδομήθη δὲ ὁ ναὸς ἐξ ἀρχῆς, συνέδριον καὶ βυλευτήριον ἀπόῤῥητον αὐτῷ

1 Ald. Baſ. Petav. Ὄρται. Xyl. aſpirate ſcribendum monuit, cum ab hortando dicatur. Petav. deinde quoque ὀρτάρι.

2 nobilis rerum Romanarum ſcriptor. Petav. Ἀντίςιχος Λαβεών.

3 Petav. omittit, quae ſequuntur, πρὸς τὰ — λεγομένην.

4 Sic dando, pro vulg. κλειννύειν, ſecutus ſum Xylandrum. W. ἐλαννύειν recepit, nulla ratione correctionis allata. Apud Heſych. eſt ἐλιννύειν, quod idem valet ac ἐλιννύειν vel ἐλινύειν.

5 Quae de *Hora* ab *hortando* dicta referuntur, Xyl. Graecanica eſſe monet, neque linguae latinae conſentanea.

6 Recepi, quod W. rectius cenſuit, ex E. pro vulg. δίδαχθαι.

αὐτῷ μετὰ Τατίȣ τȣ͂ συμβασιλεύσαντος, ὅπως συνιόντες ἐνταῦθα μετὰ τῶν γερόντων, ἄνευ τȣ͂ παρενοχλεῖσθαι καθ' ἡσυχίαν βȣλεύοιντο περὶ τῶν πραγμάτων; ἢ, πρὸς ἐμπρησμὸν ἄνωθεν ἐπισφαλῶς τῆς Ῥώμης ἐχȣ́σης, ἔδοξε τιμᾶν μὲν, ἐξοικίσαι δὲ τῆς πόλεως τὸν θεὸν;

XLVIII. „Διὰ τί τῇ τῶν Κωνσαλίων [1] ἑορτῇ καὶ τȣ̀ς ἵππȣς καὶ τȣ̀ς ὄνȣς ςεφανȣ͂σι καὶ σχολάζειν ἐῶσι;" πότερον ὅτι Ποσειδῶνι μὲν ἄγȣσιν Ἱππείῳ τὴν ἑορτὴν, ὁ δ' ὄνος τῷ ἵππῳ συναπολαύει καὶ συμμετέχει τῆς ἀδείας; ἢ ὅτι, ναυτιλίας φανείσης καὶ κομιδῆς κατὰ θάλατταν, ὑπῆρξέ τις ἀμωσγέπως ῥᾳςώνη καὶ ἀνάπαυσις τοῖς ὑποζυγίοις;

XLIX. „Διὰ τί τȣ̀ς παραγγέλλοντας ἀρχειν, ἔθος ἦν ἐν ἱματίῳ τȣ͂το ποιεῖν ἀχίτωνας, ὡς Κάτων ἱςόρηκε;" πότερον ἵνα μὴ δεκάζωσιν, ἀργύριον ἐν τῷ κόλπῳ κομίζοντες; ἢ μᾶλλον ὅτι τȣ̀ς ἀξίȣς ἄρχειν, ȣ̓ γένεσιν, ȣ̓δὲ χρήμασιν, ȣ̓δὲ δόξαις, ἀλλὰ τραύμασι καὶ ὠτειλαῖς ἔκρινον; ὅπως ȣ͂ν ταῦτα καθορῷτο τοῖς ἐντυγχάνȣσιν, ἀχίτωνες ἐπὶ τὰς ἐπαγγελίας κατῄεσαν; ἢ καθάπερ τῷ δεξιȣ͂σθαι καὶ παρακαλεῖν καὶ ὑποπίπτειν, ȣ̔́τω τῇ γυμνότητι ταπεινȣ͂ντες ἑαυτȣ̀ς ἐδημαγώγȣν;

L. „Διὰ τί ὁ ἱερεὺς τȣ͂ Διὸς, ἀποθανȣ́σης αὐτῷ τῆς γυναικὸς, ἀπετίθετο τὴν ἀρχὴν, ὡς Ἀτήϊος [2] ἱςόρηκε;" πότερον ὅτι τȣ͂ μὴ λαβόντος ὁ λαβὼν [3], εἶτα ἀπο-



1 Sic a R. datum, aut potius restitutum esse videtur, quod Bas. recte dederat. Vulgo Κωνςαλίων, de qua voce W. adnonotat, ita libros habere; legendum autem esse vel Κωνσαλίων, vel Κωνσυαλίων, ut Mez. correxerit. Xyl. dedit *Consalia*, reprobans *Consualia*, idque ab analogia abhorrere monens. Mox Petav. ἀδίας pro ἀδείας.

2 Sic Xyl. legit, & dedi pro vulg. Τήϊος, ut intelligatur *Atejus Capito*, rerum Romanarum scriptor. Cf. de eodem Voss. de histor. lat. L. I. c. 21. de hoc ipso loco sic corrigendo differentem.

3 post λαβὼν Petav. inserit εὐτυχέστερος.

βαλὼν γυναῖκα γαμετὴν ἀτυχέςερος; ὁ μὲν γὰρ τȣ̃ γεγαμηκότος οἶκος, τέλειος· ὁ δὲ τȣ̃ γήμαντος, εἶτα ἀποβαλόντος, ȣ̓κ ἀτελὴς μόνον, ἀλλὰ καὶ πεπηρωμένος. ἢ συνιερᾶται μὲν ἡ γυνὴ τῷ ἀνδρὶ (ὡς καὶ πολλὰ τῶν ἱερῶν ȣ̓κ ἔςι δρᾶσαι μὴ γαμετῆς συμπαρȣ́σης) τὸ δὲ γαμεῖν εὐθὺς ἑτέραν, ἀποβαλόντα τὴν προτέραν, ȣ̓τ' ἴσως [1] δυνατὸν, ȣ̓τ' ἄλλως ἐπιεικές; ὅθεν ȣ̓δ' ἀποπέμψαθαι πρότερον ἐξῆν, ȣ̓δὲ νῦν, ὡς ἔοικεν, ἔξεσιν, ἀλλὰ ἐφ' ἡμῶν ἐπέτρεψεν ἐντευχθεὶς Δομετιανός. οἱ δὲ ἱερεῖς παρεγένοντο τῇ τȣ̃ γάμȣ διαλύσει, πολλὰ φρικώδη καὶ ἀλλόκοτα καὶ σκυθρωπὰ δρῶντες. ἧττον δ' ἄν τις τȣ́το θαυμάσειε προσιςορήσας, ὅτι καὶ, τῶν τιμητῶν θατέρȣ τελευτήσαντος, ἔδει καὶ τὸν ἑταῖρον πεπαῦθαι τῆς ἀρχῆς· ἀποθανόντος δὲ τιμητȣ̃ Λιβίȣ Δρȣ́σȣ, Σκαῦρος Αἰμίλιος συνάρχων ȣ̓κ ἐβȣ́λετο τὴν ἀρχὴν ἀπείπαθαι, μέχρις ȣ̃ τῶν δημάρχων τινὲς αὐτὸν ἐκέλευον εἰς τὸ δεσμωτήριον ἀπάγεθαι.

LI. „Διὰ τί τῶν Λαρητῶν, ȣ̀ς ἰδίως πραιςίτας [2] καλȣ̃σι, τȣ́τοις κύων παρέςηκεν, αὐτοὶ δὲ κυνῶν διφθέραις ἀμπέχονται;" ἢ πραιςίτης μὲν οἱ προεςῶτές εἰσι, τȣ̀ς δὲ προεςῶτας, οἴκȣ φυλακτικȣ̀ς εἶναι προσήκει, καὶ φοβερȣ̀ς μὲν τοῖς ἀλλοτρίοις, (ὥσπερ ὁ κύων ἐςὶν) ἠπίȣς δὲ καὶ πρᾴȣς τοῖς συνοικȣ̃σιν; ἢ μᾶλλον, ὃ λέγȣσιν [3] ἔνιοι Ῥωμαίων, ἀληθές ἐςι; καὶ, καθάπερ οἱ περὶ Χρύσιππον οἴονται φιλόσοφοι φαῦλα δαιμόνια περινοςεῖν, οἷς οἱ θεοὶ δημίοις χρῶνται κολαςαῖς ἐπὶ τȣ̀ς ἀνοσίȣς καὶ ἀδίκȣς ἀνθρώπȣς· ȣ̈τως οἱ Λάρητες ἐριννυώδεις τινές εἰσι καὶ ποίνιμοι [4] δαίμονες, ἐπίσκοποι βίων καὶ οἴκων· διὸ καὶ κυνῶν [5] δέρμασιν ἀμπέχονται, καὶ κύων πάρεδρός

1 Petav. ȣ̓τε ἄλλως; &, infra Σκαῦροι pro Σκαῦρος.
2 Petav. πραιςίτας.
3 Petav. ὃ ἐλέγχȣσιν.
4 Ald. & Baf. πόνιμοι. Xyl. correxit.
5 κυνῶν legendum esse Xyl. conjecit, & affertur in Suppl. Var. lect.

εδρός ἐςιν, ὡς δεινοῖς ἐσιν ἐξιχνεῦσαι καὶ μετελθεῖν τὰς πονηράς;

LII. „Διὰ τί τῇ καλȣμένῃ Γενείτῃ Μάνῃ κύνα θύȣσι, καὶ κατεύχονται μηδένα χρηςὸν ἀποβῆναι τῶν οἰκογενῶν;“ ἢ ὅτι δαίμων ἐςὶν ἡ Γενεῖτα περὶ τὰς γενέσεις καὶ τὰς λοχείας τῶν Φθαρτῶν; ῥύσιν [1] γάρ τινα σημαίνει τȣ̈νομα καὶ γένεσιν, ἢ ῥέȣσαν γένεσιν. ὥσπερ ȣ̈ν οἱ Ἕλληνες τῇ Ἑκάτῃ, καὶ τῇ Γενείτῃ κύνα Ῥωμαῖοι θύȣσιν ὑπὲρ τῶν οἰκογενῶν; Ἀργείȣς δὲ Σωκράτης φησὶ τῇ Εἰλιονίᾳ [2] κύνα θύειν διὰ τὴν ῥᾳςώνην τῆς λοχείας. τὸ δὲ τῆς εὐχῆς πότερον ȣ̓κ ἐπ' ἀνθρώπων, ἀλλ' ἐπὶ κυνῶν [3] ἐςιν οἰκογενῶν, μηδένα χρηςὸν [4] γενέσθαι; χαλεπȣ̀ς γὰρ εἶναι δεῖ καὶ φοβερȣ̀ς τȣ̀ς κύνας. ἢ διὰ τὸ χρηςȣ̀ς κομψῶς [5] λέγεσθαι τȣ̀ς τελευτῶντας, αἰνιττόμενοι διὰ τῆς εὐχῆς [6], αἰτȣ̃νται μηδένα τῶν συνοίκων ἀποθανεῖν; ȣ̓ δεῖ δὲ τȣ̃το θαυμάζειν. καὶ γὰρ Ἀριςοτέλης ἐν ταῖς Ἀρκάδων πρὸς Λακεδαιμονίȣς συνθήκαις γεγράφθαι φησὶ, μηδένα χρηςὸν [7] ποιεῖν βοηθείας χάριν τοῖς λακωνίζȣσι τῶν Τεγεατῶν; ὅπερ εἶναι, μηδένα ἀποκτιννύναι.



leſt. Frſt. dedique pro vulg. καὶ νῦν. Eſſe idem κυνῶν in E. H. Venet. Voſſ. & edit. Graeco-lat. 1624. teſtatur W. & ſimul recepit.

1 Vocem *Manam* Plutarch. a *manare* derivat.

2 Xyl. cum Amiot. reddidit Εἰλειθυίᾳ, & ſimul edidit.

3 Baſ. & Ald. omittunt ἀλλ' ἐπὶ κυνῶν.

4 Turn & Boug. μηδένα χρηςȣ̀ς.

5 Vulgo διὰ τὸ ἀχρήςȣς καὶ κομψȣ̀ς. In emendandis his amplexus ſum, quae Xyl. conjecit. Cf. Quinta quaeſt. Graec. κομψῶς, i. e *venuſte*, nomine rem duram mitigante. W. dedit χρηςȣ̀ς καὶ κομψȣ̀ς e Pol. Leonic. Schott.

6 Sic quoque legi voluit Xyl. pro vulg. ἀρχῆς, dedique cum W. ex Voſſ. & Mez. idem notante.

7 Etiam haec, quam dedi, emendatio leſtionis vulgaris μηδὲν ἄχρηςον Xylandro debetur. W. idem ex Pol. Leonic. Schott. dedit. Venet. Voſſ. μηδένα ἄχρηςον.

LIII. „Διὰ τί τοῖς Καπιτωλίοις [1] θέας ἄγοντες ἔτι νῦν κηρύττουσι Σαρδιανοὺς ὠνίους, καὶ γέρων τις ἐπὶ χλευασμῷ προάγεται, παιδικὸν ἐναψάμενος περιδέραιον [2], ὃ καλοῦσι βοῦλλαν;“ ἢ ὅτι Ῥωμύλῳ πολὺν χρόνον ἐπολέμησαν οἱ λεγόμενοι Οὐήϊοι Τυῤῥηνῶν, καὶ ταύτην πόλιν ἐσχάτην εἷλε, καὶ πολλοὺς αἰχμαλώτους ἀπεκήρυξε μετὰ τοῦ βασιλέως, ἐπισκώπτων αὐτοῦ τὴν ἠλιθιότητα καὶ τὴν ἀβελτηρίαν; ἐπεὶ δὲ Λυδοὶ μὲν ἦσαν οἱ Τυῤῥηνοὶ ἐξ ἀρχῆς, Λυδῶν δὲ μητρόπολις [3] Σάρδεις, οὕτω τοὺς Οὐηΐους ἀπεκήρυττον. καὶ μέχρι νῦν ἐν παιδιᾷ τὸ ἔθος διαφυλάττουσι.

LIV. „Διὰ τί τὰ κρεωπώλια μάκελλα καὶ μακέλλας καλοῦσι;“ πότερον ἀπὸ τῶν μαγείρων τοὔνομα διαφθαρὲν, ὥσπερ ἄλλα πολλὰ, τῇ συνηθείᾳ κεκράτηκε; καὶ τὸ κ̄ πρὸς τὸ γ̄ συγγένειαν ἔχει παρ’ αὐτοῖς. ὀψὲ γὰρ ἐχρήσαντο τὸ γάμμα, Καρβιλίου [4] Σπορίου προσεξευρόντος. καὶ τὸ λ̄ πάλιν τοῖς ἀπολισθαίνουσι τοῦ ρ̄, διὰ ἀμβλύτητα τῆς γλώττης, ὑπόκειται τραυλιζόμενον. ἢ καὶ τοῦτο λυτέον τῇ ἱστορίᾳ; λέγεται γὰρ ἐν Ῥώμῃ βίαιον ἄνδρα καὶ λῃστρικὸν γενόμενον, καὶ περικόψαντα πολλοὺς, μόγις ἁλῶναι, καὶ κολασθῆναι, τοὔνομα Μάκελλον [5]. ἐκ δὲ τῶν χρημάτων αὐτοῦ δημόσιον οἰκοδομηθῆναι κρεωπώλιον ἀπ’ ἐκείνου κτησάμενον τὴν προσηγορίαν.

LV. „Διὰ τί ταῖς Ἰανουαρίαις [6] εἰδοῖς περιϊέναι δέδο-

1 Vulgo τῆς Καπιτωλίοις. Corrigendum id monuit Xyl. ut sacra intelligantur triumphalia, quibus pompa in Capitolium duci solebat. Habet idem τοῖς Petav. & dedi cum W. adsentientibus E. & H.

2 Petav. περιδέῤῥαιον.

3 Restitui sic e Bas. Vulgo μητροπόλεις, pro quo W. rectius esse monet μητρόπολις, vulgatam retinens.

4 Ald. Bas. Καρβειλίου; Petav. Καρβυλίου.

5 Petav. Μάκελλον τοὔνομα; & mox ἀπεκείνου una voce.

6 W. mavult Ἰουνίαις, re ipsa sic desiderante, & monente Neapol. ad Ovid. Fast. VI, 651. Cf. Rosin. Antiq. Rom. p. 281, eadem statuentem. Petav. mox περιέναι.

δέδοται τοῖς αὐληταῖς τὴν πόλιν ἐσθῆτας γυναικείας Φοροῦντας;“ ἢ διὰ τὴν λεγομένην αἰτίαν; μεγάλας γὰρ (ὡς ἔοικε) τιμὰς ἐκαρποῦντο, τοῦ βασιλέως Νουμᾶ δόντος αὐτοῖς, διὰ τὴν πρὸς τὸ θεῖον ὁσιότητα. Ταύτας δὲ ὕστερον ἀφαιρεθέντες ὑπὸ τῆς ἀνθυπατικῆς δεκαδαρχίας, ἀπεχώρησαν ἐκ τῆς πόλεως. ἦν οὖν ἐπιζήτησις αὐτῶν, καί τις ἥπτετο δεισιδαιμονία τῶν ἱερέων ἄνχυλα θυόντων. ἐπεὶ δ' οὐκ ἐπείθοντο μεταπεμπομένοις, ἀλλ' ἐν τῇ Τιβουρίδι [1] διέτριβον, ἀνὴρ ἀπελεύθερος κρύφα τοῖς ἄρχουσιν ἐπηγγείλατο κατάξειν αὐτούς. καὶ παρασκευάσας θοίνην ἄφθονον, ὡς τεθυκὼς θεοῖς, ἐκάλεσε τοὺς αὐλητάς· καὶ γύναια παρῆν ἅμα τῷ πότῳ, καὶ παννυχὶς συνεκροτεῖτο παιζόντων καὶ χορευόντων. εἶτα ἐξαίφνης ὁ ἄνθρωπος ἐμβαλὼν λόγον ὡς τοῦ πάτρωνος ἐπιόντος αὐτῷ, καὶ ταραττόμενος, συνέπεισε τοὺς αὐλητὰς ἀναβάντας ἐφ' ἁμάξας δέῤῥεσι κύκλῳ περικαλυπτομένας, εἰς τὸ Τίβουρι κομίζεσθαι. τοῦτο δ' ἦν ἀπάτη· περιαγαγὼν γὰρ τὰς ἁμάξας οὐ συνορῶντας αὐτοὺς διὰ τὸν οἶνον καὶ τὸ σκότος, ἔλαθεν εἰς Ῥώμην καταγαγὼν ἅπαντας ἕωθεν. ἐτύγχανον δὲ οἱ πολλοὶ διὰ τὴν παννυχίδα καὶ τὸν πότον ἐν ἐσθῆσιν ἀνθιναῖς καὶ γυναικείαις ὄντες. ὡς οὖν [2] ἐπείσθησαν ὑπὸ τῶν ἀρχόντων καὶ διηλλάγησαν, ἐνομίσθη, τὴν ἡμέραν ἐκείνην οὕτως ἀμπεχομένους, σοβεῖν διὰ τῆς πόλεως.

LVI. „Διὰ τί τὸ τῆς Καρμέντης [3] ἱερὸν ἐξ ἀρχῆς δοκοῦσιν αἱ μητέρες ἱδρύσασθαι, καὶ νῦν μάλιστα σέβονται;“ λέγεται γάρ τις λόγος, ὡς ἐκωλύθησαν [4] ὑπὸ τῆς βουλῆς αἱ γυναῖκες ὀχήμασι χρῆσθαι ζευκτοῖς, συνέθεντο ἀλλήλαις, μὴ κυΐσκεσθαι [5], μηδὲ τίκτειν, ἀμυνόμεναι



1 Mez. τῷ Τίβουρι; Petav. Βουρίδι. Id. infra ἐπ' ἁμάξαις.
2 Petav. ὡς ἐπείσθησαν, absque οὖν.
3 Petav. Καρμέντης.
4 W. susp. ὅτι ὡς ἐκωλύθησαν, vel ὡς κωλυθεῖσαι.
5 Petav. κύεσθαι.

μεναι τὰς ἄνδρας, ἄχρις ὃ μετέγνωσαν καὶ συνεχώρησαν αὐταῖς· γενομένων δὲ παίδων, εὐτεκνῆσαι καὶ πολυτεκνῆσαι τὸ τῆς Καρμέντης ἱερὸν ἱδρύσαντο. τὴν δὲ Καρμένταν οἱ μὲν [1] Εὐάνδρȣ μητέρα λέγȣσιν ȣ̃σαν ἐλθεῖν εἰς Ἰταλίαν, ὀνομαζομένην Θέμιν· ὡς δ' ἔνιοι, Νικοςράτην. ἐμμέτρȣς δὲ χρησμὲς ᾄδȣσαν, ὑπὸ τῶν Λατίνων Καρμένταν ὀνομάζεσθαι. τὰ γὰρ ἔπη, κάρμινα καλȣ̃σιν. οἱ δὲ μοῖραν ἡγȣ̃νται τὴν Καρμένταν εἶναι, καὶ διὰ τȣ̃το θύειν αὐτῇ τὰς μητέρας. ἔςι δὲ τȣ̃ ὀνόματος τὸ ἔτυμον, ἐςερημένη νȣ̃ διὰ τὰς θεοφορήσεις. ὅθεν ȣ̓ τὰ κάρμινα τῇ Καρμέντῃ τȣ̃νομα παρέσχεν, ἀλλὰ μᾶλλον ἀπ' ἐκείνης ἐκλήθη, διὰ τὸ τὰς χρησμὲς ἐν ἔπεσι καὶ μέτροις ἐνθȣσιῶσαν ᾄδειν.

LVII. „Διὰ τί τῇ Ῥȣμίνᾳ θύȣσαι, γάλα κατασπένδȣσι τῶν ἱερῶν, οἶνον δ' ȣ̓ προσφέρȣσιν;“ ἢ ῥȣ̃μαν Λατῖνοι τὴν θηλὴν καλȣ̃σι, καὶ Ῥȣμανάλιν [2] ὀνομαθῆναι λέγȣσιν, παρόσον ἡ λύκαινα τῷ Ῥωμύλῳ τὴν θηλὴν παρέσχεν; ὥσπερ ȣ̃ν ἡμεῖς τὰς τρεφέσας τὰ παιδία γάλακτι, θηλονὰς ἀπὸ τῆς θηλῆς καλȣ̃μεν, ȣ̈τως ἡ Ῥȣμίνα θηλώ τις [3] ȣ̃σα καὶ τιθήνη καὶ κȣροτρόφος, ȣ̓ προσίεται τὸν ἄκρατον, ὡς βλαβερὸν ὄντα τοῖς νηπίοις;

LVIII. „Διὰ τί τῶν συγκλητικῶν τὰς μὲν, πατέρας συγγεγραμμένȣς, τὰς δὲ, ἁπλῶς πατέρας προσηγόρευον;“ ἢ τὰς μὲν ἐξ ἀρχῆς κατανεμηθέντας ὑπὸ τȣ̃ Ῥωμύλȣ, πατέρας ἐκάλȣν καὶ πατρικίȣς, οἷον εὐπατρίδας ὄντας, πατέρας αὐτῶν ἔχοντας ἀποδεῖξαι· τὰς δὲ ὕςερον ἐπιγραφέντας ἐκ τῶν δημοτικῶν, συγγεγραμμένȣς πατέρας ὠνόμασαν;

LIX.

1 Ald. & Baf. οἶμαι pro οἱ μὲν.
2 Poft h. v. deeffe συκῆν, aut aliquid tale, monet Xyl.
3 Sic divifis vocibus legendum effe monet nota apud Hefych. in voce θηλώ, & dedi cum W.

LIX. „Διὰ τί κοινὸς ἦν βωμὸς Ἡρακλέυς καὶ Μουσῶν;" ἢ ὅτι γράμματα τοὺς περὶ Εὔανδρον ἐδίδαξεν Ἡρακλῆς, ὡς Ἰόβας ἱςόρηκε· καὶ τὸ πρᾶγμα σεμνὸν ἐνομίζετο, Φίλους καὶ συγγενεῖς διδασκόντων. ὀψὲ δ' ἤρξαντο μισθοῦ διδάσκειν· καὶ πρῶτος ἀνέῳξε γραμματοδιδασκαλεῖον Σπόριος Καρβίλιος ἀπελεύθερος Καρβιλίου τοῦ πρώτου γαμετὴν ἐκβαλόντος.

LX. „Διὰ τί, δυεῖν βωμῶν Ἡρακλέους ὄντων, οὐ μεταλαμβάνουσι γύναῖκες οὐδὲ γεύονται τῶν ἐπὶ τοῦ μείζονος θυομένων;" πότερον ὅτι τῶν ἱερῶν αἱ περὶ τὴν Καρμένταν ὑςέρησαν, ὑςέρησε δὲ καὶ τὸ Πειναρίων γένος; ὅθεν εἰργόμενοι τῆς θοίνης, ἑςιωμένων τῶν ἄλλων, Πεινάριοι προσηγορεύθησαν. ἢ διὰ τὰ μυθολογούμενα [1] περὶ τοῦ χιτῶνος καὶ τῆς Δηϊανείρας;

LXI. „Διὰ τί τὸν θεὸν ἐκεῖνον, ᾧ μάλιςα τὴν Ῥώμην σώζειν προσήκει καὶ Φυλάττειν, εἴτ' ἐςὶν ἄῤῥην, εἴτε θήλεια, καὶ λέγειν ἀπείρηται καὶ ζητεῖν καὶ ὀνομάζειν; ταύτην δὲ τὴν ἀπόῤῥησιν ἐξάπτουσι δεισιδαιμονίας, ἱςοροῦντες, Οὐαλέριον Σωρανὸν ἀπολέσθαι κακῶς διὰ τὸ ἐξειπεῖν." πότερον, ὡς τῶν Ῥωμαϊκῶν τινὲς ἱςορήκασιν, ἐκκλήσεις εἰσὶ καὶ γοητεῖαι θεῶν; αἷς νομίζοντες καὶ αὐτοὶ θεούς τινας ἐκκεκλῆσθαι [2] παρὰ τῶν πολεμίων, καὶ μετῳκηκέναι πρὸς αὐτούς, ἐφοβοῦντο τὸ αὐτὸ παθεῖν ὑφ' ἑτέρων; ὥσπερ οὖν Τύριοι δεσμοὺς ἀγάλμασι λέγονται περιβαλεῖν, ἕτεροι δ' αἰτεῖν ἐγγυητὰς ἐπὶ λουτρὸν ἢ καθαρμόν τινα προπέμποντες, οὕτως ᾤοντο Ῥωμαῖοι τὸ ἄῤῥητον καὶ τὸ [3] ἄγνωςον ἀσφαλεςάτην εἶναι θεοῦ καὶ βεβαιοτάτην Φρουράν. ἢ, καθάπερ Ὁμήρῳ πεποίηται, τὸ Γαῖα δ' ἐςὶ ξυνὴ πάντων; ὅπως οἱ ἄνθρωποι τοὺς θεοὺς πάντας σέβωνται, καὶ τιμῶσι τὴν γῆν κοινῶς ἔχοντας [4], οὕτως

1 Petav. μυθολογούμενα, & deinde χειτῶνος.

2 Petav. ἐκκλῆσθαι (fic); mox id. ἑταῖροι pro ἕτεροι.

3 abeft τὸ a Petav.; mox id. σέβονται pro σέβωνται.

4 Sententiae omnino magis convenit, fic legere, quod W. quo-

ὕτως ἀπεκρύψαντο τὸν κύριον τῆς σωτηρίας οἱ παλαιοὶ Ῥωμαῖοι, βυλόμενοι μὴ μόνον τῦτον, ἀλλὰ πάντας ὑπὸ τῶν πολιτῶν τὺς θεὺς τιμᾶσθαι.

LXII. „Διὰ τί τῶν λεγομένων Φιτιαλίων [1] (Ἑλληνιϛὶ δὲ οἷον εἰρηνοποιῶν) σπονδοφόρων, ὁ καλύμενος πάτερ πατρᾶτος ἐνομίζετο μέγιϛος; ἐϛι δὲ ὗτος, ᾧ πατὴρ ζῇ καὶ παῖδές εἰσιν· ἔχει δὲ καὶ νῦν προνομίαν τινὰ καὶ πίϛιν. οἱ γὰρ ϛρατηγοὶ τὰ δι᾽ εὐμορφίαν καὶ ὥραν ἐπιμελῦς δεόμενα καὶ σώφρονος φυλακῆς σώματα, τύτοις παρακατατίθενται.“ πότερον ὅτι τὸ αἰδεῖσθαι τὺς παῖδας αὐτοῖς καὶ τὸ φοβεῖσθαι τὺς πατέρας [2] πρόσεϛιν; ἢ τὔνομα τὴν αἰτίαν ὑπαγορεύει; βύλεται γὰρ εἶναι τὸ πατρᾶτον, οἱονεὶ συμπεπερασμένον καὶ πεπερατωμένον, ὡς τελειοτέρυ τῶν ἄλλων ὄντος, ᾧ συμβέβηκε πατέρα κεκτημένῳ πατρὶ γενέσθαι. ἢ δεῖ τὸν ὅρκων καὶ εἰρήνης προϊϛάμενον, ἅμα πρόσω καὶ ὀπίσω καθ᾽ Ὅμηρον ὁρᾶν; εἴη δ᾽ ἂν μάλιϛα τοιῦτος, ᾧ παῖς ἐϛιν, ὑπὲρ ὗ [3] βυλεύεται, καὶ πατὴρ, μεθ᾽ ὗ βυλεύεται.

LXIII. „Διὰ τί τῷ καλυμένῳ ῥῆγι σακρᾶρυμ [4] (ὗτος δέ ἐϛι βασιλεὺς ἱερῶν) ἀπείρηται καὶ ἄρχειν καὶ δημηγορεῖν;“ ἢ τοπαλαιὸν οἱ βασιλεῖς τὰ πλεῖϛα καὶ μέγιϛα τῶν ἱερῶν ἔδρων, καὶ τὰς θυσίας ἔθυον αὐτοὶ μετὰ τῶν ἱερέων; ἐπεὶ δ᾽ ὐκ ἐμετρίαζον, ἀλλ᾽ ἦσαν ὑπερήφανοι καὶ βαρεῖς, τῶν μὲν Ἑλλήνων οἱ πλεῖϛοι τὴν ἐξυσίαν αὐτῶν περιελόμενοι, μόνον τὸ θύειν τοῖς θεοῖς ἀπέλιπον. Ῥωμαῖοι δὲ παντάπασι τὺς βασιλεῖς ἐκβαλόντες, ἄλλον [5] ἐπὶ τὰς θυσίας ἔταξαν, ὔτ᾽ ἄρχειν ἐάσαν-

quoque monet, & dare haud dubitavi, quam ἔχοντας, quod vulgo legitur. Locus Homeri eſt Iliad. XV. 193.

1 Xyl. ſcriptum putat Φητιαλίων. Petav. cum Ald. & Baſ. Φιδιαλίων.

2 Petav. αἰδεῖσθαι τὺς πατέρας πρόσ. ita ut, quae interjacent, omiſſa eſſe videantur.

3 Petav. ὑπὲρ ᾧ, & mox βύλεται pro βυλεύεται.

4 Ald. Petav. ῥῆγι σάκρῳ ῥέμης. Turn. Bong. σακρώρυς.

5 Petav. ἄλλως.

σαντες, ὅτε δημαγωγεῖν, ὅπως μόνον ἐν τοῖς ἱεροῖς βασιλεύεσθαι [1] δοκῶσι, καὶ βασιλείαν διὰ τοὺς θεοὺς ὑπομένειν. ἔστι γοῦν τις ἐν ἀγορᾷ θυσία πρὸς τῷ λεγομένῳ Κομητίῳ πάτριος, ἣν θύσας ὁ βασιλεὺς, κατὰ τάχος ἄπεισι φεύγων ἐξ ἀγορᾶς.

LXIV. „Διὰ τί τὴν τράπεζαν οὐκ εἴων ἀναιρεῖσθαι κενὴν, ἀλλὰ πάντως τινὸς ἐπόντος;“ πότερον αἰνιττόμενοι τὸ δεῖν ἀεί τι τοῦ παρόντος εἰς τὸ μέλλον ὑπολιπεῖν, καὶ τῆς αὔριον ἐν τῇ σήμερον μνημονεύειν; ἢ νομίζοντες ἀστεῖον εἶναι τὸ συστέλλειν καὶ ἀνέχειν τὴν ὄρεξιν, ἔτι παρούσης τῆς ἀπολαύσεως; ἧττον γὰρ ἐπιθυμοῦσι τῶν ἀπόντων, ἐθισθέντες [2] ἀπέχεσθαι τῶν παρόντων. ἢ καὶ πρὸς οἰκέτας φιλάνθρωπον τὸ ἔθος; οὐ γὰρ οὕτω λαμβάνοντες ὡς μεταλαμβάνοντες ἀγαπῶσι, κοινωνεῖν τρόπον τινὰ τραπέζης ἡγούμενοι τοῖς δεσπόταις. ἢ τῶν ἱερῶν οὐδέποτε δεῖ κενὸν οὐθὲν περιορᾶν; ἱερὸν δὲ ἡ τράπεζα.

LXV. „Διὰ τί τῇ νύμφῃ τοπρῶτον οὐκ ἐντυγχάνει μετὰ φωτὸς ὁ ἀνὴρ, ἀλλὰ διὰ σκότους;“ πότερον ὅτι αἰδεῖται, πρινὴ συνελθεῖν ἀλλοτρίαν νομίζων; ἢ καὶ πρὸς ἰδίαν προσιέναι μετὰ αἰδοῦς ἐθιζόμενος; ἢ, καθάπερ ὁ Σόλων ἔγραψε, μῆλον κυδώνιον τὴν νύμφην ἐντραγοῦσαν εἰς τὸν θάλαμον βαδίζειν, ὅπως τὸ πρῶτον ἄσπασμα μὴ δυσχερὲς γένηται, μηδ' ἀχάριστον· οὕτω Ῥωμαῖος νομοθέτης, εἰ δή τι προσῆν ἄτοπον τῷ σώματι καὶ δυσχερὲς, ἔκρυψεν; ἢ διαβολή τις ἐστὶν ἀφροδισίων παρανόμων τὸ γινόμενον, ὡς καὶ τοῖς νομίμοις [3] αἰσχύνης τινὸς προσούσης;

LXVI. „Διὰ τί τῶν ἱπποδρόμων εἷς Φλαμίνιος καλεῖ-

1 Vulgo βουλεύεσθαι. Xyl. legi voluit δουλεύεσθαι. Amplexus sum, quod W. conjecit, & sequens vox βασιλείαν clare innuit.

2 Petav. εἰθισθέντες.

3 Dedi sic e Xyl. mente pro vulg. τοῖς νόμοις.

λεῖται;“ ἢ ὅτι Φλαμινίȣ τινὸς τῶν παλαιῶν τῇ πόλει χώραν ἐπιδόντος, ἐχρῶντο ταῖς προσόδοις εἰς τὰς ἱππικὰς ἀγῶνας; ἔτι δὲ περιόντων χρημάτων, κατεσκεύασαν ὁδὸν, ἣν καὶ αὐτὴν Φλαμινίαν προσηγόρευσαν;

LXVII. „Διὰ τί λικτώρεις τὰς ῥαβδέχȣς ονομάζȣσι;“ πότερον ὅτι καὶ συνέδεον τὰς ἀκολασαίνοντας ἔτοι, καὶ τῷ Ῥωμύλῳ παρηκολȣθȣν ἱμάντας ἐν τοῖς κόλποις κομίζοντες; τὸ δὲ [1] δεσμεύειν ἀλλιγᾶρε λέγȣσιν οἱ πολλοὶ Ῥωμαίων· οἱ δὲ καθαρεύοντες ἐν τῷ διαλέγεσθαι, λιγᾶρε. ἢ νῦν μὲν παρέγκειται τὸ κ, πρότερον δὲ λιτώρεις ἐκαλȣ̃ντο, λειτȣργοί τινες ὄντες περὶ τὸ δημόσιον; ὅτι γὰρ λῆτον [2] ἄχρι νῦν τὸ δημόσιον ἐν πολλοῖς τῶν Ἑλλήνων νόμων γέγραπται, ȣ̓δένα, ὡς ἔπος εἰπεῖν, λέληθε.

LXVIII. „Διὰ τί κύνα θύȣσιν οἱ Λȣ́περκοι; (Λȣ́περκοι δέ εἰσιν οἱ τοῖς Λȣπερκαλίοις γυμνοὶ διαθέοντες ἐν περιζώμασι, καὶ καθικνȣ́μενοι σκύτει τῶν ἀπαντώντων [3].)“ πότερον ὅτι καθαρμός ἐςι τῆς πόλεως, τὰ δρώμενα, καὶ τὸν μῆνα Φεβρȣάριον καλȣ̃σι, καὶ νὴ Δία τὴν ἡμέραν ἐκείνην Φεβράτην, καὶ Φεβράριν [4] τὸ τῶν σκυτῶν ἤθει καθικνεῖσθαι, τȣ̃ ῥήματος τὸ καθαίρειν σημαίνοντος; τῷ δὲ κυνὶ πάντες [5], ὡς ἔπος εἰπεῖν, Ἕλληνες ἐχρῶντο καὶ χρῶνταί γε μέχρι νῦν ἔνιοι σφαγίῳ πρὸς τὰς καθαρμȣ́ς· καὶ τῇ Ἑκάτῃ σκυλάκια μετὰ τῶν ἄλλων καθαρσίων ἐκφέρȣσι, καὶ περιμάττȣσι σκυλακίοις τȣ̀ς ἁγνισμȣ̃ δεομένȣς, περισκυλακισμὸν τὸ τοιȣ̃τον γένος τȣ̃ καθαρμȣ̃ καλȣ̃ντες. ἢ λύκος μὲν ὁ λȣ̃πός ἐςι, καὶ Λύκαια τὰ Λȣπερκάλια· λύκῳ δὲ κύων πολέμιος, καὶ διὰ

1 abest δὲ a Petav. Mox idem παράκειται pro παρέγκ.

2 Xyl. scribendum putat λιτὸν. In Ald. & Baf. ἐν πολλοῖς bis exhibetur. Hinc Xyl. monet, alterum abundare.

3 Petav. τῶν ἀπάντων.

4 Venet. Φεβράτιν καὶ Φερβράριν; Voss. Φεβράτιν καὶ Φεβράριν; Mez. Φεβρȣάτην καὶ Φεβρȣάριν. Petav. deinde σκυθῶν.

5 Petav. πάντως; mox idem σκολάκια pro σκυλ.

διὰ τοῦτο θύεται τοῖς Λυκαίοις; ἢ ὅτι τοὺς Λουπέρκους ὑλακτοῦσι καὶ παραλυποῦσιν οἱ κύνες ἐν τῇ πόλει διαθέοντας; ἢ Πανὶ μὲν ἡ θυσία γίνεται, Πανὶ δὲ κύων προσφιλὴς διὰ τὰ αἰπόλια;

LXIX. „Διὰ τί τῷ καλουμένῳ Σεπτομουντίῳ παρεφύλαττον ὀχήμασι ζευκτοῖς [1] μὴ χρῆσθαι, καὶ μέχρι νῦν οἱ τῶν παλαιῶν μὴ καταφρονοῦντες παραφυλάττουσι· τὸ δὲ σεπτομούντιον ἄγουσιν ἐπὶ τῷ τὸν ἕβδομον λόφον τῇ πόλει προσκατανεμηθῆναι [2], καὶ τὴν Ῥώμην ἑπτάλοφον γενέσθαι;" πότερον (ὡς ἔνιοι τῶν Ῥωμαϊκῶν ἐπινοοῦσι) διὰ τὸ μήπω συνεζεῦχθαι τοῖς μέρεσι παντελῶς τὴν πόλιν [3]; ἢ τοῦτο μὲν ἄλλως οὐ πρὸς Διόνυσόν ἐστιν· ἔργου δὲ μεγάλου τοῦ πρὸς τὸν συνοικισμὸν ἐκτελεσθέντος, οἰόμενοι τὴν πόλιν ἤδη πεπαῦσθαι [4] προϊοῦσαν εἰς τὸ πρόσθεν, ἔπαυσαν μὲν αὐτοὺς, ἀνέπαυσαν δὲ τῶν ὑποζυγίων τὰ συμπονήσαντα, καὶ παρέσχον ἀπολαῦσαι τῇ σχολῇ τῆς κοινῆς ἑορτῆς; ἢ πᾶσαν μὲν ἐβούλοντο κοσμεῖν ἀεὶ καὶ τιμᾶν ἑορτὴν τοὺς πολίτας παρόντας, μάλιστα δὲ τὴν ἐπὶ τῷ συνοικισμῷ τῆς πόλεως ἀγομένην, ἵνα [5] τὴν πόλιν, ἧς ἐστιν ἡ ἑορτὴ, μὴ ἀπολείπωσιν, οὐκ ἐφεῖτο χρῆσθαι ζεύγεσιν ἐκείνην τὴν ἡμέραν;

LXX. „Διὰ τί τοὺς ἀπεγνωσμένους ἐπὶ κλοπαῖς, ἢ δουλικοῖς τισιν ἄλλοις ἁμαρτήμασι, φουρκίφερας καλοῦσιν;" ἢ καὶ τοῦτο τῆς [6] τῶν παλαιῶν ἐπιμελείας τεκμήριόν ἐστιν; ὁ γὰρ οἰκότριβος ἰδίου καταγνοὺς τινα μοχθηρίαν, ἐκέλευε διπλοῦν ξύλον, ὃ ταῖς ἁμάξαις ὑφιστᾶσιν, ἀράμενον, διὰ τῆς συνοικίας, ἢ τῆς γειτνιάσεως, διεξελθεῖν ὑπὸ πάντων ὁρώμενον, ὅπως ἀπιστοῖεν αὐτῷ καὶ φυλάττοιντο πρὸς

1 Petav. ζευτικοῖς.
2 Petav. προκατανεμηθῆναι; & mox ἐζεῦχθαι pro συνεζ.
3 Secutus sum W. sic ex E. dantem. Vulgo τῇ πόλει.
4 Petav. πεπᾶσθαι; mox idem αὐτοὺς pro αὐτοὺς, cum Ald. & Bas.
5 Post ἵνα Petav. inserit ἄν.
6 abest τῆς a Petav.

πρὸς τὸ λοιπόν· τὸ δὲ ξύλον ἡμεῖς μὲν στήριγγα [1], Ῥωμαῖοι δὲ Φέρκαν ὀνομάζουσι· διὸ καὶ Φερκίφερ ὁ τοῦτο περιενεγκὼν καλεῖται.

LXXI. „Διὰ τί τῶν κυριττόντων βοῶν, ὑπὲρ τοῦ φυλάττεσθαι τὸν ἐντυγχάνοντα, χόρτον τῷ κέρατι προσδέουσιν;“ ἢ διὰ κόρον καὶ πλησμονὴν ἐξυβρίζουσι καὶ βόες καὶ ἵπποι καὶ ὄνοι καὶ ἄνθρωποι; ὥς που καὶ Σοφοκλῆς πεποίηκε·

Σὺ δὲ σφαδάζεις πῶλος ὣς εὐφορβίᾳ,
Γαστήρ τε γάρ σου καὶ γνάθος πλήρης.

διὸ καὶ Μάρκον Κράσσον οἱ Ῥωμαῖοι χόρτον ἔχειν ἔφασαν. ἐφυλάττοντο γὰρ αὐτὸν οἱ τοὺς ἄλλους ἐν τῇ πολιτείᾳ σπαράττοντες, ὡς ἀμυντικὸν καὶ δυσεπιχείρητον. οὐ μὴν ἀλλ᾽ ὕστερον ἐλέχθη πάλιν, ὅτι Κράσσου Καῖσαρ ἀφῃρήκει τὸν χόρτον. ἀντέστη γὰρ αὐτῷ [2] πρῶτος ἐν τῇ πολιτείᾳ καὶ κατεφρόνησε.

LXXII. „Διὰ τί τῶν ἐπ᾽ οἰωνοῖς ἱερέων (οὓς Αὔσπικας πρότερον, Αὔγουρας δὲ νῦν καλοῦσιν) ᾤοντο δεῖν ἀεὶ τοὺς λαμπτῆρας ἀνεῳγμένους εἶναι, καὶ τὸ πῶμα μὴ ἐπικεῖσθαι;“ ἢ καθάπερ οἱ Πυθαγορικοὶ μικρὰ μεγάλων ἐποιοῦντο σύμβολα, κωλύοντες [3] ἐπὶ χοίνικος καθῆσθαι, καὶ πῦρ μαχαίρᾳ σκαλεύειν, οὕτως οἱ παλαιοὶ πολλοῖς αἰνίγμασιν ἐχρῶντο; καὶ μάλιστα πρὸς τοὺς ἱερεῖς· οἷόν ἐστι καὶ τὸ τοῦ λαμπτῆρος; ἔοικε γὰρ ὁ λαμπτὴρ τῷ περιέχοντι τὴν ψυχὴν σώματι. φῶς γάρ ἐστιν ἡ ἐντὸς ψυχή, καὶ δεῖ τὸ [4] συνετὸν καὶ φρόνιμον, ἀεὶ ἀναπεπταμένον

1 Ald. & Baf. στήρητα. Hinc Xyl. legi voluit στήριγμα e Plut. Coriol. (Vol. II. p. 89.) & Jul. Polluc. Onomaft. X, c. 34. In nota apud Hefych. in voce στήριγγες non probatur στήριγμα. Steph. dedit στήριγγα; Petav. στήρηκα.

2 Recepi αὐτῷ e Petav. pro vulg. αὐτός. Idem mox καὶ κατεφόνηκεν pro κατεφρόνησε.

3 Petav. κωλύοντος.

4 Reftitui τό ex Ald. & Baf. Idem dedit W. accedente auctoritate Xyl. & E. Vulgo τὸν συνετόν.

μένον αὐτῆς εἶναι καὶ δεδορκὸς, καὶ μηδέποτε συγκεκλεῖσθαι, μηδ' ἀποπνεόμενον. πνευμάτων δ' ὄντων, ἐκ εὐσταθῦσιν οἱ ὄρνιθες, ἐδὲ βέβαια σημεῖα παρέχεσι, διὰ τὴν πλάνην καὶ τὴν ἀνωμαλίαν. διδάσκεσιν ἐν τῷ ἔθει, μὴ πνευμάτων ὄντων, ἀλλὰ νηνεμίας καὶ κατασάσεως, ἐπὶ ταῦτα προϊέναι τὲς οἰωνοπόλες, ὅτε δύνανται τοῖς λαμπτῆρσιν ἀνεῳγμένοις χρῆσθαι.

LXXIII. „Διὰ τί δ' ἀπείρητο τοῖς ἕλκος ἔχεσιν ἱερεῦσιν ἐπ' οἰωνῶν [1] καθίζεσθαι;" πότερον καὶ τῦτο σύμβολόν ἐσι τῦ μηδὲν δακνομένες, μηδὲ οἷον ἕλκος ἴδιον καὶ πάθος ἔχοντας ἐν τῇ ψυχῇ, τὰ θεῖα χρηματίζειν, ἀλλ' ἀλύπες καὶ ἀκεραίες καὶ ἀπερισπάςες ὄντας; ἢ κατὰ λόγον ἐσὶν, εἰ μήτε [2] ἱερείῳ χρήσαιτο ἄν τις ἕλκος ἔχοντι πρὸς θυσίαν, μήτ' ὄρνισι πρὸς οἰωνισμὸν, ἔτι μᾶλλον ἐφ' ἑαυτῶν φυλάττεσθαι τὰ τοιαῦτα, καὶ καθαρὲς γενομένες καὶ ἀσινεῖς καὶ ὁλοκλήρες, ἐπὶ τὰ παρὰ τῶν θεῶν σημαινόμενα βαδίζειν; τὸ γὰρ ἕλκος ἔοικε πήρωσίς [3] τις εἶναι καὶ μιασμὸς τῦ σώματος.

LXXIV. „Διὰ τί μικρᾶς Τύχης ἱερὸν ἱδρύσατο Σερέϊος Τύλλιος [4] ὁ βασιλεὺς, ἣν βρέβεμ καλῦσι;" πότερον ὅτι μικρὸς ὢν ἐν ἀρχῇ καὶ ταπεινὰ πράττων, καὶ γεγονὼς ἐκ μητρὸς αἰχμαλώτε, διὰ τὴν τύχην ἐβασίλευσε τῆς Ῥώμης; ἢ αὐτὴ [5] μὲν ἡ μεταβολὴ μέγεθος ἐμφαίνει τύχης μᾶλλον, ἢ μικρότητα; πάντων δὲ μάλισα Σερέϊος ἔοικε τῆς τύχης ἐκθειάσας δύναμιν ἐπιφημίσαι πράξεσιν ἁπάσαις. ἐ γὰρ μόνον τυχης εὐέλπιδος καὶ αποτροπαίε καὶ μειλιχίας [6] καὶ πρωτογενείας καὶ ἀῤῥε-

1 Petav. ἐπ' οἰῶν.

2 Ald. & Baſ. μήτις. Xyl. correxit.

3 Sic Xyl. legi voluit, & dedi e Turn. pro vulg. πώρωσιν. Idem quoque recepit W. accedente Mez. & var. lect. Voſſ.

4 Petav. cum Ald. Τίλλιος, & mox idem βρέμεμ pro βρέβεμ.

5 Petav. αὕτη. Idem mox τὴν τύχην pro τῆς τύχης.

6 Ald. Baſ. Petav. μειλίας. Xyl. correxit.

ἄῤῥενος ἱερὰ κατεσκεύασεν, ἀλλ' ἐστὶν ἰδίας τύχης ἱερὸν, ἕτερον δ' ἐπιστρεφομένης, (ἄλλο δ' εὐέλπιδος [1],) ἄλλο παρθένου. καὶ τί ἄν τις ἐπεξίοι τὰς ἄλλας ἐπωνυμίας, ὅπου τύχης ἰξευτηρίας ἱερόν ἐστιν, ἣν βισκάταν [2] ονομάζουσιν, ὡς πόῤῥωθεν, ἡμῶν ἁλισκομένων ὑπ' αὐτῆς καὶ προσισχομένων τοῖς πράγμασιν; ὅρα δὴ, μὴ καταμαθὼν τὸ παρὰ [3] μικρὸν ἀεὶ τῆς τύχης μέγα δυνάμενον, καὶ ὅτι τὸ γενέσθαι τι μικρὸν, ἢ μὴ γενέσθαι τι πολλάκις ὑπῆρξεν ἐνίοις τυχεῖν, ἢ διαμαρτεῖν τῶν μεγίστων, μικρᾶς τύχης ἱερὸν ἱδρύσατο, προσέχειν διδάσκων τοῖς πράγμασι, καὶ μὴ καταφρονεῖν διὰ μικρότητα, τῶν ἐντυγχανόντων.

LXXV. „Διὰ τί λύχνον οὐκ ἐσβέννυσαν, ἀλλὰ αὐτὸν [4] ὑφ' ἑαυτοῦ περιεώρων μαραινόμενον;“ πότερον ὡς συγγενὲς καὶ ἀδελφικὸν σεβόμενοι τοῦ ἀσβέστου καὶ ἀθανάτου πυρός; ἢ καὶ τοῦτο συμβόλαιόν ἐστι τοῦ μὴ δεῖν τὸ ἔμψυχον, ἂν μὴ βλάπτῃ, διαφθείρειν, μηδ' ἀναιρεῖν, ὡς ζώῳ [5] τοῦ πυρὸς ἐοικότος; καὶ γὰρ τροφῆς δεῖται, καὶ αὐτοκίνητόν ἐστιν, καὶ σβεννύμενον φωνὴν ἀφίησιν, ὥσπερ φονευόμενον. ἢ διδάσκει τὸ ἔθος ἡμᾶς, ὅτι δεῖ μήτε πῦρ, μήτε ὕδωρ, μήτ' ἄλλο τι τῶν ἀναγκαίων αὐτοὺς ἄδην ἔχοντας διαφθείρειν, ἀλλ' ἐᾷν χρῆσθαι τοὺς δεομένους, καὶ ἀπολείπειν ἑτέροις, ὅταν αὐτοὶ μηκέτι χρείαν ἔχωμεν [6].

LXXVI. „Διὰ τί τὰς ἐν τοῖς ὑποδήμασι σεληνίδας οἱ διαφέρειν δοκοῦντες εὐγενείᾳ φοροῦσιν;“ πότερον ὡς

1 Cum εὐέλπιδος bis legatur, suspectum sane est. Hinc uncis inclusi. Etiam Xyl. monet, mendo non vacare.

2 Mez. βισκατρίκεμ.

3 W. dedit e Mez. τῷ παρὰ μ.

4 Petav. αὐτός. Mox Ald. & Bas. ἐπεριώρων. Xyl. correxit.

5 Secutus sum Xyl. sic legentem pro vulg. ζώου. Mox Petav. ἐοικότα.

6 Petav. ἔχομεν.

(ὥς Κάςωρ Φησὶ) σύμβολόν ἐςι τῦτο τῆς λεγομένης [1] οἰκήσεως ἐπὶ τῆς σελήνης, καὶ ὅτι μετὰ τὴν τελευτὴν αὖθις αἱ ψυχαὶ τὴν [2] σελήνην ὑπὸ πόδας ἕξυσιν; ἢ τοῖς παλαιοτάτοις τῦτο ὑπῆρχεν ἐξαίρετον; ἦσαν δ' ἦσαν Ἀρκάδες τῶν ἀπὸ Εὐάνδρυ Προσελήνων λεγομένων. ἢ, καθάπερ ἄλλα πολλὰ, καὶ τῦτο τὺς ἐπαιρομένυς καὶ μέγα Φρονῦντας ὑπομιμνήσκει τῆς ἐπ' ἀμΦότερον τῶν ἀνθρωπίνων μεταβολῆς; παράδειγμα ποιυμένυς τὴν σελήνην,

Ὡς ἐξ ἀδήλυ πρῶτον ἔρχεται νέα,
Πρόσωπα καλλύνυσα καὶ πληρυμένη,
Χ' ὥταν περ αὖθις [3] εὐγενεςάτη Φανῇ,
Πάλιν διαῤῥεῖ κἀπὶ μηδὲν ἔρχεται.

ἢ πειθαρχίας ἦν μάθημα βασιλευομένων, καὶ τῦ [4] μὴ δυσχεραίνειν, ἀλλ' ὥσπερ ἡ σελήνη προσέχειν ἐθέλει τῷ κρείττονι, καὶ δευτερεύειν, ἀεὶ παπταίνυσα πρὸς αὐγὰς ἠελίοιο, κατὰ τὸν Παρμενίδην· ὕτω τὴν δευτέραν τάξιν ἀγαπᾷν χρωμένυς τῷ ἡγεμόνι, καὶ τῆς ἀπ' ἐκείνυ δυνάμεως καὶ τιμῆς ἀπολαύοντας;



1 Petav. τοῖς λεγομένοις. Mox idem cum Ald. & Baf. ἐπὶ ταῖς σελήναις.

2 abest τὴν a Petav. Mox idem πρὸς σελήνων pro Προσελ. & deinde ὑπομιμνήσκειν.

3 Sic Steph. dedit, & habent Leonic. Pol. Schott. qui fimul cum Turn. & Bong. dant εὐΦανεςάτη pro feq. εὐγενεςάτη. Ald. Baf. Xyl. Mez. E. Venet. Voff. Petav. αὐτῆς, quod W. praefert: quanam de caufa, me fugit. Equidem probo αὖθις, *deinde*, non, iterum.

4 Vulgo βυλευομένων μὴ δυσχεραίνειν, quod fenfu commodo mihi carere videtur. Saltim Xyl. plane omifit vertendo βυλευομένων. Arripui hinc, quae Petav. fuppeditat βασιλευομένυς καὶ μὴ δυσχ. una fyllaba mutata & addito τῦ — *aut obedientiae fic adfuefcere debebant fenatores, regiae poteftati fubjecti?* Mos nimirum, calceis *lunulatis* utendi, a Romulo eft deducendus, tefte Ifidoro Orig. XIX, 34. Cf. Rofin. antiq rom. L. V. c. 36. — βασιλεύεσθαι a Plutarcho fic dici, conftat.

LXXVII. „Διὰ τί τὸν μὲν ἐνιαυτὸν τῦ Διὸς νομίζυσι, τὺς δὲ μῆνας τῆς Ἥρας;“ ἢ ὅτι τῶν μὲν ἀοράτων θεῶν καὶ νοητῶν βασιλεύυσι Ζεὺς καὶ Ἥρα, τῶν δὲ ὁρατῶν, ἥλιος καὶ σελήνη; ποιεῖ δὲ ὁ μὲν ἥλιος τὸν ἐνιαυτὸν, ἡ δὲ σελήνη τὺς μῆνας. δεῖ δὲ μὴ νομίζειν ἁπλῶς εἰκόνας ἐκείνων τύτυς, ἀλλ᾽ αὐτὸν ἐν ὕλῃ [1] Δία, τὸν ἥλιον, καὶ αυτὴν τὴν Ἥραν ἐν ὕλῃ, τὴν σελήνην. διὸ καὶ Ἴυνον [2] ἐπονομάζυσι τὴν Ἥραν, τὸ νέον ἢ τὸ [3] νεώτερον ἐμφαίνοντος τῦ ὀνόματος ἀπὸ τῆς σελήνης. καὶ Λυκίναν, Ἥραν καλῦσιν οἷον Φαεινὴν, ἢ Φωτίζυσαν. καὶ νομίζυσιν ἐν ταῖς λοχείαις καὶ ὠδῖσι βοηθεῖν, ὥσπερ καὶ τὴν σελήνην, διὰ κυάνεον πόλον ἄςρων, διά τε ὠκυτόκοιο σελάνας· εὐτοκεῖν γὰρ ἐν ταῖς πανσελήνοις μάλιςα δοκῦσι.

LXXVIII. „Διὰ τί τῶν οἰωνῶν ὁ καλύμενος ἀριςερὸς, αἴσιος;“ πότερον ὐκ ἔςι τῦτο ἀληθὲς, ἀλλὰ παρακρύεται πολλὺς ἡ διάλεκτος [4]; τὸ γὰρ ἀριςερὸν σίνιςρον ὀνομάζυσι, τὸ δ᾽ ἀφεῖναι [5], σίνερε, καὶ σίνε λέγυσιν, ὅταν ἀφεῖναι παρακαλῶσι. τὸν ὖν ἐφιέντα [6] τὴν πρᾶξιν οἰωνὸν, σινιςέριον ὄντα, σίνιςρον ὐκ ὀρθῶς ὑπολαμβάνυσιν οἱ πολλοὶ καὶ ὀνομάζυσιν. ἢ, καθάπερ Διονύσιός φησιν, Ἀσκανίῳ τῷ Αἰνείυ παρατατλομένῳ πρὸς Μεζέντιον [7], ἀςραπῆς ἐν ἀριςερᾷ νικηφόρυ γενομένης, οἰωνισάμενοι, καὶ πρὸς τὸ λοιπὸν ὕτω παραφυλάτλυσιν; ἢ (ὥς ἄλλοι τινὲς) Αἰνείᾳ τύτυ συμπεσόντος; καὶ γὰρ Θηβαῖοι τῷ ἀριςερῷ κέρατι τρεψάμενοι τὺς πολεμίυς καὶ κρα-

1 Petav. omittit, quae sequuntur, Δία — ἐν ὕλῃ.
2 Var. lect. Voss. Ἰυνώνεα; Mez. Ἰυνῶνα.
3 Petav. τὸν νέον ἢ τὸν νεώτ.
4 Petav. cum Ald. πολλὺς, ἢ διαλεκτικὸς; & in margine cod. Pet. adscriptum est ἄλλως ἡ διάλεξις; Bas. πολλύς. ἢ διαλεκτικῶς. Xyl. vertendo omisit.
5 Xyl. mavult ἐφεῖναι.
6 Petav. ἀφιέντα.
7 Turn. & Bong. Μαζέντιον; Petav. Μεζάντιον, cum Ald. & Bas.

κρατήσαντες ἐν Λεύκτροις, διετέλεσαν ἐν πάσαις ταῖς μάχαις τῷ ἀριστερῷ τὴν ἡγεμονίαν ἀποδιδόντες. ἢ μᾶλλον, (ὡς Ἰόβας φησὶ) τοῖς πρὸς τὰς ἀνατολὰς ἀποβλέπουσιν ἐν ἀριστερᾷ γίνεται τὸ βόρειον· ὃ δὴ τοῦ κόσμου δεξιὸν ἔνιοι τίθενται καὶ καθυπέρτερον. ὅρα δὲ μὴ φύσει τοῖς εὐωνύμοις ἀσθενεστέροις οὖσιν οἱ παριστάμενοι τῶν οἰωνῶν οἷον ἀναῤῥωννύουσι καὶ ὑπερείδουσι τὸ ἐλλειπὲς τῆς δυνάμεως ἐπανισοῦντες. ἢ τὰ ἐπίγεια καὶ θνητὰ τοῖς οὐρανίοις καὶ θείοις ἀντικεῖσθαι νομίζοντες, ᾤοντο τὰ πρὸς ἡμᾶς ἀριστερὰ, τοὺς θεοὺς ἀπὸ τῶν δεξιῶν προπέμπειν.

LXXIX. „Διὰ τί τοῦ θριαμβεύσαντος, εἶτα ἀποθανόντος καὶ καέντος, ἐξῆν ὀστέον λαβόντας εἰς τὴν πόλιν εἰσφέρειν καὶ κατατίθεσθαι, ὡς Πύῤῥων ὁ Λιπαραῖος ἱστόρηκεν;“ ἢ τιμῆς ἕνεκα τοῦ τεθνηκότος; καὶ γὰρ ἄλλοις ἀριστεῦσι καὶ στρατηγοῖς ἔδωκαν οὐκ αὐτοὺς μόνον, ἀλλὰ καὶ τοὺς ἀπ' [1] αὐτῶν ἐνθάπτεσθαι τῇ ἀγορᾷ, καθάπερ Οὐαλερίῳ καὶ Φαβρικίῳ. καί φασι τούτων ἀπογόνοις ἀποθανοῦσι καὶ κομισθεῖσιν εἰς ἀγορὰν ὑφίεσθαι δᾷδα καιομένην, εἶτα εὐθὺς αἴρεσθαι, χρωμένων ἀνεπιφθόνως τῇ τιμῇ, καὶ τὸ ἐξεῖναι μόνον ἐκβεβαιουμένων.

LXXX. „Διὰ τί τοὺς θριαμβεύσαντας ἑστιῶντες [2] ἐν δημοσίῳ, παρῃτοῦντο τοὺς ὑπάτους, καὶ πέμποντες παρεκάλουν μηδ' ἐλθεῖν [3] ἐπὶ τὸ δεῖπνον;“ ἢ καὶ τόπον ἔδει τῷ θριαμβεύσαντι καὶ σίασον [4] ἐντιμότατον ἀποδίδοσθαι, καὶ προπέμπειν [5] μετὰ τὸ δεῖπνον; ταῦτα δ' οὐκ ἔξεστιν ἑτέρῳ γίνεσθαι τῶν ὑπάτων παρόντων, ἀλλὰ ἐκείνοις.



1 Petav. τοὺς ἐπ' αὐτ.

2 Petav. ἑστιῶντας; & mox παρῃτοῦντο, & ἐντιμώτατον.

3 Rectius suspicatur W. quod est ex E. μὴ ἐλθεῖν.

4 Xyl. notat, se ne suspicari quidem posse, in cujus vocis locum hoc monstrum surrepserit. Meminit hujus moris quoque Valer. Max. l. 2. c. 3. Var. lect. Voss. Amiot. Mez. κύαθον.

5 Ald. Bas. Petav. προπεμπτήν.

LXXXI. „Διὰ τί περιπόρφυρον ὁ δήμαρχος ἐ φορεῖ, τῶν ἄλλων ἀρχόντων φορέντων;“ ἢ τοπαράπαν ἐδέ ἐςιν ἄρχων; ἐδὲ γὰρ ῥαβδέχες ἔχεσι, ἐδ' ἐπὶ δίφρε καθήμενοι χρηματίζεσιν, ἐδὲ ἔτες ἀρχῇ, καθάπερ οἱ λοιποὶ πάντες, ἄρχοντές εἰσιν [1], ἐδὲ παύονται δικτάτωρος αἱρεθέντος, ἀλλὰ πᾶσαν ἀρχὴν ἐκείνε μετατιθέντος εἰς ἑαυτὸν, αὐτοὶ μόνοι διαμένεσιν, ὥσπερ ἐκ ὄντες ἄρχοντες, ἀλλ' ἑτέραν τινὰ τάξιν ἔχοντες. ὡς δὲ τῶν ῥητόρων ἔνιοι τὴν παραγραφὴν ἐ βέλονται δίκην εἶναι, τἐναντίον τῇ δίκῃ δρῶσαν [2]. (ἡ μὲν γὰρ εἰσάγει καὶ ποιεῖ κρίσιν, ἡ δὲ ἀναιρεῖ καὶ [3] λύει) τὸν αὐτὸν τρόπον οἴονται τὴν δημαρχίαν κώλυσιν ἀρχῆς μᾶλλον εἶναι, καὶ πρὸς ἀρχὴν ἀντίταξιν, ἢ ἀρχήν. τὸ γὰρ ἐνςῆναι πρὸς δύναμιν ἄρχοντος, καὶ τὴν ἄγαν ἐξεσίαν αφελεῖν, ἐξεσία καὶ δύναμίς ἐςιν αὐτῆς. ἢ ταῦτα μὲν ἄν τις εἴποι καὶ τὰ τοιαῦτα, χρώμενος εὑρεσιλογίᾳ· τῆς δὲ δημαρχίας τὴν γένεσιν ἐκ τῦ δήμε λαμβανέσης, τὸ δημοτικὸν ἰσχυρόν ἐςι, καὶ μέγα τὸ [4] μὴ μεῖζον φρονεῖν τῶν λοιπῶν, ἀλλ' ὁμοιεσθαι καὶ [5] σχήματι καὶ ςολῇ καὶ διαίτῃ τοῖς ἐπιτυγχάνεσι τῶν πολιτῶν. ὁ γὰρ ὄγκος ὑπάτῳ προσήκει καὶ ςρατηγῷ· τὸν δὲ δήμαρχον (ὡς Γάϊος Κερίων ἔλεγε) καταπατεῖσθαι δεῖ, καὶ μὴ σεμνὸν εἶναι τῇ ὄψει, μηδὲ δυσπρόσοδον, μηδὲ τοῖς πολλοῖς χαλεπὸν, ἀλλ' ὑπὲρ τῶν ἄλλων [6], τοῖς δὲ πολλοῖς ευμεταχείριςον. ὅθεν ἐδ' οἰκίας αὐτῦ κλείεσθαι νενόμιςαι θύραν, ἀλλὰ καὶ νύκτωρ ἀνέῳγε καὶ μεθ' ἡμέραν, ὥσπερ λι-

1 Mez. ἄρχοντες εἰσίασιν.

2 Petav. τὴν δίκην δρῶσαν. Ab eod. abeſt ſeq. γάρ.

3 In R. defuerunt ποιεῖ κρίσ. ἡ δὲ ἀναι. καί. Pro ἡ δὲ Petav. ὁ δὲ, & lin. ſeq. omittit καὶ poſt εἶναι.

4 Turn. & Bong. τῷ.

5 Recepi hoc καὶ e Petav. pro vulg. μέν. Dedit idem W. e Venet. & Vcff.

6 Poſt haec E. habere lacunam, proxima tamen retinentem, monet W.

λιμὴν καὶ καταφυγὴ τοῖς δεομένοις. ὅσῳ δὲ μᾶλλον ἐκταπεινῦται τῷ σώματι [1], τοσύτῳ μᾶλλον αὔξεται τῇ δυνάμει. κοινὸν γὰρ αὐτὸν ἀξιῦσι τῇ χρείᾳ, καὶ πᾶσιν ἐφικτὸν, ὥσπερ βωμὸν, εἶναι, τῇ δὲ τιμῇ ποιῦσιν ἱερὸν καὶ ἅγιον καὶ ἄσυλον· ὅπυ κἂν βαδίζων ἐν δημοσίῳ, πᾶσι [2] νόμος ἐςὶ καθαίρεσθαι καὶ ἁγνίζεσθαι τὸ σῶμα καθάπερ μεμιασμένον.

LXXXII. „Διὰ τί τῶν ςρατηγῶν αἱ ῥάβδοι συνδεδεμέναι προσηρτημένων τῶν πελέκεων φέρονται;" πότερον ὅτι σύμβολόν ἐςι τῦ μὴ δεῖν [3] πρόχειρον εἶναι καὶ λελυμένην τὴν ὀργὴν τῦ ἄρχοντος; ἢ, διατριβὴν καὶ μέλλησιν ἐμποιῦν τῇ ὀργῇ τὸ λύειν ἀτρέμα τὰς ῥάβδυς, πολλάκις ἐποίησε μεταγνῶναι περὶ τῆς κολάσεως; ἐπεὶ δὲ τῆς κακίας τὸ μὲν ἰάσιμόν ἐςι, τὸ δ' ἀνήκεςον, αἱ μὲν ῥάβδοι νυθετῦσι τὸ μεταθέσθαι δυνάμενον, αἱ δὲ πελέκεις ἀποκόπτυσι τὸ ἀνυθέτητον.

LXXXIII. „Διὰ τί τὺς καλυμένυς Βλετονησίυς βαρβάρυς ὄντας, ἄνθρωπον τεθυκέναι [4] θεοῖς πυθόμενοι, μετεπέμψαντο τὺς ἄρχοντας αὐτῶν ὡς κολάσοντες· ἐπεὶ δὲ νόμῳ τινὶ τῦτο ἐφαίνοντο πεποιηκότες, ἐκείνυς μὲν ἀπέλυσαν, ἐκώλυσαν δὲ πρὸς τὸ λοιπόν· αὐτοὶ δ' ὐ πολλοῖς ἔτεσιν ἔμπροσθεν, δύο μὲν ἄνδρας, δύο δὲ γυναῖκας ἐν τῇ βοῶν ἀγορᾷ λεγομένῃ, τὺς μὲν, Ἕλληνας, τὺς δὲ, Γαλάτας, ζῶντας κατώρυξαν; φαίνεται [5] γὰρ ἄτοπον, ταῦτα μὲν ποιεῖν αὐτὺς, ἐπιτιμᾷν δὲ βαρβάροις ὡς ὐχ ὅσια ποιῦσι." πότερον τὸ μὲν θεοῖς θύειν ἀνθρώπυς, ἀνόσιον ἡγῦντο· τὸ δὲ, δαίμοσιν, ἀναγκαῖον;

 ἢ

1 W. legendum censet τῷ χρήματι. In seq. Petav. τοσῦτον.

2 Ante πᾶσι multa excidisse suspicatur Mez. Etiam Xyl. mutila haec esse, monet.

3 Petav. μὴ δεῖ.

4 Petav. τεθηκέναι: item ἐνεφαίνοντο pro ἐφαίνοντο. Nomen gentis *Bletonesiorum* depravatum esse videtur.

5 Post h. v. Petav. inserit δέ.

ἢ τοὺς μὲν ἔθει καὶ νόμῳ τοῦτο πράττοντας [1] ἁμαρτάνειν ἐνόμιζον, αὐτοὶ δὲ προσταχθέντες ἐκ τῶν Σιβυλλείων ἔπραξαν; λέγεται γὰρ [2] Ἑλβίαν τινὰ παρθένον ὀχουμένην ἐφ' ἵππου βληθῆναι κεραυνῷ, καὶ γυμνὸν μὲν εὑρεθῆναι κείμενον τὸν ἵππον, γυμνὴν δ' αὐτὴν ὡς ἐπίτηδες ἀνηγμένου [3] τοῦ χιτῶνος ἀπὸ τῶν ἀπορρήτων, ὑποδημάτων δὲ καὶ δακτυλίων καὶ κεκρυφάλου διερριμμένων χωρὶς ἄλλων ἀλλαχόθι, τοῦ δὲ στόματος ἔξω προβεβληκότος τὴν γλῶσσαν. ἀποφηναμένων δὲ τῶν μάντεων, δεινὴν μὲν αἰσχύνην ταῖς ἱεραῖς παρθένοις εἶναι, καὶ γενήσεσθαι περιβόητον, ἅψεσθαι δέ τινα καὶ ἱππέων ὕβριν, ἐμήνυσε βαρβάρου τινὸς ἱππικοῦ θεράπων τρεῖς παρθένους τῶν ἑστιάδων, Αἰμυλίαν καὶ Λικινίαν καὶ Μαρτίαν ὑπὸ τὸ αὐτὸ διεφθαρμένας, καὶ συνούσας πολὺν χρόνον ἀνδράσιν, ὧν εἷς ἦν Βουτέτιος Βάρβαρος τοῦ μηνυτοῦ δεσπότης. ἐκεῖναι μὲν οὖν ἐκολάσθησαν ἐξελεγχθεῖσαι· τῆς δὲ πράξεως δεινῆς φανείσης, ἔδοξεν ἀνέρεσθαι [4] τὰ Σιβύλλεια τοὺς ἱερεῖς. εὑρεθῆναι δέ φασι χρησμοὺς ταῦτά τε προδηλοῦντας ὡς ἐπὶ κακῷ γενησόμενα, καὶ προστάττοντας ἀλλοκότοις τισὶ δαίμοσι καὶ ξένοις, ἀποτροπῆς ἕνεκα τοῦ ἐπιόντος, προέσθαι δύο μὲν Ἕλληνας, δύο δὲ Γαλάτας ζῶντας αὐτόθι κατορυγέντας.

LXXXIV. „Διὰ τί τὴν τῆς ἡμέρας ἀρχὴν ἐκ μέσης νυκτὸς λαμβάνουσι;“ πότερον ὅτι ἡ πολιτεία στρατιωτικὴν ἐν ἀρχῇ σύνταξιν εἶχε· τὰ δὲ πολλὰ νύκτωρ ἐν ταῖς στρατείαις προλαμβάνεται τῶν χρησίμων; ἢ πράξεως μὲν ἀρχὴν [5] ἐποιοῦντο τὴν ἀνατολήν, παρασκευῆς δὲ

1 Ex Ald. Baſ. & Petav. recepi τοῦτο pro vulg. τούτῳ. Idem dedit W. e Voſſ. Pro ſeq. πράττοντας Petav. προστάττονται.

2 Reſtitui γὰρ, quod a R. abfuit.

3 Petav. ἀνακειμένου. Id. infra ἐμύνυσε & μυνυτοῦ. Item Κλινίαν pro Λικινίαν.

4 Sic Xyl. legi voluit, probatque W. & dedi pro vulg. ἀναιρεῖσθαι; Turn. ἀνειρεῖσθαι.

5 Vocem ἀρχὴν ex Ald. Baſ. Petav. reſtitui. A rell. abeſt.

δὲ τὴν νύκτα; δεῖ γὰρ παρασκευασαμένους [1] πράττειν, ἀλλὰ μὴ παρασκευάζεσθαι πράττοντας· ὡς Μύσων πρὸς Χίλωνα τὸν σοφὸν εἰπεῖν λέγεται ἐν χειμῶνι θρίνακα τεκταινόμενος. ἢ καθάπερ ἡ μεσημβρία πέρας ἐστὶ τοῖς πολλοῖς τοῦ τὰ δημόσια καὶ σπουδαῖα πράττειν, οὕτως ἀρχὴν ἔδοξε ποιεῖσθαι τὸ μεσονύκτιον; τεκμήριον δὲ τοῦτο [2] μέγα, τὸ μὴ ποιεῖσθαι Ῥωμαίων [3] ἄρχοντα συνθήκας, μηδὲ ὁμολογίας, μετὰ μέσον ἡμέρας [4]. ἢ δύσει μὲν καὶ ἀνατολῇ λαμβάνειν ἀρχὴν ἡμέρας καὶ τελευτὴν οὐ [5] δυνατόν ἐστιν. ὡς μὲν γὰρ οἱ πολλοὶ τῇ αἰσθήσει διορίζουσιν ἡμέρας μὲν ἀρχὴν τὴν πρώτην ἀνάσχεσιν τοῦ ἡλίου, νυκτὸς δὲ, τελευταίαν ἀπόκρυψιν λαμβάνοντες, οὐχ ἕξομεν ἰσημερίαν, ἀλλ' ἣν μάλιστα τῇ ἡμέρᾳ νύκτα παρισοῦσθαι δοκοῦμεν, αὕτη τῆς ἡμέρας ἐλάττων φανεῖται τῷ τοῦ ἡλίου μεγέθει. ὃ δὲ αὖ πάλιν οἱ μαθηματικοὶ, ταύτην ἰώμενοι τὴν ἀτοπίαν, τίθενται τὸ τοῦ ἡλίου κέντρον, ὅταν ἅψηται τοῦ ὁρίζοντος, ἡμέρας διορισμὸν εἶναι καὶ νυκτὸς, αναίρεσίς ἐστι τῆς ἐναργείας. συμβήσεται γὰρ, ἔτι πολλοῦ φωτὸς ὑπὲρ [6] γῆν ὄντος, καὶ τοῦ ἡλίου καταλάμποντος ἡμᾶς, μηδέπω ἡμέραν ὁμολογεῖν, ἀλλὰ ἔτι νύκτα εἶναι. ἐπεὶ τοίνυν ἐν ταῖς ἀνατολαῖς καὶ δύσεσι τοῦ ἡλίου, δύσληπτός ἐστιν ἡ ἀρχὴ διὰ τὰς εἰρημένας αλογίας, ἀπολείπεται τὸ μεσουρανοῦν, ἢ τὸ ἀντιμεσουρανοῦν αὐτοῦ λαμβάνειν ἀρχήν. βέλτιον [7] δὲ τὸ δεύτερον· φέρεται



1 Petav. παρεσκευασμένους. Idem mox Μίσων pro Μύσων; πέρα pro πέρας.

2 W. fufp. τούτου.

3 Petav. Ῥωμαῖον cum Ald. Baf. & Steph. A W. dubie inter utrumque datur Ῥωμαίων.

4 Quae fequuntur, abfunt a Petav. usque ad alterum ἡμέρας.

5 E Petav. addidi οὐ, quod vulgo abeft. Dedit idem W. e Voff. A Xyl. & Mez. corrigitur ἀδύνατον.

6 Petav. ὑπὸ cum Ald. & Baf. quod Xyl. quoque vertit *infra* terram.

7 Petav. μάλιστα.

ρεται γὰρ ἐκ μεσημβρίας ἐπὶ τὰς δύσεις ἀπὸ ἡμῶν, ἐκ δὲ μεσονυκτίου πρὸς ἡμᾶς ἐπὶ τὰς ἀνατολάς.

LXXXV. „Διὰ τί τὰς γυναῖκας οὔτ' ἀλεῖν εἴων, οὔτ' ὀψοποιεῖν τοπαλαιόν;" ἤ, τὰς συνθήκας διαμνημονεύοντες, ἃς ἐποιήσαντο πρὸς τοὺς Σαβίνους; ἐπεὶ γὰρ ἥρπασαν τὰς θυγατέρας αὐτῶν, εἶτα πολεμήσαντες διηλλάγησαν, ἐν ταῖς ἄλλαις ὁμολογίαις καὶ τοῦτο ἐγράφη, μήτ' ἀλεῖν ἀνδρὶ Ῥωμαίῳ [1] γυναῖκα, μήτε μαγειρεύειν.

LXXXVI. „Διὰ τί τοῦ Μαΐου μηνὸς οὐκ ἄγονται γυναῖκας;" πότερον ὅτι μέσος ἐστὶ τοῦ Ἀπριλλίου καὶ τοῦ Ἰουνίου μηνός, ὧν τὸν μὲν Ἀφροδίτης, τὸν δὲ Ἥρας, γαμηλίων θεῶν, ἱερὸν νομίζοντες, προλαμβάνουσι μικρόν, ἢ περιμένουσιν; ἤ, ὅτι τῷ μηνὶ τούτῳ τὸν μέγιστον ποιοῦνται τῶν καθαρμῶν, νῦν μὲν εἴδωλα ῥιπτοῦντες ἀπὸ τῆς γεφύρας εἰς τὸν ποταμόν, πάλαι δ' ἀνθρώπους; διὸ καὶ τὴν Φλαμινίκαν [2] ἱερὰν τῆς Ἥρας εἶναι δοκοῦσαν, νενόμισται σκυθρωπάζειν, μήτε λουομένην τηνικαῦτα, μήτε κοσμουμένην. ἤ, ὅτι πολλοὶ Λατίνων ἐν τῷ μηνὶ τούτῳ τοῖς κατοιχομένοις ἐναγίζουσι; καὶ διὰ τοῦτο ἴσως Ἑρμῆν ἐν αὐτῷ σέβονται, καὶ Μαΐας ἐπώνυμός ἐστιν. ἢ (καθάπερ ἔνιοι λέγουσιν) ὁ μὲν Μάϊος ἀπὸ τῆς πρεσβυτέρας, ὁ δ' Ἰούνιος ἀπὸ τῆς νεωτέρας ἡλικίας ὠνόμασται; γάμῳ δὲ ἁρμοδιώτερον τὸ νέον, ὡς καὶ Εὐριπίδης φησίν·

Ἀλλ' ἢ τὸ γῆρας τὴν Κύπριν χαίρειν ἐᾷ,
Ἥ τ' Ἀφροδίτη τοῖς γέρουσιν ἄχθεται.

οὐ γαμοῦσιν οὖν [3] ἐν τῷ Μαΐῳ, περιμένοντες τὸν Ἰούνιον, ὃς εὐθύς ἐστι μετὰ τὸν Μάϊον.

LXXXVII. „Διὰ τί τῶν γαμουμένων αἰχμῇ δορατίου

1 Petav. Ῥωμαίαν.

2 Petav. Φλαμινίβαν, cum Ald. Idem ἡμέρας pro Ἥρας. Cf. Gell. N. A. XVI. X. 15.

3 abest ἐν a Petav. Idem paulo ante τὸν νέον pro τὸ ν. et deinde περιμένοντος.

τίου τὴν κόμην διακρίνουσιν;“ ἆρα σύμβολόν ἐστι τοῦτο τοῦ βίᾳ καὶ μετὰ πολέμου γαμηθῆναι τὰς πρώτας; ἢ μανθάνουσιν ἀνδράσι συνοικοῦσαι μαχίμοις καὶ πολεμικοῖς, ἄθρυπτον καὶ ἄθηλυν καὶ ἀφελῆ προσίεσθαι καλλωπισμόν; ὥσπερ ὁ Λυκοῦργος ἀπὸ πρίονος καὶ πελέκεως κελεύσας τὰ θυρώματα ταῖς οἰκίαις ποιεῖν καὶ τὰς ὀροφὰς, ἄλλῳ δὲ μὴ χρῆσθαι τὸ παράπαν ἐργαλείῳ, πᾶσαν ἐξέβαλε περιεργίαν καὶ πολυτέλειαν; ἢ τὴν διάστασιν αἰνίττεται τὸ γινόμενον, ὡς μόνῳ σιδήρῳ τοῦ γάμου διακριθησομένου, ἢ τὰ μὲν πλεῖστα τῶν γαμικῶν εἰς τὴν Ἥραν ἀνῆπτον; Ἥρας δὲ ἱερὸν τὸ δόρυ νενόμισται [1], καὶ τῶν ἀγαλμάτων αὐτῆς δόρατι στηρίζεται τὰ πλεῖστα, καὶ Κυρῖτις ἡ θεὸς ἐπωνόμασται. τὸ γὰρ δόρυ κοῦριν [2] ἐκάλουν οἱ παλαιοί· διὸ καί φασι Κυρῖνον ὀνομασθῆναι Ἐνυάλιον.

LXXXVIII. „Διὰ τί τὸ τελούμενον εἰς θέας [3] Λοῦκαρ καλοῦσιν;“ ἢ, ὅτι πολλά ἐστιν ἄλση περὶ τὴν πόλιν ἀνειμένα θεοῖς, ἃ καλοῦσι λούκους, καὶ τὴν ἀπὸ τούτων πρόσοδον εἰς τὰς θέας ἀνήλισκον;

LXXXIX. „Διὰ τί τὰ Κυρινάλια μωρῶν ἑορτὴν ὀνομάζουσιν;“ ἢ, ὅτι τὴν ἡμέραν ταύτην ἀπεδεδώκεσαν (ὡς Ἰόβας φησὶ) τοῖς τὰς αὐτῶν φατρίας [4] ἀγνοοῦσιν, ἢ τοῖς μὴ θύσασιν, ὥσπερ οἱ λοιποὶ, κατὰ φυλὰς ἐν τοῖς Φουρνικαλίοις, δι' ἀσχολίαν, ἢ ἀποδημίαν, ἢ ἄγνοιαν, ἐδόθη τῇ ἡμέρᾳ ταύτῃ τὴν ἑορτὴν ἐκείνην ἀπολαβεῖν.

XC. „Διὰ τί τῷ Ἡρακλεῖ γινομένης θυσίας, ἄλλον οὐδένα θεῶν ὀνομάζουσιν, οὐδὲ φαίνεται κύων ἐντὸς τῶν περι-

1 absunt a Petav. quæ sequuntur, καὶ τῶν — ἐπωνόμασται.

2 W. adnotat, Ald. Baf. Xyl. habere κῦριν, idque probat. At nequaquam ita extat. Habent hoc loco κοῦριν, κῦριν autem pro seq. Κυρῖνον, pro quo Petav. κύριον affert, simul exhibens τὸ ante Ἐνυάλ. Xyl. pro κοῦριν legendum susp. κύρις.

3 Accentu sic posito dedi e Xyl. mente pro vulg. θεάς. Secutus sum eundem, dando ἄλση pro vulg. ἄλλα. Idem Mez. corrigit, et probat W. Ita Sex. Pompejus: *Lucar appellatur aes, quod ex lucis captatur.*

4 Xyl. legit φρατρίας; et deinde Φορνακαλίοις.

περιβόλων, ὡς Βάῤῥων ἱςόρηκεν;" ἤ, θεὸν μὲν ἄλλον οὐκ ὀνομάζουσι, διὰ τὸ τοῦτον ἡμίθεον νομίζειν; ὡς δέ φασιν ἔνιοι, καὶ μετὰ τῶν ἀνθρώπων ὄντος ἔτι βωμὸν ἱδρύσασθαι τὸν Εὔανδρον αὐτοῦ, καὶ θυσίαν προσαγαγεῖν. κυνὶ δὲ πάντων μάλιςα τῶν ζώων ἐπολέμησε. καὶ γὰρ οὗτος αὐτῷ ἀεὶ πολλὰ πράγματα παρέσχε, καὶ ὁ Κέρβερος· καὶ ἐπὶ πᾶσι, τοῦ Λικυμνίου παιδὸς οἰωνοῦ διὰ κύνα φονευθέντος ὑπὸ τῶν Ἱπποκοωντιδῶν, ἀναγκασθεὶς μάχην συνάψαι, τῶν τ' ἄλλων φίλων πολλοὺς ἀπέβαλε, καὶ τὸν ἀδελφὸν Ἰφικλέα.

XCI. „Διὰ τί τοῖς πατρικίοις οὐκ ἐξῆν περὶ τὸ Καπιτώλιον κατοικεῖν; πότερον ὅτι Μάρκος Μάνλιος [1] αὐτόθι κατοικῶν ἐπεχείρησε τυραννίδι; δι' ὃν [2] ἀπώμοτόν φασιν εἶναι τῷ οἴκῳ, μηδενὶ Μανλίῳ ὄνομα Μάρκου γενέσθαι; ἢ παλαιὸς ἦν φόβος οὗτος; Ποπλικόλαν γοῦν ἄνδρα δημοτικώτατον οὐκ ἐπαύσαντο [3] διαβάλλοντες μὲν οἱ δυνατοὶ, δεδιότες δὲ [4] οἱ πολλοὶ, μέχρις οὗ τὴν οἰκίαν αὐτὸς κατέσκαψεν, ἐπικεῖσθαι τῇ ἀγορᾷ δοκοῦσαν.

XCII. „Διὰ τί τῷ σώσαντι πολίτην ἐν πολέμῳ δρύϊνον διδόασι ςέφανον;" πότερον ὅτι πανταχοῦ καὶ ῥᾳδίως ἐςὶν εὐπορῆσαι δρυὸς ἐπὶ ςρατείας; ἢ ὅτι Διὸς καὶ Ἥρας ἱερὸς ὁ ςέφανός ἐςιν, οὓς πολιούχους νομίζουσιν; ἢ παλαιὸν ἀπ' Ἀρκάδων τὸ ἔθος, οἷς ἐςί τις συγγένεια πρὸς τὴν δρῦν; πρῶτοι γὰρ ἀνθρώπων γεγονέναι δοκοῦσιν ἐκ γῆς, ὥσπερ ἡ δρῦς τῶν φυτῶν.

XCIII. „Διὰ τί γυψὶ χρῶνται μάλιςα πρὸς τοὺς οἰωνισμούς;" πότερον ὅτι καὶ Ῥωμύλῳ δώδεκα γῦπες ἐφάνησαν ἐπὶ τῇ κτίσει τῆς Ῥώμης; ἢ ὅτι τῶν ὀρνίθων ἥκιςα συνεχὴς καὶ συνήθης οὗτος; οὐδὲ γὰρ νεοττιᾷ γυπὸς ἐντυχεῖν

1 Dedi ſic e Xyl. mente pro vulg. Μάλιος. Cf. Liv. L. VI. c. 14 — 20.

2 Inſerui δι', quod vulgo abeſt, Xyl. ſecutus. Facile omitti poterat ob ſyllabam finalem vocis præcedentis.

3 Petav. ἐπαύσατο.

4 abeſt δὲ ab Ald. & Baſ. Id reſtituendum monuit Xyl.

χεῖν ῥᾳδίως ἐςὶν, ἀλλὰ πόῤῥωθεν ποθὲν ἐξαπίνης καταίρουσι; διὸ καὶ σημειώδης ἡ ὄψις αὐτῶν ἐςιν. ἢ καὶ τοῦτο παρ' Ἡρακλέους ἔμαθον; εἰ λέγει ἀληθῶς Ἡρόδωρος, ὅτι πάντων μάλιςα γυψὶν ἐπὶ πράξεως ἀρχῇ Φανεῖσιν ἔχαιρεν Ἡρακλῆς ἡγούμενος, δικαιότατον εἶναι τὸν γῦπα τῶν σαρκοφάγων ἁπάντων· πρῶτον μὲν γὰρ οὐδενὸς ἅπτεται ζῶντος, οὐδ' ἀποκτίννυσιν ἔμψυχον οὐθὲν, ὡς ἀετοὶ καὶ ἱέρακες καὶ τὰ νυκτινόμα· χρῆται [1] δὲ τοῖς ἄλλοις ἀποθανοῦσιν. ἔπειτα καὶ τούτων τὰ ὁμόφυλα παρίησι. πετεινοῦ γὰρ οὐδεὶς ἑώρακε γῦπα γευόμενον, ὡς ἀετοὶ καὶ ἱέρακες μάλιςα τὰ συγγενῆ διώκουσι καὶ κόπτουσι. καίτοι κατ' Αἰσχύλον,

Ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι Φαγών;

ἀνθρώποις δὲ [2], ὡς ἔπος εἰπεῖν, ἀβλαβέςατός ἐςιν, οὔτε καρπὸν ἀφανίζων, οὔτε Φυτὸν, οὔτε ζῶον ἥμερον κακουργῶν. εἰ δὲ (ὡς Αἰγύπτιοι μυθολογοῦσι) θῆλυ πᾶν τὸ γένος ἐςὶ, καὶ κυΐσκονται δεχόμενοι καταπνέοντα τὸν ἀπηλιώτην, ὥσπερ τὰ δένδρα τὸν ζέφυρον, καὶ παντάπασιν ἀπλανῆ τὰ σημεῖα καὶ βέβαια γίνεσθαι πιθανόν ἐςιν ἀπ' αὐτῶν· ἐν δὲ τοῖς ἄλλοις αἱ περὶ τὰς ὀχείας σοβήσεις, ἔτι δὲ ἁρπαγαὶ καὶ Φυγαὶ καὶ διώξεις πολὺ τὸ θορυβῶδες καὶ ἀκατάςατον ἔχουσι.

XCIV. „Διὰ τί τοῦ Ἀσκληπιοῦ τὸ ἱερὸν ἔξω πόλεώς ἐςι;" πότερον ὅτι τὰς ἔξω διατριβὰς ὑγιεινοτέρας ἐνόμιζον εἶναι τῶν ἐν τῷ [3] ἄςει; καὶ γὰρ Ἕλληνες ἐν τόποις καθαροῖς καὶ ὑψηλοῖς ἐπιεικῶς ἱδρυμένα τὰ Ἀσκληπίεια [4] ἔχουσιν· ἢ, ὅτι τὸν θεὸν ἐξ Ἐπιδαύρου μετάπεμπτον [5] ἥκειν

1 Restitui χρῆται, pro χρῆσθαι, quod R. habet. Frft. χρῆσαι. Paulo ante Petav. οὐδὲν pro οὐθὲν. Pro seq. ἄλλοις W. mavult ἄλλως; Voss. habet τοῖς ὅλοις.

2 Pro δὲ Petav. τε.

3 abest τῷ a Petav. Post seq. τόποις addit id. καὶ.

4 Dedi sic h. l. et infra cum W. ex E. Vulgo Ἀσκλήπεια et Ἀσκλήπειον. Petav. Ἀσκλήπια.

5 Petav. μετάπεμπτον ἥκειν. Id. omittit, quae sequuntur post νομίζουσιν usq. ad ἐςιν.

ἥκειν νομίζουσιν, Ἐπιδαυρίοις δ' οὐ κατὰ πόλιν, ἀλλὰ πόῤῥω τὸ Ἀσκληπίειόν ἐστιν; ἢ, ὅτι τοῦ δράκοντος ἐκ τῆς τριήρους κατὰ τὴν νῆσον ἀποβάντος καὶ ἀφανισθέντος αὐτὸν ᾤοντο τὴν ἵδρυσιν ὑφηγεῖσθαι τὸν θεόν;

XCV. „Διὰ τί νενόμισται, τοὺς ἁγνεύοντας οσπρίων ἀπέχεσθαι;" πότερον, ὡς οἱ Πυθαγορικοὶ τοὺς μὲν κυάμους ἀφωσιοῦντο [1] διὰ τὰς λεγομένας αἰτίας, τὸν δὲ λάθυρον καὶ τὸν ἐρέβινθον ὡς παρωνύμους τοῦ ἐρέβους καὶ τῆς λήθης; ἢ ὅτι πρὸς τὰ περίδειπνα καὶ τὰς προκλήσεις τῶν νεκρῶν μάλιστα χρῶνται τοῖς ὀσπρίοις; ἢ μᾶλλον, ὅτι δεῖ πρὸς τὰς ἁγνείας καὶ ἁγιστείας καθαρὰ καὶ λιτὰ τὰ σώματα ἔχειν; ἔστι δὲ τὰ ὄσπρια πνευματώδη, καὶ περίσσευμα ποιεῖ πολλῆς καθάρσεως δεόμενον. ἢ ὅτι καὶ πρὸς συνουσίαν παρορμᾷ διὰ τὸ φυσῶδες καὶ πνευματικόν;

XCVI. „Διὰ τί τῶν παναγῶν παρθένων τὰς διαφθαρείσας ἄλλως οὐ κολάζουσιν, ἀλλὰ ζώσας κατορύττουσιν;" πότερον ὅτι καίουσι τοὺς ἀποθανόντας, θάπτειν δὲ πυρὶ τὴν τὸ πῦρ τὸ θεῖον ὁσίως μὴ φυλάξασαν, οὐκ ἦν δίκαιον; ἢ σῶμα ταῖς μεγίσταις καθωσιωμένον ἁγιστείαις ἀναιρεῖν, καὶ προσφέρειν ἱερᾷ γυναικὶ χεῖρας, οὐ θεμιτὸν ἐνόμιζον; αὐτὴν οὖν ἀποθανεῖν μηχανώμενοι, δι' αὐτῆς κατεβίβαζον [2] ὑπὸ γῆν εἰς οἴκημα πεποιημένον, ὅπου καὶ λύχνος ἔκειτο καιόμενος, καὶ ἄρτος καὶ γάλακτός τι καὶ ὕδατος. εἶτα γῇ τὸ οἴκημα κατέκρυπτον ἄνωθεν. καὶ οὐδὲ τοῦτον τὸν τρόπον ἀφοσιωσάμενοι τὴν δεισιδαιμονίαν ἐκπεφεύγασιν, ἀλλὰ μέχρι νῦν ἐναγίζουσιν οἱ ἱερεῖς ἐκεῖ βαδίζοντες ἐπὶ τὸν τόπον.

XCVII. „Διὰ τί ταῖς Δεκεμβρίαις εἰδοῖς ἱπποδρομίας γενομένης, ὁ νικήσας δεξιὸς ἱερὸς Ἄρει θύεται, καὶ τὴν μὲν οὐρὰν ἀποκόψας τις ἐπὶ τὴν Ῥήγειαν καλουμένην κομίζει, καὶ τὸν βωμὸν αἱμάσσει, περὶ δὲ τῆς κεφαλῆς, οἱ μὲν ἀπὸ τῆς ἱερᾶς ὁδοῦ λεγομένης, οἱ δὲ ἀπὸ τῆς Σιβούρης

1 Petav. ἀφωσιοῦντο; mox τοῦ ἐρέμβους, & τὰς ἀγυιάσι.
2 Petav. κατεβίασαν.

βύρης καταβάντες διαμάχονται;“ πότερον (ὡς ἔνιοι λέγυσιν) ἵππῳ τὴν Τροίαν ἡλωκέναι νομίζοντες, ἵππον κολάζυσιν, ἅτε δὴ καὶ γεγονότες

Τρώων ἀγλαὰ τέκνα μεμιγμένα παισὶ Λατίνων;

ἤ, ὅτι θυμοειδὲς καὶ πολεμικὸν καὶ ἀρήϊον ὁ ἵππος ἐςί, τὰ δὲ προσφιλῆ [1] μάλιςα καὶ πρόσφορα θύουσι τοῖς θεοῖς. ὁ δὲ νικήσας θύεται διὰ τὸ νίκης καὶ κράτυς [2] οἰκεῖον εἶναι τὸν θεόν. ἢ μᾶλλον ὅτι τῦ θεῦ ςάσιμον τὸ ἔργον ἐςί, καὶ νικῶσιν οἱ μένοντες ἐν τάξει τὺς μὴ μένοντας, ἀλλὰ φεύγοντας, καὶ κολάζεται τὸ τάχος ὡς δειλίας ἐφόδιον, καὶ μανθάνυσι συμβολικῶς, ὅτι σωτήριον ὐκ ἔςι τοῖς φεύγυσι;

XCVIII. „Διὰ τί οἱ τιμηταὶ τὴν ἀρχὴν παραλαβόντες, ὐδὲν ἄλλο πράττυσι πρῶτον, ἢ τὴν τροφὴν ἀπομισθῦσι τῶν ἱερῶν χηνῶν, καὶ τὴν γάνωσιν τῦ ἀγάλματος;“ πότερον ἀπὸ τῶν ευτελεςάτων ἀρχόμενοι, καὶ μὴ πολλῆς δεομένων δαπάνης, μηδὲ πραγματείας; ἤ, παλαιά τις αὕτη χάρις ἀπομνημονεύεται τοῖς ζώοις ἀπὸ τῶν Κελτικῶν, ὅτι τὺς βαρβάρυς ὑπερβαίνοντας ἤδη τὸ περιτείχισμα τῦ Καπιτωλίυ νύκτωρ οἱ χῆνες ᾔσθοντο, τῶν κυνῶν [3] καθευδόντων, καὶ βοῇ τὺς φύλακας ἐπήγειραν; ἢ φύλακες ὄντες οἱ τιμηταὶ τῶν μεγίςων, καὶ προσῆκον [4] ἐπισκοπεῖν καὶ πολυπραγμονεῖν αὐτοῖς ἱερὰ καὶ δημόσια καὶ βίυς καὶ ἤθη καὶ διαίτας, τὸ φυλακτικώτατον ζῶον εὐθὺς ἐν λόγῳ τίθενται, καὶ ἅμα τῇ τύτων ἐπιμελείᾳ προτρέπονται τὺς πολίτας μὴ ἀμελεῖν, μηδὲ ῥᾳθυμεῖν τῶν ἱερῶν; ἡ δὲ γάνωσις τῦ ἀγάλματος ἀναγκαία. ταχὺ γὰρ ἐξαν-

1 Petav. προσφιλεῖ. Ex eodem R. fumfiffe videtur πρόσφορα. In rell. omnibus προσφόρα.

2 Ita e correctione Mez. dedi. Vulgo κράτοι. In fuppl. Var. Lect. Frft. hæ notantur conjecturæ vel διὰ τὸ νίκης καὶ κράτυς οἰκεῖον εἶναι τῦ Θεῦ, vel διὰ τὸ νίκην καὶ κράτος οἰκεῖον vel οἰκεῖα εἶναι τὰ Θεῦ, vel διὰ τό, τῦ νίκης &c. &c.

3 abeft κυνῶν a Petav. Pro βοῇ idem βοή.

4 W. fum fecutus, fic e Vofs. dantem pro vulg. προσηκόντων. Jam Xyl. ex fenfu loci legit προσῆκεν ἄν.

ἐξανθεῖ τὸ μίλτινον, ᾧ τὰ παλαιὰ τῶν ἀγαλμάτων ἔχρωζον.

XCIX. „Διὰ τί τῶν ἄλλων ἱερέων τὸν καταδικασθέντα καὶ φυγόντα παύοντες, ἕτερον αἱροῦνται, τοῦ δ' αὔγουρος, ἕως ζῇ, κἂν ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι καταγνῶσιν, οὐκ ἀφαιροῦνται τὴν ἱερωσύνην; (αὔγουρας δὲ τοὺς ἐπὶ τῶν οἰωνῶν καλοῦσι)“ πότερον, ὡς ἔνιοι λέγουσι, βούλονται [1] μηδένα τὰ τῶν ἱερῶν ἀπόῤῥητα γινώσκειν, ὃς οὐκ ἔστιν ἱερεύς; ἢ κατειλημμένον ὅρκοις τὸν αὔγουρα μηδενὶ φράσειν τὰ τῶν ἱερῶν [2], ἀπολῦσαι τῶν ὅρκων οὐ θέλουσιν ἰδιώτην γινόμενον; ἢ τιμῆς οὐκ ἔστιν, οὐδ' ἀρχῆς, ἀλλ' ἐπιστήμης ὄνομα καὶ τέχνης, ὁ αὔγουρ; ὅμοιον οὖν τῷ τὸν μουσικὸν ἀποψηφίσασθαι μουσικὸν μὴ εἶναι, καὶ τὸν ἰατρὸν, ἰατρὸν, τὸ κωλύειν μάντιν εἶναι τὸν μάντιν, ἀφελέσθαι μὴ δυναμένους τὴν δύναμιν αὐτοῦ, κἂν ἀφέλωνται τὴν προσηγορίαν. ἄλλον δ' οὐ καθιστᾶσιν [3], εἰκότως τὸν ἐξ ἀρχῆς ἀριθμὸν τῶν αὐγούρων φυλάττοντες.

C. „Διὰ τί ταῖς Αὐγούσταις εἰδοῖς, Σεξτιλίαις δὲ πρότερον λεγομέναις, ἑορτάζουσιν αἵ τε δοῦλαι καὶ οἱ δοῦλοι πάντες, αἱ δὲ γυναῖκες μάλιστα ῥύπτεσθαι τὰς κεφαλὰς καὶ καθαίρειν ἐπιτηδεύουσιν;“ ἢ διὰ τὸν Σερούϊον τὸν βασιλέα κατὰ ταύτην τὴν ἡμέραν ἐξ αἰχμαλώτου γενέσθαι θεραπαινίδος, ἄδειαν ἔργων ἔχουσιν οἱ θεράποντες; τὸ δὲ πλύνειν τὰς κεφαλὰς, ἀρξάμενον ἀπὸ τῶν θεραπαινίδων διὰ τὴν ἑορτὴν, ἄχρι τῶν ἐλευθέρων προῆλθεν;

CI. „Διὰ τί κοσμοῦσι τοὺς παῖδας τοῖς περιδεραίοις, ἃ βούλλας καλοῦσι;“ πότερον ἐπὶ τιμῇ τῶν ἡρπασμένων γυναικῶν, ὥσπερ ἄλλα πολλὰ, καὶ τοῦτο ἐψηφίσαντο τοῖς ἐξ αὐτῶν γεννωμένοις [4] ὑπάρχειν; ἢ τὴν Ταρκυνίου τιμῶντες ἀνδραγαθίαν; λέγεται γὰρ ἔτι παῖς ὢν ἐν τῇ μαχῃ

1 Petav. βούλωνται; Id. ὅρκον pro ὅρκοις.

2 Petav. φράσσειν τὰ τῶν ἱερέων.

3 Petav. ἐπιστᾶσιν.

4 Restitui γεννωμένοις ex Ald. Bas. Steph. & Petav. pro γενομένοις, quod est in Frst. & R.

χῃ τῇ πρὸς Λατίνους ἅμα καὶ Τυῤῥηνοὺς, ἐμβαλεῖν εἰς τοὺς πολεμίους, ἀποῤῥυεὶς δὲ τοῦ ἵππου, καὶ τοὺς ἐπιφερομένους ἰταμῶς ὑποστὰς, ἐπιῤῥῶσαι τοὺς Ῥωμαίους· γενομένης δὲ λαμπρᾶς τροπῆς τῶν πολεμίων, καὶ μυρίων ἑξακισχιλίων ἀναιρεθέντων, τοῦτο λαβεῖν ἀριστεῖον παρὰ τοῦ πατρὸς καὶ βασιλέως. ἢ τοῖς παλαιοῖς οἰκετῶν μὲν ἐρᾶν ὥραν ἐχόντων, οὐκ ἦν ἄδοξον, οὐδ᾽ αἰσχρὸν, (ὡς ἔτι νῦν αἱ κωμῳδίαι μαρτυροῦσιν) ἐλευθέρων δὲ παίδων ἰσχυρῶς ἀπείχοντο, καὶ ὅπως μηδὲ γυμνοῖς ἐντυχόντες ἀμφιγνοήσειαν, ἐφόρουν οἱ παῖδες τὸ παράσημον; ἢ καὶ πρὸς εὐταξίαν ἐστὶ φυλακτήριον τοῦτο, καὶ τρόπον τινὰ τοῦ ἀκολάστου χαλινὸς, αἰσχυνομένων ἀνδροῦσθαι, πρινὴ τὸ παιδικὸν ἀποθέσθαι παράσημον; ὃ μὲν γὰρ οἱ περὶ Βάῤῥωνα λέγουσιν, οὐ πιθανόν ἐστι, τῆς βουλῆς [1] ὑπὸ Αἰολέων βόλλας προσαγορευομένης, τοῦτο σύμβολον εὐβουλίας περιτίθεσθαι τοὺς παῖδας. ἀλλὰ ὅρα, μὴ καὶ τοῦτο διὰ τὴν σελήνην φοροῦσι. τὸ γὰρ φαινόμενον σχῆμα τῆς σελήνης, ὅταν ᾖ διχόμηνος, οὐ σφαιροειδὲς, ἀλλὰ φακοειδές ἐστι καὶ δισκοειδές· ὡς δ᾽ Ἐμπεδοκλῆς οἴεται, καὶ τὸ ὑποκείμενον [2].

CII. „Διὰ τί τῶν μὲν παίδων τοῖς μὲν ἄῤῥεσιν ἐνναταίοις [3], τοῖς δὲ θήλεσιν ὀγδοαίοις τὰ ὀνόματα τίθενται;“ ἢ τὸ μὲν προτέροις τοῖς θήλεσιν, αἰτίαν ἔχει τὴν φύσιν; καὶ γὰρ [4] αὔξεται τὸ θῆλυ, καὶ ἀκμάζει καὶ τελειοῦται πρότερον τοῦ ἄῤῥενος. τῶν δὲ ἡμερῶν τὰς μετὰ τὴν ἑβδόμην λαμβάνουσιν· ἡ γὰρ ἑβδόμη, σφαλερὰ τοῖς νεογνοῖς πρός τε τὰ ἄλλα καὶ τὸν ὀμφαλόν. ἑβδο-

1 Xyl. uno λ legi voluit *βουλῆς*, item Mez. Proxime E. *βολᾶς*.

2 Quid Empedoclis citetur, ſe non intelligere fatetur Xyl. niſi *ὑποκείμενον*, *materiam Lunae* ſignificet. W. haec non integra cenſet.

3 Petav. *ἐνναταίοις*.

4 abeſt *γὰρ* a Petav.

ἑβδομαῖος γὰρ ἀπολύεται τοῖς πλείστοις· ἕως δ' ἀπολυθῇ, Φυτῷ μᾶλλον, ἢ ζώῳ [1], προσέοικε τὸ νήπιον. ἢ, καθάπερ οἱ Πυθαγορικοὶ τοῦ ἀριθμοῦ τὸ μὲν ἄρτιον, θῆλυν, ἄῤῥενα δὲ τὸ περιττὸν ἐνόμιζον; γόνιμος γάρ ἐστι καὶ κρατεῖ τοῦ ἀρτίου συντιθέμενος. καὶ διαιρουμένων εἰς τὰς μονάδας [2], ὁ μὲν ἄρτιος, καθάπερ τὸ θῆλυ, χώραν μεταξὺ κενὴν ἐνδίδωσι. τοῦ δὲ περιττοῦ μόριον ἀεί τι πλῆρες ὑπολείπεται, διὸ τὸν μὲν ἄῤῥενι, τὸν δὲ θήλει πρόσφορον [3] νομίζουσιν. ἢ ὅτι τῶν ἀριθμῶν ἁπάντων, τὰ μὲν ἐννέα, πρῶτός ἐστι τετράγωνος, ἀπὸ περιττοῦ καὶ τελείου τῆς τριάδος· τὰ δ' ὀκτὼ πρῶτος κύβος ἀπὸ ἀρτίου τῆς δυάδος; δεῖ δὲ τὸν μὲν ἄνδρα [4] τετράγωνον εἶναι καὶ περιττὸν καὶ τέλειον· τὴν δὲ γυναῖκα, καθάπερ τὸν κύβον, ἑδραῖον καὶ οἰκουρὸν καὶ δυσμετακίνητον. τοῦτο [5] δὲ προσληπτέον, ὅτι τὰ μὲν ὀκτὼ κύβος ἐστὶν ἀπὸ δυάδος, τὰ δ' ἐννέα, τετράγωνος ἀπὸ τριάδος. χρῶνται δὲ δυσὶ μὲν ὀνόμασιν αἱ θήλειαι, τρισὶ δὲ οἱ ἄῤῥενες.

CIII. „Διὰ τί τοὺς ἀπάτορας σπορίους υἱοὺς καλοῦσιν;“ οὐ γάρ, ὡς Ἕλληνες νομίζουσι, καὶ λέγουσιν οἱ ῥήτορες ἐν ταῖς δίκαις, συμφορητοῦ τινος καὶ κοινοῦ σπέρματος γεγόνασιν, ἀλλά ἐστιν ὁ Σπόριος τῶν πρώτων ὀνομάτων, ὡς ὁ Σέξτος καὶ ὁ Δέκιμος καὶ ὁ Γάϊος. τὰ δὲ πρῶτα τῶν ὀνομάτων οὐχ ὁλογραφοῦσιν, ἀλλ' ἢ δι' ἑνὸς γράμματος, ὡς τὸν Τίτον καὶ [6] τὸν Λέκιον καὶ τὸν Μάρκον· ἢ διὰ δυοῖν, ὡς τὸν Τιβέριον [7] καὶ τὸν Γνέον· ἢ διὰ τριῶν, ὡς τὸν Σέξτον καὶ τὸν Σερούϊον. ἔστιν οὖν καὶ ὁ Σπόριος τῶν διὰ δυοῖν γραφομένων, τοῦ σ καὶ τοῦ

1 Petav. ἢ ζῶον; deinde τὸν μὲν ἄρτιον.
2 Mez. μερίδας.
3 Petav. προσφερόμενον.
4 Recepi ex Turn. & Bong. ἄνδρα, quod vulgo abest.
5 W. legi vult τούτῳ.
6 Pro καὶ Ald. μέν.
7 Ald. & Bas. τὸν Βέῤῥιον. Xyl. correxit.

τȣ͂ π. γράφȣσι δὲ [1] διὰ τȣ́των καὶ τȣ̀ς ἀπάτορας, σίνε πάτρις, οἷον ἄνευ πατρός· τῷ μὲν σίγμα τὸ σίνε, τῷ δὲ π τὸ πάτρις σημαίνοντες. τȣ͂το ȣ͂ν τὴν πλάνην ἐποίησε, τὸ διὰ τῶν αὐτῶν γραμμάτων τὸ Σίνε πάτρις καὶ τὸν Σπόριον γράφεσθαι [2]. λεκτέον δὲ καὶ τὸν ἕτερον λόγον· ἔςι δ' ἀτοπώτερος. τȣ̀ς γὰρ Σαβίνȣς φασὶ τὸ τῆς γυναικὸς αἰδεῖον ὀνομάζειν σπόριον· εἶτα οἷον ἐφυβρίζοντας ȣ̔́τω προσαγορεύειν τὸν ἐκ γυναικὸς ἀγάμȣ καὶ ἀνεγγύȣ γεγεννημένον.

CIV. „Διὰ τί τὸν Διόνυσον Λίβερȣμ πάτρεμ καλȣ͂σι;“ πότερον ὡς ἐλευθερίας πατέρα τοῖς πιȣ͂σι γενόμενον; γίνονται γὰρ οἱ πολλοὶ θρασεῖς καὶ παῤῥησίας ὑποπιμπλῶνται περὶ τὰς μέθας. ἢ ὅτι τὴν λοιβὴν παρέσχεν; ἢ (ὡς Ἀλέξανδρός φησιν) ἀπὸ τȣ͂ περὶ Ἐλευθέρας τῆς Βοιωτίας ἐλευθερέως Διονύσȣ προσαγορευομένȣ;

CV. „Διὰ τίνα αἰτίαν ἐν [3] ταῖς δημοσίαις ἑορταῖς ἔθος ȣ̓κ ἔςι γαμεῖσθαι παρθένȣς, αἱ δὲ χῆραι γαμȣ͂νται;“ πότερον (ὡς ὁ Βάῤῥων εἴρηκεν) ὅτι λυπȣ́μεναι μὲν αἱ παρθένοι γαμȣ͂νται, χαίρȣσαι δὲ αἱ γυναῖκες· ἑορτῇ δὲ δεῖ [4] μηδὲν λυπȣμένȣς ποιεῖν, μηδὲ πρὸς ἀνάγκην; ἢ μᾶλλον, ὅτι ταῖς μὲν παρθένοις καλὸν μὴ ὀλίγων, ταῖς δὲ χήραις αἰσχρὸν πολλῶν ὄντων γαμεῖσθαι; ζηλωτὸς γὰρ ὁ πρῶτος γάμος, ὁ δὲ δεύτερος ἀπευκταῖος· αἰσχύνονται γὰρ, ἂν ζώντων τῶν προτέρων ἑτέρȣς λαμβάνωσιν, ὀδύρονται δὲ, ἂν ἀποθανόντων. ὅθεν ἡσυχίᾳ χαίρȣσι μᾶλλον, ἢ θορύβοις καὶ προ-



1 Post δὲ Petav. habet καί.

2 Petav. γράψασθαι. Id. Ἀμίνȣς pro Σαβίνȣς; nec non ὀνομάζȣσι pro ὀνομάζειν, & ἐφυβρίζοντες pro ἐφυβρίζοντας.

3 abest ἐν a Petav.

4 Vulgo ἑορτῇ δὲ μηθέν. Ut haec corrigam, necesse duxi. W. legendum censuit aut ἑορτῆς δὲ, est hoc festi diei, ut nil cum molestia agatur, aut id, quod dedi. Paulo ante Petav. χαίρȣσι pro χαίρȣσαι.

προπομπαῖς. αἱ δὲ ἑορταὶ περισπῶσι τὰς πολλὰς, ὥςε τοῖς τοιύτοις μὴ σχολάζειν. ἢ, ὅτι καὶ τὰς Σαβίνων [1] θυγατέρας ἁρπάσαντες ἐν ἑορτῇ παρθένας ἔσας, εἰς πόλεμον κατέςησαν, ἐξοιωνίσαντο γαμεῖν παρθένας ἐν ἱεραῖς ἡμέραις;

CVI. „Διὰ τί Ῥωμαῖοι τύχην σέβονται πριμιγένειαν, ἣν ἄν τις εἴποι πρωτογένειαν;“ ἆρα ὅτι Σερβίῳ κατὰ τύχην (ὥς Φασιν) ἐκ θεραπαινίδος γενομένῳ, βασιλεῦσαι τῆς Ῥώμης ἐπιφανῶς ὑπῆρξεν; ἔτω γὰρ οἱ πολλοὶ Ῥωμαῖοι [2] ὑπειλήφασιν. ἢ μᾶλλον, ὅτι τῆς Ῥώμης ἡ τύχη παρέσχε τὴν ἀρχὴν καὶ τὴν γένεσιν; ἢ Φυσικώτερον ἔχει λόγον τὸ πρᾶγμα καὶ Φιλοσοφώτερον, ὡς τὴν τύχην πάντων ἔσαν ἀρχὴν, καὶ τὴν Φύσιν ἐκ τᾶ κατὰ τύχην συνιςαμένην, ὅταν τισὶν ὡς ἔτυχεν ἀποκειμένοις τάξις ἐγγένηται;

CVII. „Διὰ τί τὰς περὶ τὸν Διόνυσον τεχνίτας ἱςρίωνας Ῥωμαῖοι καλᾶσιν;“ ἢ δι' ἣν αἰτίαν Κλέβιος Ῥᾶφος ἱςόρηκε; Φησὶ γὰρ ἐν τοῖς πάνυ παλαιοῖς χρόνοις Γαΐα τε Σελπικία καὶ Λικινία Στόλωνος ὑπατευόντων, λοιμώδη νόσον ἐν Ῥώμῃ γενομένην, πάντας ομαλῶς διαφθεῖραι τὰς ἐπὶ σκηνὴν προερχομένας [3]. δεηθεῖσιν ἄν αὐτοῖς ἐκ Τυῤῥηνίας ἐλθεῖν πολλὰς καὶ ἀγαθὰς τεχνίτας, ὧν τὸν πρωτεύοντα δόξῃ καὶ χρόνῳ πλεῖςον ἐνευημερᾶντα τοῖς θεάτροις, Ἵςρον ὀνομάζεσθαι· καὶ διὰ τᾶτο πάντας ἱςρίωνας ἀπ' ἐκείνα προσαγορεύεσθαι.

CVIII. „Διὰ τί δὲ τὰς ἐγγὺς γένας ἐ γαμᾶσι;“ πότερον αὔξειν τοῖς γάμοις βαλόμενοι τὰς οἰκειότητας, καὶ συγγενεῖς πολλὰς ἐπικτᾶσθαι, διδόντες ἑτέροις καὶ λαμβάνοντες παρ' ἑτέρων γυναῖκας; ἢ Φοβέμενοι τὰς ἐν

1 Petav. Σαμίνων.

2 Petav. Ῥωμαίων; paulo ante κατὰ μάχην pro κατὰ τύχ. Abeſt ab eod. τῆς ante ſeq. v. Ῥώμης.

3 Petav. διερχομένας; deinde προσηγορεύεσθαι.

ἐν τοῖς γάμοις τῶν συγγενῶν διαφορὰς, ὡς καὶ [1] τὰ φύσει δίκαια προσαπολλυούσας; ἢ, πολλῶν βοηθῶν τὰς γυναῖκας ὁρῶντες δι' ἀσθένειαν δεομένας, οὐκ ἐβούλοντο τὰς ἐγγὺς γένους συνοικίζειν, ὅπως, ἂν οἱ [2] ἄνδρες ἀδικῶσιν αὐτὰς, οἱ συγγενεῖς βοηθῶσιν;

CIX. „Διὰ τί τῷ ἱερεῖ τοῦ Διὸς, ὃν Φλάμινα Διάλιν [3] καλοῦσιν, οὐκ ἐξῆν ἀλεύρου θίγειν, οὐδὲ ζύμης;" ἢ τὸ μὲν ἄλευρον ἀτελὴς τροφὴ καὶ ἄπεπτός ἐστιν; οὔτε γὰρ, ὃ ἦν, μεμένηκεν ὁ πυρὸς, οὔτε, ὃ δεῖ γενέσθαι, γέγονεν ὁ ἄρτος, ἀλλὰ καὶ τὴν σπέρματος δύναμιν ἀπολώλεκεν ἅμα, καὶ τὴν σιτίου χρείαν οὐκ ἔσχηκε. διὸ καὶ μυλήφατον ὁ ποιητὴς ἄλφιτον ἐκ μεταφορᾶς ὠνόμακεν, ὥσπερ φονευόμενον ἐν τῷ ἀλέτῳ καὶ φθειρόμενον· ἡ δὲ ζύμη καὶ γέγονεν ἐκ φθορᾶς αὐτὴ, καὶ φθείρει τὸ φύραμα [4] μιγνυμένη. γίνεται γὰρ ἄτονον καὶ ἀδρανὲς, καὶ ὅλως ἔοικε σῆψις ἡ ζύμωσις εἶναι. πλεονάσασα γοῦν ἀποξύνει παντάπασι καὶ φθείρει τὸ ἄλευρον.

CX. „Διὰ τί καὶ σαρκὸς ὠμῆς ἀπείρηται τῷ ἱερεῖ ψαύειν;" πότερον ὠμοφαγίας πάνυ πόῤῥωθεν ἀποτρέπει τὸ ἔθος; ἢ, δι' ἣν τὸ ἄλευρον αἰτίαν ἀφοσιοῦται [5], καὶ τὸ κρέας; οὔτε γὰρ ἐστὶ ζῶον, οὔτ' ὄψον ἤδη γέγονεν. ἡ γὰρ ἕψησις καὶ ὄπτησις, ἀλλοίωσις οὖσα καὶ μετακόσμησις, ἐξίστησι τὴν μορφήν. τὸ δὲ πρόσφατον καὶ ὠμὸν οὐδὲ τὴν ὄψιν ἔχει καθαρὰν καὶ ἀμίαντον, ἀλλὰ εἰδεχθῆ καὶ ἑλκώδη.

CXI. „Διὰ τί δὲ κυνὸς καὶ αἰγὸς ἐκέλευον ἀπέχεσθαι τὸν ἱερέα, μήτε ἁπτόμενον, μήτ' ὀνομάζοντα;" πότε-



1 Recepi καὶ e Petavio. Idem e Voss. notat W. Vulgo abest. Petav. deinde προσαπολλῦσαι.

2 Turn. & Bong. ὅπως ἂν εἰ ἄνδρ.

3 Petav. Φλαμινηδιάλιν.

4 Petav. φύραγμα.

5 Petav. ἀφοσιοῦνται.

πότερον τῆς μὲν αἰγὸς βδελυττόμενοι [1] τὸ ἀκόλαστον καὶ δυσῶδες, ἢ φοβέμενοι τὸ νοσηματικόν; δοκεῖ γὰρ ἐπιληψίᾳ καταλαμβάνεσθαι μάλιστα τῶν ζώων, καὶ προσαναχρώννυσθαι τοῖς φαγῦσιν, ἢ θίγεσιν ὑπὸ τῦ πάθες ἐχομένης [2]. αἰτίαν δὲ λέγεσι τὴν στενότητα τῶν πνευματικῶν πόρων πολλάκις ἐπιλαμβανομένην, τεκμαιρόμενοι τῇ λεπτότητι τῆς φωνῆς. καὶ γὰρ ἀνθρώπων ὅσοις ἐπιληπτίζεσι συμβαίνει φθέγγεσθαι μηκασμῷ παραπλησίαν φωνὴν ἀφιᾶσι. τῷ δὲ κυνὶ τῦ μὲν ἀκολάσε καὶ δυσώδες ἧττον ἴσως μέτεστι. καίτοι φασὶν ἔνιοι, μήτε τῆς Ἀθηναίων ἀκροπόλεως ἐπιβαίνειν κύνα, μήτε τῆς Δηλίων νήσε, διὰ τὴν ἐμφανῆ μίξιν, ὥσπερ βοῶν καὶ συῶν καὶ ἵππων ἐν θαλάμοις, ἀλλ' ἐκ ἐμφανῶς καὶ ἀνέδην ὀχευόντων. τὴν γὰρ ἀληθινὴν αἰτίαν ἀγνοῦσιν, ὅτι μάχιμον ὄντα τὸν κύνα, τῶν ἀσύλων καὶ ἁγίων ἐξείργεσιν ἱερῶν, ἀσφαλῆ καταφυγὴν τοῖς ἱκέταις διδόντες. εἰκὸς μὲν ἦν ἐστι καὶ τὸν ἱερέα τῦ Διός, ὥσπερ ἔμψυχον καὶ ἱερὸν καὶ ἄγαλμα καταφύξιμον ἀνεῖσθαι τοῖς δεομένοις καὶ ἱκετεύεσι, μηδενὸς ἀπείργοντος, μηδὲ ἐκφοβῦντος. διὸ κλινίδιον μὲν ἦν αὐτῦ κείμενον ἐν τῷ θυρῶνι τῆς οἰκίας· ὁ δὲ προσπεσὼν τοῖς γόνασι τὴν ἡμέραν ἐκείνην, ἄδειαν εἶχε πληγῶν καὶ κολάσεως· εἰ δὲ δεσμώτης φθαίη προσελθών, ἐλύετο· τὰς δὲ δεσμὰς ἐκτὸς ἐ κατὰ θύρας, ἀλλὰ ὑπὸ [3] τῦ στέγες ἀπερρίπτεν. ἐδὲν ἦν ὄφελος ἦν ἕτως αὐτὸν ἥμερον παρέχειν καὶ φιλάνθρωπον, εἰ κύων προεισήκει, δεδιττόμενος καὶ ἀπερύκων τὰς προσφυγεῖν δεομένες. ἐ μὴν ἐδὲ καθαρεύειν ᾤοντο παντάπασιν οἱ παλαιοὶ τὸ ζῶον. καὶ γὰρ ὀλυμπίων [4] μὲν ἐδενὶ θεῶν καθιέρωται, χθονίᾳ δὲ δεῖπνον Ἑκά-

1 Petav. βδελυττόμενον.

2 Ald. Bas. Petav. ἐχομένοις. Xyl. correxit.

3 Xyl. voluit ἀπὸ ex Pictoris apud Gellium verbis, L. X. 15.

4 Vulgo καὶ ὀλυμπίων μὲν γάρ. Transponenda haec duxi e W. mente. καὶ abest a Petav.

Ἑκάτῃ πεμπόμενος εἰς τριόδους, ἀποτροπαίων καὶ καθαρσίων ἐπέχει μοῖραν. ἐν δὲ Λακεδαίμονι τῷ φονικωτάτῳ θεῶν, Ἐνυαλίῳ, σκύλακας ἐντέμνουσι [1]. Βοιωτοῖς δὲ δημοσίᾳ καθαρμός ἐςι, κυνὸς διχοτομηθέντος τῶν μερῶν διεξελθεῖν. αὐτοὶ δὲ Ῥωμαῖοι τοῖς Λυκαίοις, (ἃ Λουπερκάλια καλοῦσιν) ἐν τῷ καθαρσίῳ μηνὶ κύνα θύουσιν. ὅθεν οὐκ ἄπο τρόπου τοῖς τὸν ὑπέρτατον καὶ καθαρώτατον εἰληφόσι θεραπεύειν θεὸν, απειρῆσθαι κύνα ποιεῖσθαι συνήθη καὶ σύνοικον.

CXII. „Διὰ τίνα δὲ αἰτίαν οὐδὲ κιττοῦ θίγειν ἐφίετο τῷ ἱερεῖ τοῦ Διὸς, οὐδὲ ὁδὸν διελθεῖν ἀναδενδράδος [2] ἄνωθεν διατεταμένης;“ ἢ τοῦτο μὲν ὅμοιόν ἐςι τῷ μὴ ἐσθίειν ἀπὸ δίφρου, μηδ᾽ ἐπὶ χοίνικος καθῆσθαι, μηδὲ σάρον ὑπερβαίνειν; οὐ ταῦτα τῶν Πυθαγορικῶν δεδιότων καὶ φυλαττομένων, ἀλλὰ ἕτερα τούτοις ἀπαγορευόντων; καὶ γὰρ τὸ ὑπὸ ἄμπελον ὑποπορεύεσθαι, τὴν ἀναφορὰν ἐπὶ τὸν οἶνον εἶχεν, ὡς οὐ θεμιτὸν τῷ ἱερεῖ μεθύσκεσθαι. τῶν γὰρ μεθυσκομένων ὑπὲρ κεφαλῆς ὁ οἶνός ἐςι, καὶ πιεζοῦνται καὶ ταπεινοῦνται· δέον ὑπερτέρους εἶναι καὶ κρατεῖν ἀεὶ τῆς ἡδονῆς ταύτης, ἀλλὰ μὴ κρατεῖσθαι. τὸν δὲ κιττὸν πότερον ὡς ἄκαρπον καὶ ἄχρηςον ανθρώποις, ἀδρανῆ δὲ καὶ δι᾽ ἀσθένειαν, ἑτέρων ὀχούντων δεόμενον, σκιᾷ δὲ καὶ χλωρότητος [3] ὄψει γοητεύοντα τοὺς πολλοὺς, οὐκ ᾤοντο δεῖν ἀσύμβολον ἐν ταῖς οἰκίαις μάτην ἐντρέφεσθαι καὶ περιπλέκεσθαι, βλαβερὸν ὄντα τοῖς προσδεχομένοις φυτοῖς, τῆς γῆς ἐχόμενον. διὸ τῶν μὲν ὀλυμπίων ἱερῶν [4] εἴργεται, καὶ οὔτε ἐν Ἥρας Ἀθήνῃσιν, οὔτε Θήβῃσιν ἐν Ἀφροδίτης, ἴδοι τις ἂν κιτ-



1 Petav. ἐκτέμνουσι.

2 ἀναδένδρας, Xyl. interprete, significat vitem maritatam, vel arboribus, vel etiam tabulatis.

3 Petav. χλωρότητος, & in seq. οἰκείαις.

4 Petav. ἱερέων.

τόν· ἀγριωνίοις [1] δὲ καὶ νυκτελίοις, ὧν τὰ πολλὰ διὰ σκότους δρᾶται, πάρεστιν. ἢ καὶ τοῦτο συμβολικὴ θιάσων καὶ βακχευμάτων ἀπαγόρευσις ἦν; αἱ γὰρ ἔνοχοι τοῖς βακχικοῖς πάθεσι γυναῖκες εὐθὺς ἐπὶ τὸν κιττὸν φέρονται, καὶ σπαράττουσι δραττόμεναι ταῖς χερσὶ, καὶ διεσθίουσαι τοῖς στόμασιν. ὥστε μὴ παντελῶς ἀπιθάνους εἶναι τοὺς λέγοντας, ὅτι καὶ πνεῦμα μανίας ἔχων ἐγερτικὸν καὶ παρακινητικὸν, ἐξίστησι καὶ σπαράττει, καὶ ὅλως ἄοινον ἐπάγει μέθην καὶ χάριν [2] τοῖς ἐπισφαλῶς πρὸς ἐνθουσιασμὸν ἔχουσι.

CXIII. „Διὰ τί τοῖς ἱερεῦσι τούτοις ἀρχὴν οὐκ ἐφεῖτο λαβεῖν, οὐδὲ μετελθεῖν, ἀλλὰ ῥαβδούχῳ τε χρῶνται, καὶ δίφρον ἡγεμονικὸν ἐπὶ τιμῇ καὶ παραμυθίᾳ τοῦ μὴ ἄρχειν ἔχουσι;" πότερον, ὡς ἐνιαχοῦ τῆς Ἑλλάδος ἀντίῤῥοπον ἦν τὸ τῆς ἱερωσύνης ἀξίωμα πρὸς τὸ τῆς βασιλείας, μὴ τυχόντας [3] ἱερεῖς ἀπεδείκνυσαν; ἢ μᾶλλον, ὅτι τῶν μὲν ἱερῶν ὡρισμένας πράξεις ἐχόντων, τῶν δὲ δημοσίων [4] ἀτάκτους καὶ ἀορίστους, οὐκ ἦν δυνατὸν εἰς ἓν ἅμα τῶν καιρῶν συμπεσόντων ἑκατέρῳ παρεῖναι τὸν αὐτὸν, ἀλλὰ ἔδει θάτερα πολλάκις ἀμφοτέρων

1 Vulgo κιττὸν ἄγριον, ἴοις δέ. Falſam ſive corruptam eſſe vocem ἴοις, ſenſit Xyl. Bene autem correxit W. ſua conjectura, a Mez. firmata. Eam ſequi haud dubitavi. Petav. deinde νυκτιλίοις.

2 W. pro σπαράττει ſuſp. ταράττει, & ταραχὴν pro χάριν. Hanc vocem minime loco convenire, ſatis patet. Xyl. voluit ἄχαριν. Poſſe etiam mutari in χαρὰν, W. monet; Mez. in κάρον.

3 W. locum ita ſupplendum cenſet βασιλείας, ἧς τὰς μὴ τυχόντας.

4 Recepi voces τῶν δὲ δημοσίων, quae vulgo abſunt, e Petav. Easdem dedit W. e Voſſ. (Xylandrum idem annotat vertendo ſuppleviſſe τῶν δὲ βασιλέων. Minime tamen de ſuo hoc egit Xyl. ſed ſecutus eſt in his Baſileenſem, quae ſimul in antecedenti pro τῶν μὲν ἱερῶν habet τῶν μὲν ἱερέων, quod pariter Xyl. expreſſit.) Mez. τῶν δὲ ἀρχῶν.

τέρων ἐπειγόντων ἀπολείποντα, νῦν μὲν ἀσεβεῖν τοὺς θεοὺς, νῦν δὲ βλάπτειν τοὺς πολίτας; ἢ [1] ταῖς ἀνθρωπίναις ἐνορῶντες ἀρχαῖς οὐκ ἐλάττονα τῆς ἐξουσίας τὴν ἀνάγκην προσοῦσαν, καὶ τὸν ἄρχοντα δήμου (καθάπερ Ἱπποκράτης ἔφη τὸν ἰατρὸν) δεινὰ μὲν ὁρῶντα, δεινῶν δὲ ἁπτόμενον, ἐπ' ἀλλοτρίοις δὲ κακοῖς ἰδίας λύπας καρπούμενον, οὐχ ὅσιον ἡγοῦντο θύειν θεοῖς, καὶ ἱερῶν [2] κατάρχεσθαι, γενόμενον ἐν καταδίκαις καὶ θανατώσεσι πολιτῶν· πολλάκις δὲ καὶ συγγενῶν καὶ οἰκείων, οἷα καὶ Βρούτῳ συνέτυχε.

1 Dedi ἢ cum W. ex Petav. Xyl. Mez. pro vulg. εἰ.

2 Recepi sic ex Ald. Bas. Petav. pro ἱρῶν, quod ex Steph. in rell. transiit.

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΚΕΦΑΛΑΙΩΝ ΚΑΤΑΓΡΑΦΗ.

---

### ΕΛΛΗΝΙΚΑ.

„Τίνες ἐν Ἐπιδαύρῳ [1] κονίποδες καὶ ἄρτυνοι;“ οἱ μὲν τὸ πολίτευμα [2] ὀγδοήκοντα καὶ ἑκατὸν ἄνδρες ἦσαν. ἐκ δὲ τούτων ᾑροῦντο βουλευτὰς, οὓς ἀρτύνους ἐκάλουν. τοῦ δὲ δήμου τὸ πλεῖστον ἐν ἀγρῷ διέτριβεν· ἐκαλοῦντο δὲ κονίποδες [3], ὡς συμβαλεῖν ἐστιν, ἀπὸ τῶν ποδῶν γνωριζόμενοι κεκονιμένων, ὁπότε κατέλθοιεν εἰς τὴν πόλιν.

II. „Τίς ἡ παρὰ Κυμαίοις [4] ὀνοβάτις;“ τῶν γυναικῶν τὴν ἐπὶ μοιχείᾳ ληφθεῖσαν ἀγαγόντες εἰς ἀγορὰν [5], ἐπὶ λίθου τινὸς ἐμφανῆ πᾶσι καθίστασαν· εἶτα οὕτως ἀνεβίβαζον ἐπ' ὄνον, καὶ τὴν πόλιν κύκλῳ περιαχθεῖσαν, ἔδει πάλιν ἐπὶ τὸν αὐτὸν λίθον καταστῆναι, καὶ τολοιπὸν ἄτιμον διατελεῖν, ὀνοβάτιν προσαγορευομένην. τὸν δὲ λίθον ἀπὸ τούτου οὐ καθαρὸν νομίζοντες, ἀφωσιοῦντο. ἦν δὲ καὶ Φυλάκτου τις ἀρχὴ παρ' αὐτοῖς· ὁ δὲ, ταύτην ἔχων, τὸν μὲν ἄλλον χρόνον ἐτήρει τὸ δεσμω-

1 Intellige, Wernsdorfio docente in ea, quam fupra memoravi, commentatione, Epidaurum Argolidis, Aefculapii templo & cultu claram. Pro τίνες Petav. οἱ.

2 Supple ἔχοντες. Ellipfis frequens, tefte Lamb. Bos. de ellipf. gr. p. 297.

3 Wernsd. fimilius vero putat, genus fervorum, quod agros coleret & plerumque ruri degeret, hoc nomine fuiffe infignitum, vel certe operarios de faece plebis, ad opus rufticum adhibitos; neque magis a pedibus pulverulentis fic dictos eos fuiffe, quam a currendo, feftinando, propere miniftrando.

4 Intellige Cymen feu Cumam, primariam urbem Aeolidis, Lesbo & Chio oppofitam.

5 Petav. εἰς ἀγρὸν, uti paulo ante ληφθεῖσα.

δεσμωτήριον, εἰς δὲ τὴν βουλὴν ἐν τῷ νυκτερινῷ συλλόγῳ παριὼν, ἐξῆγε τοὺς βασιλεῖς [1] τῆς χειρὸς, καὶ κατεῖχε, μέχρι περὶ αὐτῶν ἡ βουλὴ διαγνοίη, πότερον ἀδικοῦσιν, ἢ οὐ, κρύβδην φέρουσα τὴν ψῆφον.

III. „Τίς ἡ παρὰ Σύλοις [2] ὑπεκκαύστρια;" τὴν τῆς Ἀθήνας ἱέρειαν οὕτω καλοῦσιν, ὅτι ποιεῖταί τινας θυσίας καὶ ἱερουργίας ἀποτροπαίους [3].

IV. „Τίνες ἐν Κνίδῳ οἱ ἀμνήμονες; καὶ τίς ὁ ἀφεστήρ;" ἑξήκοντα προκρίτοις ἀνδράσιν [4] ἐκ τῶν ἀρίστων, οἷον ἐπισκόποις ἐχρῶντο διὰ βίου καὶ προβούλοις τῶν μεγίστων. ἐκαλοῦντο δ' ἀμνήμονες, ὡς ἄν τις εἰκάσειε, διὰ τὸ

1 Hi βασιλεῖς Cymaeorum, Wernsd. docente, fuerunt fummi ipforum magiftratus & judices, qui concilio publico praefidebant.

2 *Soli* duarum civitatum nomen fuit: altera fuit Ciliciae; altera Cypri. Non hanc (quam voluit *Meurs.* in *Cypro* l. I. c. 25.) fed illam effe intelligendam, Wernsd. docet, quippe notiorem ea aetate & celebratiorem, ut fimpliciter & fine adjectione nominari potuerit, conditum a Solone, Lindio aliquo, quae Rhodi civitas erat, non a Solone, Athenienfium legislatore.

3 fuit apud Lindios cultus Minervae ἄπυρος & incruentus. Transiiffe eundem ad Solenfes, non eft dubium, cum fatis conftet, colonias, ut originis fuae memoriam confervarent, religiones urbium, unde deductae erant, mores, decora & infignia retinere folitas fuiffe. θυσίαι ἀποτρόπαιοι, facrificia piacularia & februationes, quae fiunt ad malum aliquod vel praefens vel imminens avertendum iramque deorum placandam, rarius & extra ordinem fiebant praeter morem folitum facrorum. Ab iis autem abeffe non poterat ignis, cui vim καθαρτικὴν & ἁγνιστικὴν tribuebant; nec placari dii & reconciliari putabantur nifi fanguine effufo. Itaque una ex facerdotibus Minervae Solenfis, cui id muneris datum, ut in facris, quae praeter morem folitum & rarius fierent, piacularibus ignem fubderet victimae, ὑπεκκαύστρια fuit appellata ab igne accendendo. Petav. Σόλοιν pro Σόλοις.

4 Sic cum Mez. legendum cenfet W. & in Suppl. Var. Lect. Frft. affertur, dedique pro vulg. προκρίτας ἄνδρας.

τὸ ἀνυπεύθυνον. (εἰ μὴ νὴ Δία πολυμνήμονές τινες ὄντες) ὁ δὲ τὰς γνώμας ἐρωτῶν, ἀφεσήρ.

V. „Τίνες οἱ παρὰ Ἀρκάσι καὶ Λακεδαιμονίοις χρηστοί;" Λακεδαιμόνιοι Τεγεάταις διαλλαγέντες, ἐποιήσαντο συνθήκας, καὶ στήλην ἐπ' Ἀλφειῷ κοινὴν ἀνέστησαν, ἐν ᾗ μετὰ τῶν ἄλλων γέγραπται, Μεσσηνίους ἐκβαλεῖν ἐκ τῆς χώρας, καὶ μὴ ἐξεῖναι χρηστοὺς ποιεῖν. ἐξηγούμενος οὖν ὁ Ἀριστοτέλης τοῦτό φησι δύνασθαι τὸ μὴ ἀποκτιννύναι βοηθείας χάριν τοῖς λακωνίζουσι τῶν Τεγεατῶν.

VI. „Τίς ὁ παρὰ Ὀπουντίοις κριθολόγος;" αἱ πλεῖστοι τῶν Ἑλλήνων πρὸς τὰς πάνυ παλαιὰς θυσίας ἐχρῶντο ταῖς κριθαῖς ἀπαρχομένων τῶν πολιτῶν. τὸν μὲν οὖν ἐπὶ τῶν θυσιῶν ἄρχοντα, καὶ ταύτας κομιζόμενον τὰς ἀπαρχὰς, κριθολόγον ὠνόμαζον. δύο δ' ἦσαν ἱερεῖς παρ' αὐτοῖς, ὁ μὲν περὶ τὰ θεῖα τεταγμένος, ὁ δὲ περὶ τὰ δαιμόνια.

VII. „Τίνες αἱ πλωϊάδες νεφέλαι;" τὰς ὑπόμβρους μάλιστα καὶ περιφερομένας ἐκάλουν πλωϊάδας, ὡς Θεόφραστος ἐν τετάρτῃ περὶ μεταρσίων εἴρηκε κατὰ λέξιν, „ἐπεὶ καὶ αἱ πλωϊάδες αὗται νεφέλαι καὶ αἱ συνεστῶσαι, ἀκίνητοι δὲ καὶ τοῖς χρώμασιν ἔκλευκοι, δηλοῦσι διαφοράν τινα τῆς ὕλης, ὡς οὔτ' ἐξυδατουμένης, οὔτ' ἐκπνευματουμένης."

VIII. „Τίς ὁ παρὰ Βοιωτοῖς πλατυχαίτας;" τοὺς οἰκίᾳ γειτνιῶντας, ἢ χωρίοις ὁμοροῦντας, αἰολίζοντες οὕτω καλοῦσιν ὡς τὸ πλεῖστον ἔχοντας [1]. παραθήσομαι δὲ λέξιν μίαν ἐκ τοῦ θεσμοφυλακίου νόμου, πλειόνων οὐσῶν.

IX. „Τίς ὁ παρὰ Δελφοῖς Ὁσιωτὴρ, καὶ διὰ τί Βύσιον ἕνα τῶν μηνῶν καλοῦσιν; Ὁσιωτῆρα μὲν καλοῦσι τὸ

[1] abesse πλεῖστον ἔχοντας in E. monet W. & lacunam esse ejus loco. Ipse πλεῖστον corruptum suspicatur & legendum πλησίον ἔχοντας. In fine deest lex, quae citatur.

τὸ θυόμενον ἱερεῖον, ὅταν Ὅσιος ἀποδειχθῇ. πέντε δέ εἰσιν ὅσιοι διὰ βίȣ, καὶ τὰ πολλὰ μετὰ τῶν προφητῶν δρῶσιν ȣ̃τοι, καὶ συνιερȣργȣ̃σιν, ἅτε [1] γεγονέναι δοκȣ̃ντες ἀπὸ Δευκαλίωνος. ὁ δὲ Βύσιος μὴν, ὡς μὲν οἱ πολλοὶ νομίζȣσι, Φύσιός ἐςιν. (ἔαρος γὰρ ἄρχει, καὶ τὰ πολλὰ φύεται τηνικαῦτα καὶ διαβλαςάνει) τὸ δ' ἀληθὲς ȣ̓κ ἔχει ȣ̃τως. ȣ̓ γὰρ ἀντὶ τȣ̃ φ τῷ β χρῶνται Δελφοὶ, καθάπερ Μακεδόνες, βίλιππον [2] καὶ βαλακρὸν καὶ βερονίκην λέγοντες, ἀλλ' ἀντὶ τȣ̃ π. καὶ γὰρ τὸ πατεῖν, βατεῖν [3], καὶ τὸ πικρὸν, βικρὸν ἐπιεικῶς καλȣ̃σιν. ἔςιν ȣ̃ν Πύσιος ὁ Βύσιος, ἐν ᾧ πυςιῶνται καὶ πυνθάνονται τȣ̃ θεȣ̃. τὸ γὰρ ἐννοεῖν καὶ πάτριον [4]. ἐν τῷ μηνὶ γὰρ τȣ́τῳ χρηςήριον ἐγίγνετο, καὶ ἑβδόμην ταύτην νομίζȣσι τȣ̃ θεȣ̃ γενέθλιον, καὶ πολύφθοον ὀνομάζȣσιν, ȣ̓ διὰ τὸ πέττεσθαι φθοῖς, ἀλλὰ πολυπευθῆ καὶ πολυμάντευτον ȣ̃σαν. ὀψὲ γὰρ ἀνείθησαν [5] αἱ κατὰ μῆνα μαντεῖαι τοῖς δεομένοις· πρότερον δὲ ἅπαξ ἐθεμίςευσεν ἡ Πυθία τȣ̃ ἐνιαυτȣ̃ κατὰ ταύτην τὴν ἡμέ-

1 Dedi sic e Xyl. mente pro vulg. ἅ. W. dedit οἱ nullo correctionis fonte allato. Prophetarum, quorum hic fit mentio, erat oracula interpretari obscure vel aenigmatice edita.

2 Post hanc vocem vulgo datur γὰρ, a W. quoque retentum, nullo sensu, &, ut videtur, male ex praemissis iteratum. Id delevi auctoritate Basil. De eodem monet Suppl. Var. Lect. melius abesse, aut pro λέγοντες legendum λέγȣσι.

3 Dedi βατεῖν e Petav. Ald. Bas. Steph. pro βαθεῖν, quod est in Frft. & R.

4 Nihil sani ex his sequitur. Xyl. suspecta fuerunt. De suo vertit: *atque haec sententia convenit cum antiquis Delphorum observationibus.* Pro ἐννοεῖν e cod. innominato affertur εὐνοεῖν. W. forte corrigendum putat ἔνοικον. Ego cogitavi de ἔννομον — hoc enim lege fuit constitutum, & inde a patrum memoria acceptum. Sed nondum mihi ipse satisfacio. Mox Petav. ἐγένετο pro ἐγίγν. Deinde restitui πολύφθοον e Steph. pro πολύφθονον, quod est in Ald. Bas. Frft. R. & Petav.

5 Petav. ἀνείθησαν, & mox ἐθεμίςευεν.

ἡμέραν, ὡς Καλλισθένης καὶ Ἀναξανδρίδης [1] ἱςορήκασι.

X. „Τί τὸ Φυξίμηλον;" τῶν μικρῶν ἐςὶ καὶ χαμαιζήλων Φυτῶν, ὧν ἐπιόντα τὰς βλαςὰς τὰ β σκήματα κολάει καὶ ἀδικεῖ καὶ λυμαίνεται τὴν αὔξησιν; ὅταν γοῦν ἀναδραμόντα [2] μέγεθος λάβῃ, καὶ διαφύγῃ τὸ βλάπτεσθαι ὑπὸ τῶν ἐπιγενομένων [3], Φυξίμηλα καλεῖται. τὸ δὲ μαρτύριον Αἰσχύλος [4].

XI. „Τίνες οἱ ἀποσφενδόνητοι;" Κέρκυραν τὴν νῆσον Ἐρετριεῖς κατῴκουν· Χαρικράτους δὲ πλεύσαντος ἐκ Κορίνθου μετὰ δυνάμεως, καὶ τῷ πολέμῳ κρατοῦντος [5], ἐμβάντες εἰς τὰς ναῦς οἱ Ἐρετριεῖς, ἀπέπλευσαν οἴκαδε. προαισθόμενοι δὲ οἱ πολῖται τῆς χώρας, εἶργον αὐτοὺς, καὶ ἀποβαίνειν ἐκώλυον σφενδονοῦντες. μὴ δυνάμενοι δὲ μήτε πεῖσαι, μήτε βιάσασθαι πολλοὺς καὶ ἀπαραιτήτους ὄντας, ἐπὶ Θρᾴκης ἔπλευσαν, καὶ κατασχόντες χωρίον, ἐν ᾧ πρότερον οἰκῆσαι Μέθωνα τὸν Ὀρφέως πρόγονον [6] ἱςοροῦσι, τὴν μὲν πόλιν ὠνόμασαν Μεθώνην, ὑπὸ δὲ τῶν προσοίκων Ἀποσφενδόνητοι προσωνομάσθησαν.

XII. „Τίς ἡ παρὰ Δελφοῖς Χαρίλα [7];" τρεῖς ἄγουσι Δελφοὶ ἐννακετηρίδας κατὰ τὸ ἑξῆς, ὧν τὴν μὲν Σεπτήριον [8] καλοῦσι, τὴν δ' Ἡρωΐδα, τὴν δὲ Χαρίλαν. Τὸ μὲν οὖν σεπτήριον ἔοικε μίμημα τῆς πρὸς τὸν Πύθωνα

1 Tib. Hemsterhuis ad Polluc. IX, 59. & ad Aristoph. Plut. corrigit Ἀλεξανδρίδης.

2 Observa hujus verbi usum ad explicandum locum de educ. lib. c. 14. Vol. VII. pag. 6. not. 1.

3 Probo W. conjecturam ἐπινεμομένων.

4 Collector Suppl. Var. Lect. Frst. mavult Αἰσχύλου, subaudiendo ἐςί.

5 Sic restituendum fuit e Bas. & Petav. pro vulg. κρατοῦντες. Dedit idem W. firmatum Xyl. & Voss.

6 W. legendum monet ἀπόγονον, & Xyl. vertit; *Orphei de posteris unus.*

7 Petav. Χάριλα accentu sic posito; item infra Χάριλαν.

8 Petav. σεπτήριον. Sic Ald. quoque.

να τοῦ θεοῦ μάχης εἶναι, καὶ τῆς μετὰ τὴν μάχην ἐπὶ τὰ Τέμπη φυγῆς καὶ ἐκδιώξεως. οἱ μὲν γὰρ φυγεῖν ἐπὶ τῷ φόνῳ φασὶ χρήζοντα καθαρσίων, οἱ δὲ τῷ Πύθωνι τετρωμένῳ καὶ φεύγοντι, κατὰ τὴν ὁδὸν, ἣν νῦν ἱερὰν καλοῦμεν, ἐπακολουθεῖν, καὶ μικρὸν ἀπολειφθῆναι τῆς τελευτῆς. κατέλαβε γὰρ αὐτὸν ἐκ τοῦ τραύματος ἄρτι τεθνηκότα, κεκηδευμένον ὑπὸ τοῦ παιδὸς, ᾧ ὄνομα ἦν Αἴξ, ὡς λέγουσι. τὸ μὲν οὖν σεπτήριον, τούτων, ἢ τοιούτων τινῶν ἀπομίμησίς ἐστιν ἑτέρων. Τῆς δὲ Ἡρωΐδος τὰ πλεῖστα μυστικὸν [1] ἔχει λόγον, ὃν ἴσασιν αἱ Θυϊάδες, ἐκ δὲ τῶν δρωμένων φανερῶς Σεμέλης ἄν τις ἀναγωγὴν εἰκάσειε. Περὶ δὲ τῆς Χαρίλας τοιαῦτά τινα μυθολογοῦσι. Λιμὸς ἐξ αὐχμοῦ τοὺς Δελφοὺς κατέσχε, καὶ πρὸς τὰς θύρας τοῦ βασιλέως ἐλθόντες μετὰ τέκνων καὶ γυναικῶν ἱκέτευον. ὁ δὲ τῶν ἀλφίτων καὶ τῶν χεδρόπων μετεδίδου τοῖς γνωριμωτέροις αὐτῶν· οὐ γὰρ ἦν ἱκανὰ πᾶσιν. ἐλθούσης δὲ παιδὸς ἔτι μικρᾶς ὀρφανῆς γονέων, καὶ προσλιπαρούσης, ἐῤῥάπισεν αὐτὴν ὑποδήματι, καὶ τῷ προσώπῳ τὸ ὑπόδημα προσέῤῥιψεν. ἡ δὲ, πενιχρά τις οὖσα καὶ ἔρημος, ἐκ ἀγεννὴς δὲ [2] τὸ ἦθος, ἐκποδὼν [3] γενομένη, καὶ λύσασα τὴν ζώνην, ἀνήρτησεν ἑαυτήν. ἐπιτείνοντος δὲ τοῦ λιμοῦ καὶ νοσημάτων προσγενομένων, ἀνεῖλεν ἡ Πυθία τῷ βασιλεῖ Χαρίλαν ἱλάσκεσθαι παρθένον αὐτοθάνατον. μόλις οὖν ἀνευρόντες, ὅτι τοὔνομα τοῦτ' ἦν τῇ ῥαπισθείσῃ παιδὶ, μεμιγμένην τινὰ καθαρμῷ θυσίαν ἀπετέλεσαν, ἣν ἐπιτελοῦσιν ἔτι καὶ νῦν δι' ἐννέα ἐτῶν. προκάθηται μὲν γὰρ ὁ βασιλεὺς, τῶν ἀλφίτων καὶ τῶν χεδρόπων ἐπιδιδοὺς πᾶσι καὶ ξένοις καὶ πολίταις, κομίζεται δὲ τῆς Χαρίλας παιδικὸν εἴδωλον· ὅταν οὖν πάν-

1 Sic cum W. e Petav. & Voss. dedi. Vulgo μυθικόν. Mox Petav. ἐν θιάδες pro αἱ Θυϊάδες.

2 Vulgo ἀγεννής τις. Dedi de meo δὲ. W. recepit τε ex K. praestare tamen monens πενιχρὰ μὲν — ἐκ ἀγεννὴς δὲ τις.

3 Petav. ἐκ ποδῶν, uti paulo ante χεδροπῶν.

πάντες λάβωσιν, ὁ μὲν βασιλεὺς ῥαπίζει τῷ ὑποδήματι τὸ εἴδωλον, ἡ δὲ τῶν Θυϊάδων ἀρχηγὸς ἀραμένη κομίζει πρός τινα τόπον φαραγγώδη, κἀκεῖ σχοινίον περιάψαντες τῷ τραχήλῳ τοῦ εἰδώλου κατορύττουσιν, ὅπου τὴν Χαρίλαν ἀπαγξαμένην ἔθαψαν.

XIII. „Τί τὸ πτωχικὸν κρέας παρ' Αἰνιᾶσι;" πλείονες γεγόνασιν Αἰνιάνων μεταναστάσεις [1]. πρῶτον μὲν γὰρ οἰκοῦντες περὶ τὸ Δώτιον πεδίον, ἐξέπεσον ὑπὸ Λαπιθῶν εἰς Αἴθικας. ἐκεῖθεν τῆς Μολοσσίας τὴν περὶ τὸν Ἀραύαν [2] χώραν κατέσχον· ὅθεν ὠνομάσθησαν Παραυαῖοι. μετὰ ταῦτα Κίῤῥαν κατέσχον. ἐν δὲ τῇ [3] Κίῤῥῃ καταλεύσαντες [4] Οἴνοκλον τὸν βασιλέα, τοῦ θεοῦ προστάξαντος, εἰς τὴν περὶ τὸν Ἴναχον [5] χώραν κατέβησαν οἰκουμένην ὑπὸ Ἰναχιέων καὶ Ἀχαιῶν. γενομένου δὲ χρησμοῦ, τοῖς μὲν, ἂν μεταδῶσι τῆς χώρας, ἀποβαλεῖν ἅπασαν· τοῖς δ', ἂν λάβωσι παρ' ἑκόντων, καθέξειν· Τέμων ἀνὴρ ἐλλόγιμος τῶν Αἰνιάνων, ἀναλαβὼν ῥάκια καὶ πήραν, καὶ προσαίτης ὤν, ἀφίκετο πρὸς τοὺς Ἰναχιεῖς· ὕβρει δὲ καὶ πρὸς γέλωτα τοῦ βασιλέως βῶλον ἐπιδόντος αὐτῷ, δεξάμενος εἰς τὴν πήραν ἐνέβαλε, καὶ ἐμφανὴς [6] ἦν ἠγαπηκὼς τὸ δῶρον· ἀπεχώρησε γὰρ εὐθὺς οὐδὲν προσαιτήσας· οἱ δὲ πρεσβύτεροι θαυμάσαντες, ἀνεμιμνήσκοντο τοῦ χρησμοῦ, καὶ τῷ βασιλεῖ προσιόντες, ἔλεγον μὴ καταφρονῆσαι, μηδὲ προέσθαι τὸν ἄνθρωπον. αἰσθόμενος οὖν ὁ Τέμων τὴν διάνοιαν αὐτῶν, ὥρμησε φεύγειν, καὶ διέφυγεν εὐξάμενος τῷ Ἀπόλλωνι καθ'

1 Petav. μεταστάσεις.

2 Xyl. corrigit Αὗον, & παραύαιοι pro παραυαῖοι.

3 Sic Xyl. corrigendum monuit. Vulgo ἐν δῖον Κίρρῃ. W. dat ἐν δὲ Κίῤῥῃ. Annotatur ἐν δὲ in Suppl. Var. Lect. Frst.

4 Etiam haec correctio Xylandro debetur. Vulgo καταπλεύσαντες. Recepit idem W. Cf. Quaest. 26.

5 Petav. Ἴαχον; deinde Ἰναχέων.

6 Dedi ἐμφανὴς e Mez. correctione, a W. probata. Vulgo ἀφανής.

καθ' ἑκατόμβης. ἐκ δὲ τούτου μονομαχοῦσιν οἱ βασιλεῖς, καὶ τὸν τῶν Ἰναχιέων Ὑπέροχον ὁ τῶν Αἰνειάνων Φήμιος, ὁρῶν μετὰ κυνὸς αὐτῷ προσφερόμενον, οὐκ ἔφη δίκαια ποιεῖν, δεύτερον ἐπάγοντα μαχόμενον. ἀπελαύνοντος δὲ τοῦ Ὑπερόχου τὸν κύνα καὶ μεταστρεφομένου [1], λίθῳ βαλὼν ὁ Φήμιος ἀναιρεῖ. κτησάμενοι δὲ τὴν χώραν, τοὺς Ἰναχιεῖς μετὰ τῶν Ἀχαιῶν ἐκβαλόντες, τὸν μὲν λίθον ἐκεῖνον ὡς ἱερὸν σέβονται, καὶ θύουσιν αὐτῷ, καὶ τοῦ ἱερείου τῷ δημῷ [2] περικαλύπτουσιν. ὅταν δὲ τῷ Ἀπόλλωνι τὴν ἑκατόμβην ἀποδιδῶσι, τῷ Διῒ βοῦν καθιερεύσαντες, μερίδα τοῖς Τέμωνος ἀπογόνοις ἐξαίρετον [3] νέμουσι, καὶ πτωχικὸν κρέας ἐπονομάζουσι.

XIV. „Τίνες οἱ παρ' Ἰθακησίοις Κολιάδαι; καὶ τίς ὁ Φάγιλος;" τῷ Ὀδυσσεῖ μετὰ τὴν μνηστηροφονίαν οἱ ἐπιτήδειοι τῶν τεθνηκότων ἐπανέστησαν, μεταπεμφθεὶς δ' ὑπ' ἀμφοτέρων διαιτητὴς Νεοπτόλεμος, ἐδικαίωσε τὸν μὲν Ὀδυσσέα μεταναστῆναι καὶ φεύγειν ἐκ τῆς Κεφαλληνίας, καὶ Ζακύνθου καὶ Ἰθάκης ἐφ' αἵματι, τοὺς δὲ τῶν [4] μνηστήρων ἑταίρους καὶ οἰκείους ἀποφέρειν ποινὴν Ὀδυσσεῖ τῶν εἰς τὸν οἶκον ἀδικημάτων καθ' ἕκαστον ἐνιαυτόν. αὐτὸς μὲν οὖν εἰς Ἰταλίαν μετέστη· τὴν δὲ ποινὴν τῷ υἱεῖ καθιερώσας, ἀποφέρειν ἐκέλευσε τοὺς Ἰθακησίους. ἦν δ' ἄλφιτα, οἶνος, κηρία, ἔλαιον, ἅλες, ἱερεῖα πρεσβύτερα φαγίλων. φάγιλον δέ φησιν Ἀριστοτέλης τὸν ἀμνὸν εἶναι. τοὺς δὲ περὶ [5] Εὔμαιον ἐλευθερώσας ὁ Τηλέμαχος, κατέμιξεν εἰς τοὺς πολίτας, καὶ τὸ γένος ἐστὶ Κολιαδῶν [6] ἀπ' Εὐμαίου, καὶ Βουκολιῶν ἀπὸ Φιλοιτίου.

ω XV.

1 Secutus sum W. sic dantem ex E. Vulgo μεταστρεφόμενον.
2 Frst. & R. τῷ δήμῳ. Correxi.
3 Petav. ἐξαίρετα. Id. deinde Ἰθακισίοις.
4 abest τῶν a Petav.
5 Bas. παρὰ, quod Xyl. corrigendum monuit.
6 Dedi W. secutus, sic e Xyl. & var. lect. Voss. reponentem pro vulg. Κολιδῶν.

XV. „Τίς ἡ ξυλίνη κύων παρὰ Λοκροῖς;“ Φυσκίε τε Ἀμφικτύονος υἱὸς ἦν Λοκρός· ἐκ δὲ τέτε καὶ Καβύης Λοκρός. πρὸς ὃν ὁ πατὴρ διενεχθεὶς καὶ συχνὰς τῶν πολιτῶν ἀναλαβὼν, περὶ ἀποικίας ἐμαντεύετο. τε δὲ θεε φήσαντος κτίζειν [1] πόλιν, ὅπε περ ἂν τύχῃ δηχθεὶς ὑπὸ κυνὸς ξυλίνης, ὑπερβαίνων εἰς τὴν ἑτέραν θάλασσαν, ἐπάτησε κυνόσβατον. ἐνοχληθεὶς δὲ τῇ πληγῇ, διέτριψεν ἡμέρας αὐτόθι πλείονας, ἐν αἷς καταμαθὼν τὸ χωρίον, ἔκτισε πόλεις Φυσκεῖς καὶ Ὑάνθειαν, καὶ τὰς ἄλλας, ὅσας οἱ κληθέντες Ὀζόλαι Λοκροὶ κατῴκησαν. Ὀζόλας δὲ Λοκρὰς, οἱ μὲν, διὰ τὸν Νέσσον [2], οἱ δὲ, τὸν Πύθωνα δράκοντα, κληθῆναι λέγεσιν, ἐκβρασθέντας [3] ὑπὸ τῆς θαλάττης, καὶ σαπέντας ἐν τῇ τῶν Λοκρῶν χώρᾳ. τινὲς δὲ κώδια, καὶ τραγέας τὰς ἀνθρώπας φορεντας, καὶ τὰ πλεῖςα συνόντας αἰπολίοις, γενέσθαι δυσώδεις. ἔνιοι δὲ τἐναντίον πολυάνθεμον τὴν χώραν ἔσαν, ὑπ' εὐωδίας τἄνομα λαβεῖν· ὧν ἐςι καὶ Ἀρχύτας ὁ Ἀμφισσεύς. γέγραφε γὰρ ἔτω [4].

Τὴν βοτρυοςέφανον μυρίπνεν μακύναν ἐραννήν [5].

XVI. „Τί τὸ καλέμενον ὑπὸ Μεγαρέων ἀφάβρωμα;“ Νίσος, ἀφ' ἒ προσηγορεύθη Νισαία, βασιλεύων ἐκ Βοιωτίας ἔγημεν Ἀβρώτην, Ὀγχήσε [6] θυγατέρα, Μεγαρέως δὲ ἀδελφὴν, γυναῖκα καὶ τὸ [7] φρονεῖν, (ὡς ἔοι-

1 Petav. κτίζει, & mox φυσικοῖς pro Φυσκοῖς.

2 ab Hercule interemtum.

3 Xyl. legit & vertit in num. singul. cum non mare Nessum ejecerit eo locorum, aut ejus cadaver in mare pervenerit.

4 Commodissime pro ἔτω scribi ἔτος, monet Coll. Var. Lect. Frft.

5 Duplici ν posito, metri causa, legi voluit Xyl. & dedi e Petav. Vulgo ἐρανήν. Idem recepit W. accedentibus E. H. Voss. Judice Xyl. vox μάκυναν est nomen alicujus in Ozolis loci.

6 Sic cum W. dedi e Bas. Xyl. E. H. Voss. Petav. Vulgo Οἰχῆτε.

7 W. dedit καὶ τῷ e Voss.

ἔοικε) περιττὴν καὶ σώφρονα διαφερόντως. ἀποθανούσης δ' αὐτῆς, οἵ τε Μεγαρεῖς ἐπένθησαν ἑκουσίως, καὶ ὁ Νίσος ἀΐδιαν τινὰ μνήμην καὶ δόξαν αὐτῆς καταστῆναι βουλόμενος, ἐκέλευε τὰς Μεγαρίδας [1] φορεῖν, ἣν ἐκείνη στολὴν ἐφόρει, καὶ τὴν στολὴν ἀφάβρωμα δι' ἐκείνην ὠνόμασε. δοκεῖ [2] δὲ τῇ δόξῃ τῆς γυναικὸς καὶ ὁ θεὸς βοηθῆσαι· πολλάκις γὰρ τὰς ἐσθῆτας ἀλλάξαι βουλομένας τὰς Μεγαρίδας χρησμῷ διεκώλυσε.

XVII. „Τίς ὁ δορύξενος;" τὸ παλαιὸν ἡ Μεγαρὶς ᾠκεῖτο κατὰ κώμας, εἰς πέντε μέρη νενεμημένων τῶν πολιτῶν. ἐκαλοῦντο δὲ Ἡραεῖς, καὶ Πιραεῖς, καὶ Μεγαρεῖς, καὶ Κυνοσουρεῖς, καὶ Τριποδισκαῖοι. τῶν δὲ Κορινθίων πόλεμον αὐτοῖς ἐξεργασαμένων [3] πρὸς ἀλλήλους, (ἀεὶ γὰρ ἐπεβούλευον ὑφ' αὐτοῖς ποιήσασθαι τὴν Μεγαρικὴν) ὅμως δι' ἐπιείκειαν ἡμέρως ἐπολέμουν καὶ συγγενικῶς. τοὺς μὲν γὰρ γεωργοῦντας οὐδεὶς ἠδίκει τὸ παράπαν, τοὺς δ' ἁλισκομένους λύτρον τι τεταγμένον ἔδει καταβαλεῖν, καὶ τοῦτο ἐλάμβανον ἀφέντες. πρότερον δ' οὐκ εἰσέπραττον, ἀλλ' ὁ λαβὼν αἰχμάλωτον, ἀπῆγεν οἴκαδε, καὶ μεταδοὺς ἁλῶν καὶ τραπέζης, ἀπέπεμπεν οἴκαδε. ὁ μὲν οὖν τὰ λύτρα κομίσας, ἐπῃνεῖτο, καὶ φίλος ἀεὶ διετέλει τοῦ λαβόντος ἐκ δορυαλώτου δορύξενος προσαγορευόμενος· ὁ δ' ἀποστερήσας, οὐ μόνον παρὰ τοῖς πολεμίοις, ἀλλὰ καὶ παρὰ τοῖς πολίταις ὡς ἄδικος καὶ ἄπιστος ἠδόξει.

XVIII. „Τίς ἡ παλιντοκία;" Μεγαρεῖς Θεαγένη, τὸν τύραννον, ἐκβαλόντες, ὀλίγον χρόνον ἐσωφρόνησαν κατὰ τὴν πολιτείαν· εἶτα πολλὴν (κατὰ Πλάτωνα) καὶ



1 Sic cum W. dedi pro vulg. τὰ ὅστᾶ. Habet auctoritatem cod. Voss. idemque valere videtur lectio Petav. τὰς μελαρίδας Kaltw. quoque sic vertit. Bryan. (Tom. V. pag. 433. edit. ipsius) acute monuit reponendum τὰς ἄστας.

2 Petav. δόξα.

3 W. susp. ἐξεγειραμένων. Mox idem habet ὑφ' αὑτοῖς.

καὶ ἄκρατον αὐτοῖς ἐλευθερίαν τῶν δημαγωγῶν οἰνοχοούντων, διαφθαρέντες παντάπασι, τά τε ἄλλα τοῖς πλουσίοις ἀσελγῶς προσεφέροντο, καὶ παριόντες εἰς τὰς οἰκίας αὐτῶν οἱ πένητες, ἠξίουν ἑςιᾶσθαι καὶ δειπνεῖν πολυτελῶς· εἰ δὲ μὴ τυγχάνοιεν, πρὸς βίαν καὶ μεθ' ὕβρεως ἐχρῶντο πᾶσι. τέλος δὲ δόγμα θέμενοι, τοὺς τόκους ἀνεπράττοντο παρὰ τῶν δανειςῶν, οὓς δεδωκότες ἐτύγχανον, παλιντοκίαν τὸ γινόμενον προσαγορεύσαντες.

XIX. „Τίς ἡ Ἀνθηδὼν, περὶ ἧς ἡ Πυθιὰς εἶπε· Πῖν' οἶνον τρυγίαν [1], ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις; ἡ γὰρ ἐν Βοιωτοῖς οὐκ ἔςι πολύοινος.“ τὴν Καλαυρίαν Εἰρήνην τοπαλαιὸν ὠνόμαζον ἀπὸ γυναικὸς Εἰρήνης, ἣν ἐκ Ποσειδῶνος καὶ Μελανθείας τῆς Ἀλφειοῦ γενέσθαι μυθολογοῦσιν. ὕςερον δὲ τῶν περὶ Ἄνθην καὶ Ὑπέρην αὐτόθι κατοικούντων Ἀνθηδονίαν καὶ Ὑπέρειαν ἐκάλουν τὴν νῆσον. εἶχε δὲ ὁ χρησμὸς οὕτως· (ὡς Ἀριςοτέλης φησί)

Πῖν' οἶνον τρυγίαν [2], ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις,
Οὐδ' ἱερὰν Ὑπέραν, ὅθι γ' ἄτρυγον [3] οἶνον ἔπινες.

ταῦτα μὲν ὁ Ἀριςοτέλης. ὁ δὲ Μνασιγείτων φησὶν, Ὑπέρης [4] ἀδελφὸν ὄντα τὸν Ἄνθον, ἔτι νήπιον ἀπολέσθαι, καὶ τὸν [5] Ὑπέρην κατὰ ζήτησιν αὐτοῦ πλανώμενον, εἰς Φερὰς πρὸς Ἄκαςον (ἢ Ἄδραςον,) ἐλθεῖν, ὅπου κατὰ τύχην ὁ Ἄνθος ἐδούλευεν [6] οἰνοχοεῖν τεταγμένος. ὡς οὖν εἱςιῶντο, τὸν παῖδα προσφέροντα τῷ ἀδελφῷ

1 Petav. οἰνοτρυγίαν.
2 Petav. οἶνον τυρίαν.
3 Petav. ὅτι κἂν τρύγα.
4 Petav. Ὑπέρητος, quod Xyl. probavit.
5 Petav. καὶ τὴν, & deinde πλανωμένην.
6 Petav. ἐδούλευσεν. Voces praemissas ἢ Ἄδραςον delendas censet W. cum Bryano. (Cf. ejd. annot. ad T. I. pag. 83.) Hinc uncis inclusi. Mox Petav. τὸ πότερον pro τὸ ποτήρ. & ἡ ἀρχῇ pro ἡσυχῇ.

Φῷ τὸ ποτήριον, ἐπιγνῶναι, καὶ εἰπεῖν πρὸς αὐτὸν ἡσυχῇ· Πῖν' οἶνον τρυγίαν, ἐπεὶ ἐκ Ἀνθηδόνα ναίεις.

XX. „Τίς ὁ λεγόμενος ἐν Πριήνῃ παρὰ [1] δρυὶ σκότος;" Σάμιοι καὶ Πριηνεῖς πολεμοῦντες ἀλλήλοις, τὰ μὲν ἄλλα μετρίως ἐβλάπτοντο καὶ ἔβλαπτον, μάχης δὲ μεγάλης γενομένης, χιλίους Σαμίων οἱ Πριηνεῖς ἀπέκτειναν, ἑβδόμῳ τὸ [2] ὕστερον ἔτει Μιλησίοις συμβαλόντες παρὰ τὴν καλουμένην δρῦν, τοὺς ἀρίστους ὁμοῦ τι καὶ πρώτους ἀπέβαλον τῶν πολιτῶν· ὅτε καὶ Βίας ὁ σοφὸς εἰς Σάμον ἐκ Πριήνης πρεσβεύσας εὐδοκίμησε. ταῖς δὲ Πριηνέων γυναιξὶν ὁμοῦ τοῦ πάθους τούτου καὶ τῆς συμφορᾶς ἐλεεινῆς γενομένης, ἀρὰ κατέστη καὶ ὅρκος ὁ περὶ τῶν μεγίστων, Ὁ [3] παρὰ δρυὶ σκότος, διὰ τὸ παῖδας αὐτῶν καὶ πατέρας καὶ ἄνδρας ἐκεῖ φονευθῆναι.

XXI. „Τίνες οἱ παρὰ Κρησὶ λεγόμενοι κατακαῦται;" Τυῤῥηνούς φασι τὰς τὰς Ἀθηναίων θυγατέρας καὶ γυναῖκας ἐκ Βραύρωνος [4] ἁρπάσαντας, ὁπηνίκα Λῆμνον καὶ Ἴμβρον κατῴκουν, εἶτ' ἐκπεσόντας, εἰς τὴν Λακωνικὴν ἀφικέσθαι, καὶ γενέσθαι ἐπιμιξίαν αὐτοῖς, μέχρι παίδων γενέσεως πρὸς τὰς ἐγχωρίους γυναῖκας. ἐκ δ' ὑποψίας καὶ διαβολῆς πάλιν ἀναγκασθέντας [5] ἐκλιπεῖν τὴν Λακωνικὴν, μετὰ παίδων καὶ γυναικῶν εἰς Κρήτην κατᾶραι, Πόλλιν [6] ἡγεμόνα καὶ τὸν ἀδελφὸν ἔχοντας. ἐπεὶ δὲ πολεμοῦντας τοῖς κατέχουσι τὴν Κρήτην, πολλοὺς περιορᾶν τῶν ἐν ταῖς μάχαις ἀποθνησκόντων ἀτάφους, τὸ



1 Petav. περὶ.

2 Xyl. pro τὸ mavult & vertit τε. Mox pro ὁμοῦ τι Coll. Var. Lect. Frft. mavult ὁμοῦ τε.

3 abest ὁ a Petav.

4 Petav. Βαῤῥῶνος.

5 Dedi in accus. pro vulg. ἀναγκασθέντες, W. probante.

6 Petav. Πόλιν. Idem habent Ald. & Bas. in quibus simul omissum est καὶ post ἡγεμόνα. Pro ἀδελφὸν hic & infra W. legi vult Δελφόν Cf. pag. 273. h. vol. not. 2. ubi haec ipsa e lectione Ald. & Bas. citantur.

μὲν πρῶτον ἀχόλως διὰ τὸν πόλεμον ὄντας καὶ τὸν κίνδυνον, ὕςερον [1] δὲ φεύγοντας ἅπτεσθαι νεκρῶν ἐφθαρμένων ὑπὸ χρόνου καὶ διεῤῥυηκότων. τὸν οὖν Πόλλιν ἐξευρόντα τιμάς τινας καὶ προνομίας καὶ ἀτελείας ἀποδοῦναι, τὰς μὲν τοῖς ἱερεῦσι τῶν θεῶν, τὰς δὲ τοῖς ταφεῦσι τῶν τετελευτηκότων, ἐπιφημίσαντα καὶ ταύτας δαίμοσι χθονίοις, ὅπως ἀναφαίρετοι διαμένοιεν· εἶτα κλήρῳ διαλαχεῖν πρὸς τὸν ἀδελφόν. ὀνομασθῆναι δὲ, τοὺς μὲν, ἱερεῖς, τοὺς δὲ, κατακαύτας· καὶ πολιτεύεσθαι μὲν αὐτοὺς καθ' αὑτοὺς, ἔχειν δὲ μετὰ τῶν ἄλλων φιλανθρώπων [2], καὶ ἄδειαν ἀδικημάτων, οἷς ἄλλοι Κρῆτες εἰώθασι χρῆσθαι πρὸς ἀλλήλους, ἄγοντες λαθραίως καὶ ἀποφέροντες. ἐκείνους γὰρ οὐδὲν ἀδικεῖν, οὐδὲ κλέπτειν οὐδὲν, οὐδ' ἀφαιρεῖσθαι.

XXII. „Τίς ὁ παίδων τάφος παρὰ [3] Χαλκιδεῦσι;“ Κόθος καὶ Ἄρκλος [4] οἱ Ξούθου παῖδες εἰς Εὔβοιαν ἧκον οἰκήσοντες, Αἰολέων τότε τὰ πλεῖςα τῆς νήσου κατεχόντων. ἦν δὲ τῷ Κόθῳ λόγιον, εὖ πράξειν καὶ περιέσεσθαι τῶν πολεμίων, ἐὰν πρίηται τὴν χώραν. ἀποβὰς οὖν μετ' ὀλίγων [5], ἐνέτυχε παίζουσι παιδαρίοις παρὰ τὴν θάλασσαν· συμπαίζων οὖν αὐτοῖς καὶ φιλοφρονούμενος, ἔδειξε παίγνια πολλὰ τῶν ξενικῶν. ὡς δὲ ἑώρα τοὺς παῖδας ἐπιθυμοῦντας λαβεῖν, οὐκ ἔφησεν αὐτοῖς δώσειν ἄλλως, εἰ μὴ τῆς γῆς λάβοι παρ' αὐτῶν. οἱ δὲ παῖδες οὕτως ἀναιρούμενοι χαμᾶθεν ἐδίδοσαν, καὶ τὰ παίγνια λαβόντες, ἀπηλλάγησαν. οἱ δ' Αἰολεῖς αἰσθόμενοι τὸ γεγονὸς, καὶ τῶν πολεμίων αὐτοῖς ἐπιπλεόντων, ὑπ' ὀργῆς καὶ λύπης διεχρήσαντο τοὺς παῖδας. ἐτάφησαν δὲ παρὰ

1 Petav. ὑςέρων, & deinde ἐπιφημήσαντα.

2 abest φιλανθρώπων a Petav. Mox idem ἄλλη.

3 Petav. περί.

4 Pro Arclo legendum esse *Aeclum*, Xyl. monet.

5 Sic dedi e Mez. correctione, W. probante, pro vulg. μετ' ὀλίγον. Kaltw. jam vertit: *mit wenigen*.

παρὰ τὴν ὁδὸν, ᾗ βαδίζουσιν ἐκ πόλεως ἐπὶ [1] τὸν Εὔριπον, καὶ ὁ τόπος Τάφος παίδων καλεῖται.

XXIII. „Τίς ὁ Μιξαρχαγέτας [2] ἐν Ἄργει; καὶ τίνες οἱ Ἐλάσιοι;“ Μιξαρχαγέταν τὸν Κάστορα καλοῦσι, καὶ νομίζουσι παρ' αὐτοῖς τετάφθαι· τὸν δὲ Πολυδεύκην ὡς ἕνα τῶν Ὀλυμπίων σέβονται. τοὺς δὲ τὰς ἐπιληψίας ἀποτρέπειν δοκοῦντας, ἐλασίους [3] μὲν ὀνομάζουσί, δοκοῦσι δὲ τῶν Ἀλεξίδας τῆς Ἀμφιαράου θυγατρὸς ἀπογόνων εἶναι.

XXIV. „Τί τὸ παρ' Ἀργείοις λεγόμενον ἔγκνισμα [4];“ τοῖς ἀποβαλοῦσί τινα συγγενῶν, ἢ συνήθων, ἔθος ἐστὶ μετὰ πένθος εὐθὺς τῷ Ἀπόλλωνι θύειν, ἡμέραις δὲ ὕστερον τριάκοντα, τῷ Ἑρμῇ. νομίζουσι γὰρ, ὥσπερ τὰ σώματα τῶν ἀποθανόντων δέχεσθαι τὴν γῆν· οὕτω τὰς ψυχὰς τὸν Ἑρμῆν· τοῦ δ' Ἀπόλλωνος τῷ ἀμφιπόλῳ κριθὰς διδόντες, λαμβάνουσι κρέας τοῦ ἱερείου, καὶ τὸ πῦρ ἀποσβέσαντες ὡς μεμιασμένον, παρ' ἑτέρων δ' ἐναυσάμενοι τοῦτο τὸ κρέας ὀπτῶσιν, ἔγκνισμα προσαγορεύοντες.

XXV. „Τίς ἀλάστωρ, ἀλιτήριος, παλαμναῖος;“ οὐ γὰρ πειστέον τοῖς λέγουσιν ἀλιτηρίους κεκλῆσθαι τοὺς ἐπιτηροῦντας ἐν τῷ λιμῷ τὸν ἀλοῦντα καὶ διαρπάζοντας· ἀλλ' ἀλάστωρ μὲν κέκληται ὁ ἄληστα καὶ πολὺν χρόνον μνημονευθησόμενα δεδρακώς· ἀλιτήριος δὲ, ὃν ἀλεύασθαι καὶ φυλάξασθαι διὰ μοχθηρίαν καλῶς εἶχε. ταῦ-



1 Petav. παρὰ.

2 Legit sic Xyl. quasi semideum diceres, gentilitatis Argivae auctorem, non tamen coelitem. Dedit quoque W. ex correctione Mez. & Valckenarii ad Theocr. p. 278. Vulgo Μιξαρχαγεύας. Cf. Hesych. in v. ἀρχηγέται. Petav. Μιξαρχαγεύσας ? & deinde Μιξαργεύαν.

3 Ald. Bas. Petav. ἐλασίας. Hinc Xyl. notat, aut hoc loco ἐλασίας legendum esse, aut supra Ἐλάσιαι. Mox Petav. ἀπόγονον.

4 Petav. ἄγκνισμα.

τα [1] (φησὶν ὁ Σωκράτης) ἐν διφθέραις χαλκαῖς γεγράφασι.

XXVI. „Τίνος ἔχεται διανοίας τὸ τοὺς ἀπάγοντας εἰς Κασσιοπαίων [2] τὸν βοῦν, ἐξ Αἴνου τὰς παρθένους προπεμπούσας ἐπᾴδειν ἄχρι τῶν ὅρων;

Μήποτε νοστήσαιτε φίλην ἐς πατρίδα γαῖαν;"
Αἰνειᾶνες ὑπὸ Λαπιθῶν ἐξαναστάντες τοπρῶτον, ᾤκησαν [3] περὶ τὴν Αἰθακίαν, εἶτα περὶ τὴν Μολοσσίδα καὶ Κασσιοπαίαν· οὐδὲν δὲ χρηστὸν ἀπὸ τῆς χώρας ἔχοντες, ἀλλὰ καὶ χαλεποῖς χρώμενοι προσοίκοις εἰς τὸ Κιῤῥαῖον πεδίον ἧκον, Ὀνόκλου [4], τοῦ βασιλέως, ἄγοντος αὐτούς. ἐκεῖ δὲ μεγάλων αὐχμῶν γενομένων, κατὰ χρησμὸν, (ὡς λέγεται) τὸν Ὄνοκλον καταλεύσαντες, καὶ πάλιν πλανηθέντες, εἰς ταύτην ἀφίκοντο τὴν χώραν, ἣν νῦν ἔχουσιν, ἀγαθὴν καὶ πάμφορον οὖσαν. ὅθεν εἰκότως εὔχονται τοῖς θεοῖς, εἰς τὴν παλαιὰν πατρίδα μὴ ἐπανελθεῖν, ἀλλ' αὐτοῦ καταμένειν εὐδαιμονοῦντας.

XXVII. „Τί δή ποτε παρὰ Ῥοδίοις εἰς τὸ τοῦ Ὀκριδίωνος ἡρῶον οὐκ εἰσέρχεται κῆρυξ;" ἢ ὅτι Ὄχιμος τὴν θυγατέρα Κυδίππην ἐνεγγύησεν Ὀκριδίωνι; Κέρκαφος δὲ ἀδελφὸς ὢν Ὀχίμου, τῆς δὲ παιδὸς ἐρῶν, ἔπεισε τὸν κήρυκα, (διὰ κηρύκων γὰρ ἔθος ἦν τὸ μετέρχεσθαι τὰς νύμφας) ὅταν παραλάβῃ τὴν Κυδίππην, πρὸς ἑαυτὸν ἀγαγεῖν. τούτου δὲ πραχθέντος, ὁ μὲν Κέρκαφος ἔχων τὴν κόρην ἔφυγεν, ὕστερον δὲ τοῦ Ὀχίμου γηράσαντος ἐπανῆλθε. τοῖς δὲ Ῥοδίοις ἔθος [5] κατέστη κήρυκα

1 Manca haec esse, facile patet, & Xyl. notat, qui ταῦτα ad ἄληστα refert.

2 Petav. Κασσιπαίαν. Ante τὰς παρθένους W. ex E. addidit καί.

3 Petav. ᾤκισαν; ἔχοντας pro ἔχοντες, & λέγοντες pro ἄγοντος.

4 Supra Quaest. XIII. dicitur *Oenoclus*.

5 Recepi ἔθος cum W. ex Petav. Venet. Voss. Vulgo abest,

ρυκα μὴ προσιέναι τῷ τȣ̃ Ὀκριδίωνος ἡρώῳ, διὰ τὴν γενομένην ἀδικίαν.

XXVIII. „Τί δή ποτε παρὰ Τενεδίοις εἰς τὸ τȣ̃ Τένȣ ἱερὸν ȣ̓κ ἔξεστιν αὐλητὴν εἰσελθεῖν, ȣ̓δ' Ἀχιλλέως ἐν τῷ ἱερῷ μνησθῆναι;" ἤ, ὅτι τῆς μητρυιᾶς τὸν Τένην διαβαλλȣ́σης ὡς βȣλόμενον αὐτῇ συγγενέσθαι, Μόλπος ὁ αὐλητὴς τὰ ψευδῆ κατεμαρτύρησεν αὐτȣ̃, διὰ τȣ̃το τῷ Τένῃ συνέπεσε φεύγειν εἰς Τένεδον μετὰ τῆς ἀδελφῆς; Ἀχιλλεῖ δὲ λέγεται τὴν μητέρα Θέτιν ἰσχυρῶς αγορεῦσαι [1] μὴ ἀνελεῖν τὸν Τένην, ὡς τιμώμενον ὑπὸ Ἀπόλλωνος, καὶ παρεγγυῆσαι ἑνὶ τῶν οἰκετῶν, ὅπως προσέχῃ καὶ ἀναμιμνήσκῃ, μὴ λάθοι κτείνας ὁ Ἀχιλλεὺς τὸν Τένην. ἐπεὶ δὲ τὴν Τένεδον κατατρέχων ἐδίωκε τὴν ἀδελφὴν τȣ̃ Τένȣ καλὴν ȣ̓̃σαν, ἀπαντήσας τε [2] ὁ Τένης ἠμύνετο πρὸ τῆς ἀδελφῆς· καὶ ἡ μὲν ἐξέφυγεν, ὁ δὲ Τένης ἀνῃρέθη. ὁ δ' Ἀχιλλεὺς πεσόντα γνωρίσας [3], τὸν μὲν οἰκέτην ἀπέκτεινεν, ὅτι παρὼν ȣ̓κ ἀνέμνησε· τὸν δὲ Τένην ἔθαψεν, ȣ̓̃ νῦν τὸ ἱερόν ἐστι, καὶ ȣ̓́τε αὐλητὴς εἴσεισιν, ȣ̓́τε Ἀχιλλεὺς ὀνομάζεται.

XXIX. „Τίς ὁ παρ' Ἐπιδαμνίοις πωλήτης;" Ἐπιδάμνιοι γειτνιῶντες Ἰλλυριοῖς ᾐσθάνοντο τȣ̀ς ἐπιμιγνυμένȣς αὐτοῖς πολίτας γιγνομένȣς πονηρȣ́ς. καὶ φοβȣ́μενοι νεωτερισμὸν, ᾑρȣ̃ντο πρὸς τὰ τοιαῦτα συμβόλαια καὶ τὰς ἀμείψεις [4] καθ' ἕκαστον ἐνιαυτὸν ἕνα τῶν δεδοκιμασμένων παρ' αὐτοῖς, ὃς ἐπιφοιτῶν τοῖς βαρβάροις, παρεῖχεν ἀγορὰν καὶ διάθεσιν πᾶσι τοῖς πολίταις, πωλητης προσαγορευόμενος.



1 Probandum videtur ἀπαγορεῦσαι, quod habet Voss. a correctore.

3 Malim hoc τε abesse. Petav. statim ὁ Τένος, uti ab init. quaest. τȣ̃ Τένȣ; item ἀναμιμνήσκειν pro ἀναμιμνήσκῃ, & deinde ὁ μὲν pro ἡ μέν.

3 W. ex E. dedit τȣ̃τον ἐγνώρισε, quia γνωρίσας constructionem labefactet. Hoc equidem haud video; &, si accipitur ἐγνώρισε, necesse mihi videtur, ut sequatur καί.

4 Petav. ἀπολήψεις.

XXX. „Τίς ἡ περὶ Θρᾴκην Ἀραίνε [1] ἀκτή;" Ἄνδριοι καὶ Χαλκιδεῖς πλεύσαντες εἰς Θρᾴκην οἰκήσεως ἕνεκα, Σάνην μὲν πόλιν ἐκ προδοσίας κοινῇ παρέλαβον, τὴν δὲ Ἄκανθον ἐκλελοιπέναι τὰς βαρβάρας πυνθανόμενοι, δύο κατασκόπας ἔπεμψαν. ὡς δὲ τῇ πόλει προσιόντες παντάπασι πεφευγότας ᾐσθάνοντο τὰς πολεμίας, ὁ μὲν Χαλκιδικὸς προεξέδραμεν ὡς καταληψόμενος τοῖς Χαλκιδεῦσι τὴν πόλιν, ὁ δ' Ἄνδριος ἀ συνεξανύτων, ἠκόντισε τὸ δόρυ, καὶ ταῖς πύλαις ἐμπαρέντος μετὰ βελῆς [2], Ἀνδρίων ἔφη παισὶν αἰχμῇ προκατειλῆφθαι τὴν πόλιν. ἐκ τέτε διαφορᾶς γενομένης, ἄνευ πολέμε συνέβησαν Ἐρυθραίοις καὶ Σαμίοις καὶ Παρίοις χρήσασθαι περὶ πάντων δικαςαῖς. ἐπεὶ δ' οἱ μὲν Ἐρυθραῖοι καὶ οἱ Σάμιοι τὴν ψῆφον Ἀνδρίοις ἤνεγκαν, οἱ δὲ Πάριοι Χαλκιδεῦσιν, ἀρὰς ἔθεντο περὶ τὸν τόπον τἕτον οἱ Ἄνδριοι κατ' αὐτῶν, μήτε δἕναι γυναῖκα Παρίοις, μήτε λαβεῖν παρ' αὐτῶν. καὶ διὰ τἕτο προσηγόρευσαν [3] ἀκτὴν Ἀραίνε, πρότερον ὀνομαζομένην Δράκοντος.

XXXI. „Διὰ τί τοῖς Θεσμοφορίοις αἱ τῶν Ἐρετριέων [4] γυναῖκες ἐ πρὸς πῦρ, ἀλλὰ πρὸς ἥλιον, ὀπτῶσι τὰ κρέα, καὶ Καλλιγένειαν ἐ καλἕσιν;" ἢ ὅτι ταῖς αἰχμαλώτοις, ἃς ἦγεν ἐκ Τροίας Ἀγαμέμνων, ἐνταῦθα συνέβη Θεσμοφόρια θύειν, πλἕ δὲ φανέντος, ἐξαίφνης ἀνήχθησαν ἀτελῆ τὴν θυσίαν καταλιπἕσαι;

XXXII. „Τίνες οἱ ἀειναῦται παρὰ Μιλησίοις;" τῶν περὶ Θόαντα καὶ Δαμασήνορα τυράννων καταλυθέντων, ἑταιρεῖαι δύο τὴν πόλιν κατέχον, ὧν ἡ μὲν ἐκαλεῖτο

1 E. H. Venet. Ἀράνε h. l. & infra, ubi etiam e Petav. enotatur.

2 Frft. & R. βελῆς. Correxi. E. μετὰ βοῆς, quod W. probat. Paulo ante Petav. συνεξανύτων.

3 Sic in R. sola extat & retinendum censui. In omnibus rell. προηγόρευσαν. E Petav. notatur προσηγορεύθησαν; item πότερον pro seq. πρότ.

4 Petav. Ἐρετριαίων; & deinde ἃ ἦγεν & Θεσμοφορίαν.

λεῖτο Πλουτὶς [1], ἡ δὲ Χειρομάχα. κρατήσαντες ἦν οἱ δυνατοὶ, καὶ τὰ πράγματα περιςήσαντες [2] εἰς τὴν ἑταιρείαν, ἐβυλεύοντο περὶ τῶν μεγίςων, ἐμβαίνοντες εἰς τὰ πλοῖα, καὶ πόῤῥω τῆς γῆς ἐπανάγοντες· κυρώσαντες δὲ τὴν γνώμην, κατέπλεον, καὶ διὰ τῦτο ἀειναῦται προσηγορεύθησαν.

XXXIII. „Τί δή ποτε Χαλκιδεῖς τὸν περὶ τὸ Πυρσόφιον τόπον ἀκμαίων λέχην καλῦσι;“ τὸν Ναύπλιόν φασιν ὑπὸ τῶν Ἀχαιῶν διωκόμενον, Χαλκιδεῖς ἱκετεῦσαι, καὶ τὰ μὲν περὶ τῆς αἰτίας ἀπολογεῖσθαι, τὰ δ' αὐτὸν ἀντεγκαλεῖν τοῖς Ἀχαιοῖς. ἐκδιδόναι μὲν αὐτὸν οἱ Χαλκιδεῖς ὐδ' ἐμέλλησαν [3]. δεδιότες δὲ, μὴ δόλῳ φονευθῇ, φυλακὴν ἔδοσαν αὐτῷ τὺς ἀκμάζοντας νεανίσκυς, καὶ κατέςησαν εἰς τὸν τόπον τῦτον, ὅπυ συνῆσαν ἀλλήλοις ἅμα καὶ τὸν Ναύπλιον παρεφύλαττον.

XXXIV. „Τίς ὁ βῦν εὐεργέτῃ θύσας;“ πλοῖον ὥρμει περὶ τὴν Ἰθακησίαν λῃςρικὸν, ἐν ᾧ πρεσβύτης ἐτύγχανε μετὰ κεραμίων ἐχόντων πίτταν. τύτῳ [4] ὖν κατὰ τύχην προσέσχε πορθμεὺς Ἰθακήσιος, ὀνόματι Πυῤῥίας, καὶ τὸν πρεσβύτην ἐῤῥύσατο, μηδὲν [5] δεόμενος, ἀλλὰ πεισθεὶς ὑπ' αὐτῦ καὶ οἰκτείρας· προσέλαβε δὲ καὶ τῶν κεραμίων, τῦ πρεσβύτυ κελεύσαντος. ἀπαλλαγέντων δὲ τῶν λῃςῶν, καὶ γενομένης ἀδείας, ὁ πρεσβύτης τοῖς κεραμίοις τὸν Πυῤῥίαν προσαγαγὼν, χρυσίον ἐδείκνυεν ἐν αὐτοῖς πολὺ, καὶ ἀργύριον τῇ πίττῃ καταμεμιγμένον. ἐξαίφνης ὖν ὁ Πυῤῥίας πλύσιος γενόμενος τά τε ἄλλα εὖ περιεῖπε τὸν γέροντα, καὶ βῦν ἔθυ-

1 Petav. πλυτὶς, quam lectionem Kaltw. praefert, ut innuantur *divites*, cum χειρομάχα denotet victum quaerentes opera manuaria.

2 Petav. ςήσαντες.

3 Petav. ἐμέλλησαν.

4 Secutus sum W. dantem πίτταν ex E. H. Venet. Voss. τύτῳ autem ex E. pro vulg. πίττας. ταύτῃ. Petav. ταῦτα.

5 Petav. μηθὲν, & infra ἀδίας.

ἔθυσεν αὐτῷ. ὃ καὶ παροιμιαζόμενοι λέγουσιν, οὐδεὶς εὐεργέτῃ βοῦν ἔθυσεν, ἀλλ' ἡ Πυῤῥίας.

XXXV. „Τί δή ποτε ταῖς κόραις τῶν [1] Βοττιαίων ἔθος ἦν λέγειν χορευούσαις· Ἴωμεν εἰς Ἀθήνας;" Κρῆτας φασὶν εὐξαμένους ἀνθρώπων ἀπαρχὴν εἰς Δελφοὺς ἀποστεῖλαι, τοὺς δὲ πεμφθέντας, ὡς ἑώρων οὐδεμίαν οὖσαν εὐπορίαν, αὐτόθεν εἰς ἀποικίαν ὁρμῆσαι· καὶ πρῶτον μὲν ἐν Ἰαπυγίᾳ κατοικεῖν, ἔπειτα τῆς Θρᾴκης τοῦτον τὸν τόπον κατασχεῖν, συναμεμιγμένων αὐτοῖς Ἀθηναίων. ἔοικε γὰρ μὴ διαφθείρειν ὁ Μίνως, οὓς ἔπεμπον Ἀθηναῖοι κατὰ τὸν δασμὸν [2] ἠϊθέους, ἀλλὰ κατέχειν παρ' ἑαυτῷ λατρεύοντας. ἐξ ἐκείνων οὖν τινες γεγονότες καὶ νομιζόμενοι Κρῆτες, εἰς Δελφοὺς συναπεστάλησαν. ὅθεν αἱ θυγατέρες τῶν Βοττιαίων ἀπομνημονεύουσαι τοῦ γένους, ᾖδον ἐν ταῖς ἑορταῖς· Ἴωμεν εἰς Ἀθήνας.

XXXVI. „Διὰ τί τὸν Διόνυσον αἱ τῶν Ἠλείων γυναῖκες ὑμνοῦσαι παρακαλοῦσι βοέῳ ποδὶ [3] παραγίνεσθαι πρὸς αὐτάς; ἔχει δ' οὕτως ὁ ὕμνος· Ἐλθεῖν ἥρω, Διόνυσε, ἅλιον ἐς ναὸν ἁγνὸν, σὺν χαρίτεσσιν ἐς ναὸν τῷ βοέῳ ποδὶ θύων [4]. εἶτα δὶς ἐπᾴδουσιν· Ἄξιε ταῦρε." πότερον ὅτι καὶ βουγενῆ προσαγορεύουσι καὶ ταῦρον ἔνιοι τὸν θεόν; ἢ τῷ μεγάλῳ ποδὶ, βοέῳ λέγουσιν, ὡς βοῶπιν ὁ ποιητὴς τὴν μεγαλόφθαλμον, καὶ βουγάϊον τὸν μεγάλαυχον. ἢ μᾶλλον, ὅτι τοῦ βοὸς ὁ ποὺς ἀβλαβής ἐστι, τὸ δὲ κερασφόρον ἐπιβλαβές· οὕτω τὸν θεὸν παρακαλοῦσι πρᾷον ἐλθεῖν καὶ ἄλυπον; ἢ, ὅτι καὶ ἀρότρου [5] καὶ σπόρου πολλοὶ τὸν θεὸν ἀρχηγὸν γεγονέναι νομίζουσι;

XXXVII.

1 Petav. ταῖς Βοτ.
2 Petav. δεσμόν.
3 Petav. παιδί, & deinde χαρίτεσι.
4 Bene monet Kaltw. vocem θύων loco non convenire. Quaerit, num θεῖον legendum?
5 W. legi vult ἀρότου.

XXXVII. „Διὰ τί Ταναγραίοις πρὸ τῆς πόλεως ἐςὶν Ἀχίλλειον, τόπος ἔτω προσαγορευόμενος; ἔχθρα γὰρ αὐτῷ μᾶλλον, ἢ φιλία, λέγεται γεγονέναι πρὸς τὴν πόλιν, ἁρπάσαντι μὲν τὴν μητέρα τῦ Ποιμάνδρυ, Στρατονίκην, ἀποκτείναντι δὲ υἱὸν Ἐφίππυ, Ἀκέςορα.“ Ποίμανδρος τοίνυν, ὁ Ἐφίππυ πατὴρ, ἔτι τῆς Ταναγρικῆς κατὰ κώμας οἰκυμένης ἐν τῷ καλυμένῳ Στέφοντι [1], πολιορκύμενος ὑπὸ τῶν Ἀχαιῶν, διὰ τὸ μὴ βύλεσθαι συςρατεύειν, ἐξέλιπε [2] τὸ χωρίον ἐκεῖνο νύκτωρ, καὶ τὴν Ποιμάνδριαν ἐτείχισε. παρὼν δὲ Πολύκριθος ὁ ἀρχιτέκτων διαφαυλίζων τὰ ἔργα καὶ καταγελῶν, ὑπερήλατο τὴν τάφρον. ὀργισθεὶς ὁ Ποίμανδρος ὥρμησε λίθον ἐμβαλεῖν αὐτῷ μέγαν, ὃς ἦν αὐτόθι κεκρυμμένος ἐκ παλαιῦ, νυκτελίοις ἱεροῖς ἀποκείμενος [3]. τῦτον ἀνασπάσας ὑπὸ ἀγνοίας ὁ Ποίμανδρος ἔβαλε, καὶ τῦ μὲν Πολυκρίθυ διήμαρτε, Λεύκιππον δὲ τὸν υἱὸν ἀπέκτεινεν. ἔδει μὲν ὖν κατὰ τὸν νόμον ἐκ τῆς Βοιωτίας μεταςῆναι, ἐφέςιον καὶ ἱκέτην ξένον γενόμενον· ὐκ ἦν δὲ ῥᾴδιον, ἐμβεβληκότων εἰς τὴν Ταναγραϊκὴν τῶν Ἀχαιῶν. ἔπεμψεν ὖν Ἔφιππον τὸν υἱὸν, Ἀχιλλέως δεησόμενον. ὁ δὲ καὶ τῦτον [4] εἰσάγει πείσας, καὶ Τληπόλεμον τὸν Ἡρακλέυς, καὶ Πηνέλεων τὸν Ἱππάλκμυ, συγγενεῖς ἅπαντας αὐτῷ [5] ὄντας. ὑφ' ὧν ὁ Ποίμανδρος εἰς Χαλκίδα συνεκπεμφθεὶς καὶ καθαρθεὶς παρ' Ἐλεφήνορι τὸν φόνον, ἐτίμησε τὺς ἄνδρας, καὶ τεμένη πᾶσιν ἐξεῖλεν, ὧν τὸ Ἀχιλλέως καὶ τὔνομα διατετήρηκεν.

XXXVIII.

1 Sic ex Ald. Baf. Steph. & Petav. reftitui pro Στέγοντι, quod eft in Frft. & R.

2 Petav. ἐξέλειπε.

3 Petav. ἐπικείμενος; deinde ἐφέςιον καὶ οἰκέτην ξέν.

4 abeffe καὶ τῦτον ab E. ejusque loco lacunam duorum verfuum, notat W. monens, totius capitis narrationem non fatis expeditam effe.

5 Sic W. ex E. fumfit, dedique, ut Xyl. vertit. Vulgo αὐτῶν.

XXXVIII. „Τίνες οἱ παρὰ Βοιωτοῖς Ψολόεις, καὶ τίνες Αἰολεῖαι [1];" τὰς Μινύου θυγατέρας φασὶ Λευκίππην καὶ Ἀρσινόην καὶ Ἀλκαθόην μανείσας ἀνθρωπίνων ἐπιθυμῆσαι κρεῶν, καὶ διαλαχεῖν περὶ τῶν τέκνων· Λευκίππης λαχούσης, παραχεῖν Ἵππασον τὸν υἱὸν διασπάσασθαι· κληθῆναι δὴ τοὺς μὲν ἄνδρας αὐτῶν δυσειματοῦντας ὑπὸ λύπης καὶ πένθους, Ψολόεις, αὐτὰς δὲ Αἰολείας οἷον ὀλοάς [2]. καὶ μέχρι νῦν Ὀρχομένιοι τὰς ἀπὸ τοῦ γένους οὕτω καλοῦσι. καὶ γίνεται παρ' ἐνιαυτὸν ἐν τοῖς Ἀγριωνίοις φυγὴ καὶ δίωξις αὐτῶν ὑπὸ τοῦ ἱερέως τοῦ Διονύσου ξίφος ἔχοντος. ἔξεστι δὲ τὴν καταληφθεῖσαν ἀνελεῖν, καὶ ἀνεῖλεν ἐφ' ἡμῶν Ζωίλος ὁ ἱερεύς. ἀπέβη δ' εἰς οὐδὲν χρηστὸν αὐτοῖς, ἀλλ' ὅ τε Ζωίλος ἐκ τοῦ τυχόντος ἑλκυδρίου [3] νοσήσας, καὶ διασαπεὶς πολὺν χρόνον, ἐτελεύτησεν. οἵ τε Ὀρχομένιοι δημοσίαις βλάβαις καὶ καταδίκαις περιπεσόντες, ἐκ τοῦ γένους τὴν ἱερωσύνην μετέστησαν, ἐκ πάντων αἱρούμενοι τὸν ἄριστον.

XXXIX. „Διὰ τί τοὺς εἰς τὸ λύκαιον [4] εἰσελθόντας ἑκουσίως, καταλεύουσιν οἱ Ἀρκάδες· ἂν δ' ὑπ' ἀγνοίας, εἰς Ἐλευθέρας ἀποστέλλουσι;" πότερον ὡς ἐλευθερουμένων αὐτῶν διὰ τὴν ἀπόλυσιν, ἔχει ὁ λόγος πίστιν, καὶ τοιοῦτόν ἐστι τὸ εἰς Ἐλευθέρας, οἷον τὸ, εἰς ἀμελοῦς χώραν,

καὶ

1 W. cum Mez. legi vult αἱ Ὀλεῖαι. Pro Ψολόεις Petav. Ψολίεις. Pro Ἀρσινόην Ald. & Bas. Ἀρσιόνην. Xyl. correxit.

2 Secutus sum in his Xyl. conjecturam, ad quam proxime accedit correctio Mez. exhibens οὖν pro δὴ, & Ὀλείας pro Αἰολείας. Cod. E. firmat δυσειματοῦντας, quod W. inde recepit. Vulgo deest δὴ, & datur δυσειματέντων, & Ψολόεις, τὰς Αἰολείας Οἰωνολόας. Ald. & Bas. distinguunt ante διασπάσασθαι per comma idemque jungunt cum κληθῆναι, & omittunt comma post Ψολόεις. Petav. denique Ἵππασα pro Ἵππασον. *Agrionia* festum Bacchi, Agrionii dicti.

3 Dedi sic de meo pro vulg. ἑλκυδίου. Equidem usitatum esse ἑλκύδιον haud noverim, neque ἑλκίδιον, quod Xyl. voluit.

4 templum Jovis in monte Lycaeo Arcadiae.

καὶ τὸ, ἥξεις εἰς ἀρέσαντος ἕδος [1]; ἢ, κατὰ τὸν μῦθον, ἐπεὶ μόνοι τῶν Λυκάονος παίδων Ἐλευθὴρ καὶ Λεβεάδος ἐ μετέχον τε περὶ τὸν Δία μιάσματος, ἀλλ' εἰς Βοιωτίαν ἔφυγον, καὶ Λεβαδεῦσίν ἐστιν ἰσοπολιτεία πρὸς Ἀρκάδας. εἰς Ἐλευθέρας ἐν ἀποπέμπεσι τὲς ἐν τῷ αβάτῳ τε Διὸς ἀκεσίως γενομένες. ἢ ὡς Ἀρχίτιμος [2] ἐν τοῖς Ἀρκαδικοῖς ἐμβάντας τινὰς κατὰ ἄγνοιαν ὑπὸ Ἀρκάδων φησὶ [3] παραδοθῆναι Φλιασίοις, ὑπὸ δὲ Φλιασίων Μεγαρεῦσιν, ἐκ δὲ Μεγαρέων εἰς Θήβας κομιζομένες περὶ τὰς [4] Ἐλευθέρας, ὕδατι καὶ βρονταῖς καὶ διοσημείαις ἄλλαις καταχεθῆναι· ἀφ' ἐ δὴ καὶ τὸν τόπον Ἐλευθέρας ἔνιοί φασι προσαγορεύεσθαι. τὸ μέντοι σκιὰν μὴ πίπτειν ἀπὸ τε ἐμβάντος εἰς τὸ λύκαιον, λέγεται μὲν ἐκ ἀληθῶς, ἔσχηκε [5] δὲ πίστιν ἰσχυράν. πότερον τε ἀέρος εἰς νέφη τρεπομένε καὶ σκυθρωπάζοντος ἐπὶ τοῖς εἰσιἐσιν; ἢ ὅτι θανατεται μὲν ὁ ἐμβὰς, τῶν δ' ἀποθανόντων οἱ Πυθαγορικοὶ λέγεσι τὰς ψυχὰς μὴ ποιεῖν σκιὰν, μηδὲ σκαρδαμύττειν; ἢ σκιὰν μὲν ὁ ἥλιος ποιεῖ, τὸν δὲ ἥλιον ἀφαιρεῖται τε ἐμβάντος ὁ νόμος; καὶ τετο αἰνιττόμενοι λέγεσι. καὶ γὰρ ἔλαφος ὁ ἐμβὰς καλεῖται. διὸ καὶ Κανθαρίωνα τὸν Ἀρκάδα πρὸς Ἠλείες αὐτομολήσαντα πολεμεντας Ἀρκάσι, καὶ διαβάντα μετὰ λείας τὸ ἄβατον, καταλυθέντος δὲ τε πολέμε [6] φυγόντα εἰς Σπάρτην, ἐξέδοσαν οἱ Λακεδαιμόνιοι τοῖς Ἀρκάσι, τε θεε κελεύσαντος ἀποδιδόναι τὸν ἔλαφον.

XL.

1 Petav. ἀρχίσαντος ἕδον. Mox id. Λεβιάδης.

2 Petav. Ἀρχίτιμος.

3 Recepi φησὶ ex E. Vulgo abest.

4 Petav. περὶ τῆς Ἐλ. cum Ald. & Baſ. Correxit Xyl. Sequens βρονταῖς ex eodem ſumſiſſe videtur R. pro βροντοῖς, quod ex Steph. prodiit, & a W. retinetur. Petav. deinde διοσημείας.

5 Dedi ſic, W. praeeunte & ex E. ἔσχηκεν dante, pro vulg. ἰσχυκέναι. Cur Xyl. λέγεσθαι velit legi pro λέγεται, latet, praeſertim cum ἔσχηκέ ναι ipſe corrigat in ἔσχηκεν.

6 Vulgo poſt h. v. καὶ datur. Delendum id cenſui.

XL. „Τίς Εὔνοστος [1] ἥρως ἐν Τανάγρᾳ; καὶ διὰ τίνα αἰτίαν τὸ ἄλσος αὐτοῦ γυναιξὶν ἀνέμβατόν ἐστιν;“ Ἐλιέως τοῦ Κηφισσοῦ καὶ Σκιάδος Εὔνοστος ἦν υἱὸς, ᾧ φασιν ὑπὸ νύμφης Εὐνόστας ἐκτραφέντι τοῦτο γενέσθαι τοὔνομα. καλὸς δὲ ὢν καὶ δίκαιος, οὐχ ἧττον ἦν σώφρων καὶ αὐστηρός· ἐρασθῆναι δὲ αὐτοῦ λέγουσιν Ὄχναν, μίαν τῶν Κολωνοῦ θυγατέρων ἀνεψιὰν οὖσαν. ἐπεὶ δὲ πειρῶσαν ὁ Εὔνοστος ἀπετρέψατο, καὶ λοιδορήσας ἀπῆλθεν εἰς τοὺς ἀδελφοὺς κατηγορήσων, ἔφθασεν ἡ παρθένος τοῦτο πράξασα κατ' ἐκείνου, καὶ παρώξυνε τοὺς ἀδελφοὺς Ὄχεμον [2] καὶ Λέοντα καὶ Βουκόλον, ἀποκτεῖναι Εὔνοστον, ὡς πρὸς βίαν αὐτῇ συγγεγενημένον. ἐκεῖνοι μὲν οὖν ἐνεδρεύσαντες ἀπέκτειναν τὸν νεανίσκον. ὁ δ' Ἐλιεὺς ἐκείνους ἔδησεν· ἡ δ' Ὄχνη μεταμελομένη καὶ γέμουσα ταραχῆς, ἅμα μὲν αὐτὴν ἀπαλλάξαι θέλουσα τῆς διὰ τὸν ἔρωτα λύπης, ἅμα δ' οἰκτείρουσα τοὺς ἀδελφοὺς, ἐξήγγειλε πρὸς τὸν Ἐλιέα πᾶσαν τὴν ἀλήθειαν, ἐκεῖνος δὲ Κολωνῷ. Κολωνοῦ δὲ δικάσαντος, οἱ μὲν ἀδελφοὶ τῆς Ὄχνης ἔφυγον, αὐτὴ [3] δὲ κατεκρήμνισεν ἑαυτὴν, ὡς Μυρτὶς ἡ Ἀνθηδονία ποιήτρια μελῶν ἱστόρηκε. τοῦ δὲ Εὐνόστου τὸ ἡρῷον καὶ τὸ ἄλσος οὕτως ἀνέμβατον ἐτηρεῖτο [4] καὶ ἀπροσπέλαστον γυναιξὶν, ὥστε πολλάκις, σεισμῶν, ἢ αὐχμῶν, ἢ διοσημειῶν ἄλλων γενομένων, ἀναζητεῖν καὶ πολυπραγμονεῖν ἐπιμελῶς τοὺς Ταναγραίους, μὴ λέληθε γυνὴ τῷ τόπῳ πλησιάσασα, καὶ λέγειν ἐνίους (ὧν ὁ Κλείδαμος ἦν, ἀνὴρ ἐπιφανὴς) ἀπηντηκέναι αὐτοῖς τὸν Εὔνοστον ἐπὶ θάλατταν βαδίζοντα λουσόμενον, ὡς γυναικὸς ἐμβεβη-

1 Petav. τίς ὁ Εὔν. Idem mox Κηφισοῦ.

2 Petav. Ἔχεμον; & deinde τὸν Εὔνοστον. Prius quoque dat Voff.

3 Petav. αὕτη. Sic quoque Ald. & Baf.

4 Dedi fic e Xyl. mente, fenfu flagitante, & W. probante. Vulgo ἐτήρει. Forte quis mavult fubintelligi τὸ ἔθος five ὁ νόμος, retenta vulgata.

βεβηκυίας εἰς τὸ τέμενος. ἀναφέρει δὲ [1] καὶ Διοκλῆς ἐν τῷ περὶ ἡρώων συντάγματι δόγμα Ταναγραίων, περὶ ὧν ὁ Κλείδαμος ἀπήγγειλεν.

XLI. „Πόθεν ἐν τῇ Βοιωτίᾳ περὶ τὸν Ἐλέωνα ποταμὸς Σκάμανδρος ὠνομάσθη;“ Δήϊμαχος, ὁ Ἐλέωνος υἱὸς, ἑταῖρος ὢν Ἡρακλέους, μετέσχε τῆς ἐπὶ Τροίαν [2] στρατείας· τοῦ δὲ πολέμου μῆκος (ὡς ἔοικε) λαμβάνοντος, ἐρασθεῖσαν αὐτοῦ Γλαυκίαν τὴν Σκαμάνδρου θυγατέρα προσδεξάμενος, ἔγκυον ἐποίησεν, εἶτ' αὐτὸς μὲν ἔπεσε μαχόμενος τοῖς Τρωσίν· ἡ δὲ Γλαυκία φοβουμένη κατάφωρος γενέσθαι, τῷ Ἡρακλεῖ κατέφυγε [3], καὶ κατεῖπεν αὐτῆς τὸν ἔρωτα, καὶ τὴν γενομένην πρὸς τὸν Δήϊμαχον ὁμιλίαν. ὁ δὲ ἅμα μὲν οἴκτῳ τῆς γυναικὸς, ἅμα δὲ χαίρων τῷ ὑπολείπεσθαι γένος ἀνδρὸς ἀγαθοῦ καὶ συνήθους, ἀνέλαβε τὴν Γλαυκίαν εἰς τὰς ναῦς, καὶ τεκοῦσαν υἱὸν ἀγαγὼν [4] ἐν τῇ Βοιωτίᾳ, ἀπέδωκε τῷ Ἐλέωνι καὶ τὸ παιδίον καὶ αὐτήν. ὠνομάσθη δ' ὁ παῖς Σκάμανδρος, καὶ τῆς χώρας ἐβασίλευσε. καὶ τὸν μὲν Ἴναχον ποταμὸν ἀπ' αὐτοῦ Σκάμανδρον, τὸ δὲ πλησίον ῥεῦμα, Γλαυκίαν ἀπὸ τῆς μητρὸς ὠνόμασεν· Ἀκίδουσαν δὲ τὴν κρήνην ἀπὸ τῆς ἑαυτοῦ γυναικὸς, ἐξ ἧς ἔσχε τρεῖς θυγατέρας, ἃς τιμῶσιν ἄχρι νῦν, παρθένους προσαγορεύοντες.

XLII. „Ἀπὸ τίνος ἐῤῥέθη τὸ παροιμιῶδες· Αὕτα κυρία;“ Δίνων ὁ Ταραντῖνος, στρατηγῶν, ἀνὴρ δ' ὢν ἀγαθὸς ἐν τοῖς πολεμικοῖς, ἀποχειροτονησάντων αὐτοῦ τινὰ

1 abest δὲ a Petav.

2 Sic e Petav. recepi, quod & W. dedit ex E. H. Voss. Vulgo Τροίας. Cf. Quaest. XLIV.

3 Haud dubie legendum est προσέφυγε, quod W. quoque conjicit, cum, quod ego quidem sciam, non dici soleat καταφεύγειν τινί.

4 W. susp. ἀνάγων. Petav. τεκοῦσα υἱὸν ἀγαγοῦσα, & mox τῷ Ἐλεῶνι; item τὸν μὲν Ἴαχον, & ἐξ οὗ pro ἐξ ἧς.

τινὰ γνώμην τῶν πολιτῶν, ὡς ὁ κήρυξ ἀνεῖπε τὴν νικῶσαν, αὐτὸς ἀνατείνας τὴν δεξιάν· Ἅδε (εἶπε) κρείσσων· ἔτω γὰρ ὁ Θεόφραςος ἱςόρηκε. προσιςόρηκε δὲ καὶ ὁ Ἀπολλόδωρος ἐν Ῥυτίνῳ, τῦ κήρυκος, αὗται πλείες, εἰπόντος· Ἀλλ᾽ αὗται φᾶναι βελτίες, καὶ ἐπικυρῶσαι τὴν τῶν ἐλαττόνων χειροτονίαν.

XLIII. „Πόθεν ἡ τῶν Ἰθακησίων [1] πόλις Ἀλαλκομεναὶ προσηγορεύθη;" διὰ τὸ τὴν Ἀντίκλειαν ὑπὸ Σισύφυ βιαθεῖσαν ἐν τῇ παρθενείᾳ [2] τὸν Ὀδυσσέα συλλαβεῖν, ὑπὸ πλειόνων δ᾽ ἐςὶν [3] εἰρημένον. Ἴςρος δὲ, ὁ Ἀλεξανδρεὺς, ἐν ὑπομνήμασι προσιςόρηκεν, ὅτι τῷ Λαέρτῃ δοθεῖσα πρὸς γάμον καὶ ἀναγομένη, περὶ τὸ Ἀλαλκομένειον, ἐν τῇ Βοιωτίᾳ τὸν Ὀδυσσέα τέκοι, καὶ διὰ τῦτο ἐκεῖνος ὥσπερ μητροπόλεως [4] ἀναφέρων τὔνομα, τὴν ἐν Ἰθάκῃ πόλιν ἔτω προσαγορεύσειε [5].

XLIV. „Τίνες ἐν Αἰγίνῃ οἱ μονοφάγοι;" τῶν ἐπὶ τὴν Τροίαν ςρατευσάντων Αἰγινητῶν πολλοὶ μὲν ἐν ταῖς μάχαις ἀπώλοντο, πλείονες δὲ κατὰ πλῦν ἀπὸ [6] τῦ χειμῶνος. ὀλίγυς ἦν τὺς περιλειπομένυς οἱ προσήκοντες ὑποδεξάμενοι, τὺς δ᾽ ἄλλυς πολίτας ὁρῶντες ἐν πέι-

1 Petav. τῶν Θακησίων?

2 Sic fcriptam reftitui hanc vocem ex Ald. Baf. Steph. cum W. pro παρθενίᾳ in Frft. & R.

3 Pro δὲ ponendum videtur μὲν.

4 Ald. Baf. Petav. nec non Xyl. H. Voff. Venet. habent μεσοπόλεως. Quid fit μεσόπολις, quaerit Xyl. Stephano debetur lectio vulgata. Denotat urbem, e qua coloniae deducebantur, quo fenfu commode ad rem ipfam, in quaeftione propofitam, applicatur. Cod. E. notante W. habet hujus vocis loco lacunam.

5 Vulgo ἔτω φησὶ προσαγορεύεσθαι. Corruptum hoc effe, nemo non videt & Xyl. monuit. Hinc dedi προσαγορεύσειε, cum praemittatur optativus τέκοι, & φησὶ delevi, quod facile irrepere potuit librarii opera, alteram vocem femel forte corruptam invenientis, & fententiam ad Iftrum male referentis. W. quoque fufp. legendum προσηγόρευσε, deleto φησί.

6 W. fufp. ὑπό.

πένθεσι καὶ λύπαις ὄντας, ὔτε χαίρειν ᾤοντο δεῖν φανερῶς, ὔτε θύειν τοῖς θεοῖς· ἀλλὰ κρύφα καὶ κατ᾽ οἰκίαν ἕκαστοι τὰς σεσωσμένας ἀνελάμβανον ἑστιάσεσι καὶ φιλοφροσύναις, αὐτοὶ διακονούμενοι πατράσι καὶ συγγενέσι καὶ ἀδελφοῖς καὶ οἰκείοις, ἀλλοτρίου μηδενὸς παρεισιόντος. ταῦτ᾽ οὖν ἀπομιμούμενοι, τῷ Ποσειδῶνι θυσίαν ἄγουσι τοὺς καλουμένους θιάσους, ἐν ᾗ καθ αὐτοὺς ἐφ᾽ ἡμέρας ἑκκαίδεκα μετὰ σιωπῆς ἑστιῶνται, δοῦλος δ᾽ οὐ πάρεστιν. εἶτα ποιήσαντες Ἀφροδίσια, διαλύουσι τὴν ἑορτήν· ἐκ δὲ τούτου μονοφάγοι καλοῦνται.

XLV. „Διὰ τί τοῦ Λαβραδέως Διὸς ἐν Καρίᾳ τὸ ἄγαλμα πέλεκυν ἠρμένον, οὐχὶ δὲ σκῆπτρον ἢ κεραυνὸν πεποίηται;“ ὅτι Ἡρακλῆς Ἱππολύτην ἀποκτείνας, καὶ μετὰ τῶν ἄλλων ὅπλων αὐτῆς λαβὼν τὸν πέλεκυν, Ὀμφάλῃ δῶρον δέδωκεν. οἱ δὲ μετ᾽ Ὀμφάλην Λυδῶν βασιλεῖς ἐφόρουν αὐτὸν, ὥς τι [1] τῶν ἄλλων ἱερῶν ἐκ διαδοχῆς παραλαμβάνοντες· ἄχρι Κανδαύλης ἀπαξιώσας, ἑνὶ τῶν ἑταίρων φορεῖν ἔδωκεν. ἐπεὶ δὲ Γύγης ἀποστὰς ἐπολέμει πρὸς αὐτὸν, ἦλθεν Ἄρσηλις ἐκ Μυλέων [2] ἐπίκουρος τῷ Γύγῃ μετὰ δυνάμεως, καὶ τόν τε Κανδαύλην καὶ τὸν ἑταῖρον αὐτοῦ διαφθείρει· καὶ τὸν πέλεκυν εἰς Καρίαν ἐκόμισε μετὰ τῶν ἄλλων λαφύρων. καὶ Διὸς ἄγαλμα κατασκευάσας, τον πέλεκυν ἐνεχείρισε [3], καὶ Λαβραδέα τὸν θεὸν προσηγόρευσε· Λυδοὶ γὰρ λάβρυν τὸν πέλεκυν ὀνομάζουσι.

XLVI. „Διὰ τί Τραλλιανοὶ καθαρτῆρα καλοῦσι τὸν ὄροβον, καὶ χρῶνται μάλιστα πρὸς τὰς ἀφοσιώσεις καὶ τοὺς καθαρμούς;“ ἢ ὅτι Λέλεγες καὶ Μινύαι τοπαλαιὸν ἐξελάσαντες αὐτοὺς, τὴν πόλιν καὶ τὴν χώραν κατεῖχον,

 ὕστε-

1 Petav. ὅτι. Idem in seq. Κανδάλης.

2 Xyl legit Μυλασσέων.

3 Sic a R fuit datum, quod W. ex E. & Voff. recepit. Vulgo ἐγχείρισε. Petav. ἐνεχείρησε. Id. deinde λαβραδέως τὸν θεόν.

ὕϛερον δὲ οἱ Τραλλιανοὶ κατελθόντες καὶ κρατήσαντες, ὅσοι τῶν Λελέγων ἐ διεφθάρησαν, ἐδ' ἔφυγον, ἀλλὰ δι' ἀμηχανίαν [1] βίᴕ καὶ ἀθένειαν ὑπελείφθησαν αὐτόθι, τέτων ἐδένα λόγον ἔχοντες ἔτε ζώντων, ἔτ' ἀπολλυμένων, νόμον ἔθεντο, τὸν κτείναντα Μινύην, ἢ Λελέγην Τραλλιανὸν, καθαρὸν εἶναι, μέδιμνον ὀρόβων ἀπομετρήσαντα τοῖς οἰκείοις τᴕ̃ φονευθέντος.

XLVII. „Διὰ τί παρὰ τοῖς Ἠλείοις παροιμιῶδές ἐϛι τὸ, δεινότερα Σαμβίκᴕ παθεῖν;“ λέγεταί τινα Σάμβικον Ἠλεῖον ἔχοντα πολλὲς ὑφ' ἑαυτῷ συνεργὲς, πολλὰ περικόψαι τῶν ἐν Ὀλυμπίᾳ χαλκῶν ἀναθημάτων καὶ ἀποδόσθαι, τέλος δὲ συλῆσαι τὸ τῆς ἐπισκόπᴕ Ἀρτέμιδος ἱερόν. (τᴕ̃το δ' ἐϛὶ μὲν ἐν Ἤλιδι, καλεῖται δ' Ἀριϛάρχειον) εὐθὺς ἐν μετὰ ταύτην τὴν ἱεροσυλίαν ἁλόντα βασανίζεσθαι δι' ἐνιαυτᴕ̃, περὶ ἑκάϛᴕ τῶν κεκοινωνηκότων ἀνακρινόμενον, καὶ ἔτως ἀποθανεῖν, καὶ τὴν παροιμίαν ἐπὶ τοῖς ἐκείνᴕ πάθεσι γενέσθαι.

XLVIII. „Διὰ τί ἐν Λακεδαίμονι παρὰ τὸ τῶν Λευκιππίδων [2] ἱερὸν ἵδρυται τᴕ̃ Ὀδυσσέως ἡρῷον;“ Ἐργίαιος, εἷς τῶν Διομήδᴕς ἀπογόνων, ὑπὸ Τημενᴕ̃ πεισθεὶς ἐξέκλεψε τὸ παλλάδιον ἐξ Ἄργᴕς, συνειδότος Λεάγρᴕ, καὶ συνεκκλέπτοντος· (ἦν δ' ἔτος εἷς τῶν Τημενᴕ̃ συνήθων) ὕϛερον δὲ τῷ Τημενῷ γενόμενος δι' ὀργῆς ὁ Λέαγρος εἰς Λακεδαίμονα μετέϛη τὸ παλλάδιον κομίζων. οἱ δὲ βασιλεῖς δεξάμενοι προθύμως, ἱδρύσαντο πλησίον τᴕ̃ τῶν Λευκιππίδων ἱερᴕ̃, καὶ πέμψαντες εἰς Δελφὲς διεμαντεύοντο περὶ σωτηρίας αὐτᴕ̃ καὶ φυλακῆς. ἀνελόντος δὲ τᴕ̃ θεᴕ̃, ἕνα τῶν ὑφελομένων τὸ παλλάδιον φύλακα ποιεῖσθαι, κατεσκεύασαν αὐτόθι τᴕ̃ Ὀδυσσέως τὸ ἡρῷον, ἄλλως τε καὶ προσήκειν τῇ πόλει [3] τὸν ἥρωα διὰ τὸν τῆς Πηνελόπης γάμον ὑπολαβόντες.

XLIX.

1 Petav. διὰ μηχανίαν; mox Λελέγων Τρ. & ὀρόβως.
2 Sic dicebantur Apollinis filiae, Hilaria & Phoebe.
3 Petav. προσήκειν τὴν πόλιν.

XLIX. „Διὰ τί ταῖς Χαλκηδονίαις ἔθος ἐςὶν, ὅταν ἀνδράσιν ἀλλοτρίοις ἐντύχωσι, μάλιςα δ' ἄρχουσι, τὴν ἑτέραν παρακαλύπτεσθαι [1] παρειάν;“ πόλεμος ἦν αὐτοῖς πρὸς Βιθυνοὺς ἐκ πάσης παροξυνομένοις προφάσεως· Ζειποίτου δὲ βασιλεύσαντος αὐτῶν πανςρατιᾷ, καὶ Θρᾳκῶν ἐπικουρίας προσγενομένης, ἐπυρπόλουν καὶ κατέτρεχον τὴν χώραν [2]. ἐπιθεμένου δὲ τοῦ Ζειποίτου περὶ τὸ καλούμενον Φάλιον αὐτοῖς, κακῶς ἀγωνισάμενοι διὰ θράσος καὶ ἀταξίαν, ὑπὲρ ὀκτακιςιλίους ἀπέβαλον ςρατιώτας· καὶ παντελῶς μὲν οὐκ ἀνῃρέθησαν τότε, Ζειποίτου Βυζαντίοις χαρισαμένου τὰς διαλύσεις. πολλῆς δὲ τὴν πόλιν ἐρημίας ἀνδρῶν κατεχούσης, αἱ μὲν πλεῖςαι γυναῖκες ὑπ' ἀνάγκης ἀπελευθέροις καὶ μετοίκοις συνῴκησαν· αἱ δ' ἀνανδρίαν ἀντὶ τοιούτων ἑλόμεναι γάμων, αὗται δι' αὐτῶν ἔπραττον, ὅτου δεηθεῖεν παρὰ δικαςαῖς καὶ ἄρχουσιν, ἀπάγουσαι θάτερον μέρος τοῦ προσώπου τῆς καλύπτρας. αἱ δὲ γεγραμμέναι δι' αἰσχύνην ἀναμιμούμεναι ταύτας ὡς ἑαυτῶν βελτίονας, εἰς ἔθος ὅμοιον κατέςησαν.

L. „Διὰ τί πρὸς τὸ τοῦ Ἀγήνορος τέμενος τὰς ὄϊς προσελαύνοντες οἱ Ἀργεῖοι βιβάζουσιν [3];“ ἢ ὅτι κάλλιςα προβάτων ὁ Ἀγήνωρ ἐπεμελήθη, καὶ πλεῖςα ποίμνια τῶν βασιλέων ἐκτήσατο;

LI. „Διὰ τί Βαλλαχράδας ἑαυτοὺς Ἀργείων παῖδες ἐν ἑορτῇ τινι παίζοντες ἀποκαλοῦσιν;“ ἢ ὅτι τοὺς πρώ-



1 Petav. περικαλύπτεσθαι; mox παροξυνομένης.

2 Xyl. ita de hoc loco: „Profecto satis foedata videtur 49 quaestio. Ego Zeipoetum istum Bithynorum accipio regem, & Thraces puto Chalcedoniis auxilio fuisse. Res esto exposita omnium judicio.“ Satis bene ordinem verborum sic struendum suspicatur W. Ζειποίτου δὲ βασιλεύσαντος, καὶ Θρᾳκῶν αὐτοῖς ἐπικουρίας προσγενομένης, πανςρατιᾷ ἐπυρπόλουν καὶ κατέτρεχον τὴν χώραν.

3 Petav. βιάζουσιν; Idem omittit ὁ ante Ἀγήν.

πρῶτες ὑπὸ Ἰνάχε καταχθέντας ἐκ τῶν ἀγρῶν [1] εἰς τὰ πεδία ἀχράσι διατραφῆναι λέγεσιν; ἀχράδας δὲ πρῶτον ἐν Πελοποννήσῳ φανῆναι τοῖς Ἕλλησιν, ἔτι τῆς χώρας ἐκείνης Ἀπίας προσαγορευομένης. ὅθεν ἄπιοι [2] ἀχράδες μετωνομάσθησαν [3].

LII. „Τίς αἰτία, δι' ἣν Ἠλεῖοι τὰς ἐνόδας [4] ἵππες ἐκτὸς ὅρων ἀπάγοντες βιβάζεσιν;" ἢ ὅτι παντων τῶν βασιλέων φιλιππότατος ὁ Οἰνόμαος, καὶ μάλιστα τὸ ζῶον ἀγαπήσας τἕτ', ἐπηράσατο πολλὰ καὶ δεινὰ κατὰ τῶν ἵππων ὀχευόντων ἐν Ἤλιδι, καὶ φοβέμενοι τὴν κατάραν ἐκείνην ἀφοσιἕνται;

LIII. „Διὰ τί παρὰ Κνωσσίοις ἔθος ἦν ἀρπάζειν τοῖς δανειζομένοις τὸ ἀργύριον [5];" ἢ ὅπως ἀποστερἕντες, ἔνοχοι τοῖς βιαίοις ὦσι, καὶ μᾶλλον κολάζωνται;

LIV. „Τίς αἰτία [6], δι' ἣν ἐν Σάμῳ τὴν Δεξικρέοντος Ἀφροδίτην καλἕσι;" πότερον ὅτι τὰς γυναῖκας αὐτῶν, ὑπὸ τρυφῆς καὶ ὕβρεως ἀκόλαστα ποιέσας, Δεξικρέων ἀνὴρ ἀγύρτης καθαρμῷ χρησάμενος, ἀπήλλαξεν; ἢ ὅτι ναύκληρος ὢν ὁ Δεξικρέων ἔπλευσεν εἰς Κύπρον ἐπ' ἐμπορίᾳ, καὶ μέλλοντα γεμίζειν τὴν ναῦν Ἀφροδίτη ἐκέλευσεν [7] ὕδωρ ἐμβαλλόμενον, καὶ μηδὲν ἄλλο πλεῖν τὴν

1 Kaltw. bene conjecit & vertit ὀρῶν pro ἀγρῶν. Idem susp. W.

2 Post hanc vocem W. ex Petav. & E. dedit articulum οἱ. Dubito equidem, num ἀχρὰς in gen. masc. dicatur.

3 E. ἐπωνομάσθησαν, quod W. pro vulg. reponendum suspicatur. Cf. quae Perizon. de hoc loco habet ad Aelian. V. H. III, 39.

4 Quid ἐνόδας sibi velit, Xyl. se non cernere fatetur. W. susp. οἰώδεις ex re & argumento apud Herodot. IV. 30. ubi P. Wesseling. hic tentat corrigere ἐνθόρες. Mox eidem ἵππων ὀχευόντων mutandum videtur in ἵππες ὄνοις ὀχευόντων. Petav. deinde ἐπαράσατο pro ἐπηρ.

5 Petav. τὸ ἄργυρον; & mox κολάζονται.

6 Petav. τίς ἡ αἰτία.

7 Dedi sic e W. conjectura. Vulgo γεμίζειν, τὴν Ἀφροδίτην κελεύειν.

τὴν ταχίϛην· πειϑεὶς δὲ καὶ πολὺ ὕδωρ ἐνϑέμενος ἐξέπλευσεν [1], εἶτα νηνεμίας καὶ γαλήνης ἐν τῷ πελάγει καταςχέσης, διψῶσι τοῖς ἄλλοις ἐμπόροις καὶ ναυκλήροις ὕδωρ πιπράσκων, ἀργύριον πολὺ συνήϑροισεν. ἐκ δὲ τούτου κατασκευάσας τὴν ϑεὸν, ἀφ' ἑαυτοῦ προσηγόρευσεν. εἰ δὴ τοῦτο ἀληϑές ἐϛι, φαίνεται οὐχ ἕνα πλουτίσαι, πολλοὺς δὲ σῶσαι δι' ἑνὸς ἡ ϑεὸς ϑελήσασα.

LV. „Διὰ τί τοῖς Σαμίοις, ὅταν τῷ Ἑρμῇ τῷ χαριδότῃ [2] ϑύωσι, κλέπτειν ἐφεῖται τῷ βουλομένῳ καὶ λωποδυτεῖν;“ ὅτι κατὰ χρησμὸν ἐκ τῆς νήσου μεταςάντες εἰς Μυκάλην ἀπὸ λῃςείας δέκα ἔτη διεγένοντο· καὶ μετὰ ταῦτα πλεύσαντες αὖϑις εἰς τὴν νῆσον, ἐκράτησαν τῶν πολεμίων οἱ Σάμιοι.

LVI. „Ἀπὸ τίνος Πάναιμα τόπος ἐν τῇ Σάμῳ νήσῳ καλεῖται;“ ἢ ὅτι φεύγουσαι Διόνυσον [3] αἱ Ἀμαζόνες ἐκ τῆς Ἐφεσίων χώρας εἰς Σάμον διέπεσον, ὁ δὲ ποιησάμενος πλοῖα, καὶ διαβὰς, μάχην συνῆψε καὶ πολλὰς αὐτῶν ἀπέκτεινε περὶ τὸν τόπον τοῦτον, ὃν διὰ τὸ πλῆϑος τοῦ ῥυέντος αἵματος, οἱ ϑεώμενοι Πάναιμα ϑαυμάζοντες ἐκάλουν. τῶν δὲ φονευϑέντων [4] ἀποϑανεῖν τινὲς λέγονται περὶ τὸ Φλοιὸν, καὶ τὰ ὀςᾶ δείκνυται αὐτῶν. τινὲς δὲ λέγουσι καὶ τὸ Φλοιὸν ἐπ' ἐκείνων ῥαγῆναι, φϑεγγομένων μέγα τι καὶ διάτορον.

LVII. „Ἀπὸ ποίας αἰτίας ὁ Ἀνδρὼν ἐν Σάμῳ



πεδή-

1 Petav. ἐξέκλυσεν.

2 Hoc nomen Kaltw. idem valere censet, quod Κερδῷος, der Geschenke oder Gewinn ertheilt.

3 Sic omnino dandum fuit pro vulg. Διονύσιον. W. idem probavit.

4 Ald. Bas. φάντων. Est idem in ind. Var. e cod. innominato. W. teste, omnes libri consentiunt; in E. est φ . . . sequente lacuna. E Steph. prodiit φονευϑέντων. Petav. λέγονται, καὶ περὶ τὸν Φλοιὸν ἐπ' ἐκείνων ῥαγῆναι φϑεγγομένων μέ τι καὶ διάτορον Turn. & Bong. τὰ ὀςᾶ δείκνυϑαι. Codices variare, & nexum orationis impeditum esse, monet W.

πεδήτης καλεῖται;" τῶν Γεωμόρων ἐχόντων τὴν πολιτείαν μετὰ τὴν Δημοτέλους σφαγὴν καὶ τὴν κατάλυσιν τῆς ἐκείνου μοναρχίας, οἱ Μεγαρεῖς Περινθίοις ἐπεστράτευσαν ἀποίκοις οὖσι Σαμίων, πέδας κομίζοντες (ὡς λέγεται) ἐπὶ τοὺς αἰχμαλώτους. ταῦτα δὲ οἱ Γεωμόροι πυνθανόμενοι, βοήθειαν ἔπεμπον κατὰ τάχος, στρατηγοὺς μὲν ἀποδείξαντες ἐννέα, ναῦς δὲ πληρώσαντες τριάκοντα. τούτων ἐκπλέουσαι δύω πρὸ τοῦ λιμένος ὑπὸ κεραυνοῦ διεφθάρησαν. οἱ δὲ στρατηγοὶ ταῖς ἄλλαις πλεύσαντες ἐνίκων τοὺς Μεγαρέας, καὶ ζῶντας αὐτῶν ἔλαβον ἑξακοσίους. ἐπαρθέντες δὲ τῇ νίκῃ, διενοοῦντο καταλύειν τὴν οἴκοι Γεωμόρων ὀλιγαρχίαν. ἀφορμὴν δὲ παρέσχον οἱ προεστῶτες τῆς πολιτείας, γράψαντες αὐτοῖς, ὅπως τοὺς αἰχμαλώτους τῶν Μεγαρέων κομίσωσι ταῖς αὐτῶν ἐκείνων πέδαις δεδεμένους. λαβόντες οὖν τὰ γράμματα ταῦτα, καὶ δείξαντες κρύφα τοῖς [1] τῶν Μεγαρέων, ἔπεισαν αὐτοὺς συστῆναι μεθ' αὐτῶν, καὶ τὴν πόλιν ἐλευθερῶσαι· βουλευομένοις [2] δὲ κοινῇ περὶ τῆς πράξεως, ἔδοξε τῶν πεδῶν τοὺς κρίκους διακροτῆσαι, καὶ περιθέντας οὕτως τοῖς σκέλεσι τῶν Μεγαρέων, ἀναλαβεῖν πρὸς τὰς ζώνας ἱμᾶσιν, ὅπως μὴ περιῤῥέωσι, μηδ' ἐκβαίνωσιν, αὐτῶν ἐν τῷ βαδίζειν χαλαρῶν γενομένων. οὕτω δὲ τοὺς ἄνδρας ἐνσκευάσαντες, καὶ ξίφος ἑκάστῳ δόντες, ἐπεὶ κατέπλευσαν εἰς Σάμον καὶ ἀπέβησαν, ἦγον αὐτοὺς δι' ἀγορᾶς εἰς τὸ βουλευτήριον, ὁμοῦ τι πάντων τῶν Γεωμόρων συγκαθεζομένων. εἶτα σημείου δοθέντος, οἱ Μεγαρεῖς προσπεσόντες, ἔκτεινον τοὺς ἄνδρας. οὕτω δὲ τῆς πόλεως ἐλευθερωθείσης, τούς τε βουλομένους τῶν Μεγαρέων πολίτας ἐποιήσαντο, καὶ κατασκευάσαντες οἶκον εὐμεγέθη, τὰς πέδας ἀνέθηκαν, καὶ ἀπὸ τούτου πεδήτης ὁ οἶκος ὠνομάσθη.

LVIII.

1 W. quaerit, an legendum τισὶ pro τοῖς, an ex antecedentibus subaudiendum προεστῶσι?

2 Petav. βουλομένοις; mox τῶν παίδων pro τῶν πεδῶν, uti infra τοὺς παῖδας.

LVIII. „Διὰ τί παρὰ Κώοις ὁ τῦ Ἡρακλέυς ἱερεὺς ἐν Ἀντιμαχίᾳ γυναικείαν ἐνδεδυμένος ἐσθῆτα, καὶ τὴν κεφαλὴν ἀναδέμενος μίτρᾳ κατάρχεται τῆς θυσίας;“ Ἡρακλῆς ταῖς ἓξ ναυσὶν ἀπὸ Τροίας ἀναχθεὶς ἐχειμάσθη, καὶ τῶν νεῶν διαφθαρεισῶν, μιᾷ μόνῃ πρὸς τὴν Κῶν ὑπὸ τῦ πνεύματος ἐλαυνόμενος, ἐξέπεσε κατὰ τὸν Λακητῆρα καλέμενον [1], ἐδὲν ἄλλο περισώσας, ἢ τὰ ὅπλα καὶ τὲς ἄνδρας. ἐντυχὼν δὲ προβάτοις, ᾔτει κριὸν ἕνα παρὰ τῦ νέμοντος· ὁ δ' ἄνθρωπος ἐκαλεῖτο μὲν Ἀνταγόρας· ἀκμάζων δὲ τῇ ῥώμῃ τῦ σώματος, ἐκέλευσεν αὐτῷ διαπαλαῖσαι τὸν Ἡρακλέα· κἂν [2] καταβάλῃ, τὸν κριὸν φέρεσθαι· καὶ συμπεσόντος αὐτῷ τῦ Ἡρακλέυς ἐς χεῖρας, οἱ Μέροπες τῷ Ἀνταγόρᾳ παραβοηθῦντες, οἱ δὲ Ἕλληνες τῷ Ἡρακλεῖ, μάχην καρτερὰν συνῆψαν. ἐν ᾗ λέγεται τῷ πλήθει καταπονέμενος ὁ Ἡρακλῆς καταφυγεῖν πρὸς γυναῖκα Θρᾷτταν, καὶ διαλαθεῖν ἐσθῆτι γυναικείᾳ κατακρύψας ἑαυτόν. ἐπεὶ δὲ τῶν [3] Μερόπων αὖθις κρατήσας καὶ καθαρθεὶς, ἐγάμει τὴν Ἀλκιόπυ, ἀνέλαβε ςολὴν ἀνθίνην. διὸ θύει μὲν ὁ ἱερεὺς, ὅπυ τὴν μάχην συνέβη γενέσθαι, τὰς δὲ νύμφας οἱ γαμῦντες δεξιῦνται γυναικείαν ςολὴν περιθέμενοι.

LIX. „Πόθεν ἐν Μεγάροις γένος ἁμαξοκυλιςῶν;“ ἐπὶ τῆς ἀκολάσυ δημοκρατίας [4], (ἣ καὶ τὴν παλιντοκίαν ἐποίησε καὶ τὴν ἱεροσυλίαν) ἐπορεύετο θεωρία Πελοποννησίων εἰς Δελφὺς διὰ τῆς Μεγαρικῆς, καὶ κατηυλίσθησαν [5] ἐν Αἰγείροις παρὰ τὴν λίμνην μετὰ παί-

 δων

1 Petav. Δαμητῆρα κακέμενον.

2 Petav. διαπλάσαι τὸν Ἡρ. ἂν καταβ. Idem altera lectione καταλάβῃ pro καταβ. Mox id. αὐτῦ pro αὐτῷ; Θρᾷκαν pro Θρᾷτταν.

3 a Petav. abest τῶν.

4 Cf. Quaest. XVIII.

5 Haud dubie reponendum fuit, quod W. conjecit, pro vulg. κατεκυλίσθησαν. Xyl. vertit *pernoctarent*.

δων καὶ γυναικῶν, ὡς ἔτυχεν, ἐν ταῖς ἁμάξαις. τῶν δὲ Μεγαρέων οἱ θρασύτατοι μεθυσθέντες, ὕβρει καὶ ὠμότητι τὰς ἁμάξας ἀνακυλίσαντες, εἰς τὴν λίμνην ἐνεώσαντο, ὥστε πολλὰς ἀποπνιγῆναι τῶν θεωρῶν. οἱ μὲν οὖν Μεγαρεῖς δι' ἀταξίαν τῆς πολιτείας, ἠμέλησαν τοῦ [1] ἀδικήματος· οἱ δ' Ἀμφικτύονες, ἱερᾶς τῆς θεωρίας οὔσης, ἐπιστραφέντες, τοὺς μὲν φυγῇ, τοὺς δὲ θανάτῳ τῶν ἐναγῶν ἐζημίωσαν. οἱ δ' ἀπὸ τοῦ γένους, Ἁμαξοκυλισταὶ προσηγορεύθησαν.

1 abest τοῦ a Petav.

ΠΛΟΥ-

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΠΕΡΙ
## ΠΑΡΑΛΛΗΛΩΝ ῾ΕΛΛΗΝΙΚΩΝ
## ΚΑΙ
## ῾ΡΩΜΑΙΚΩΝ [1].

Τὰς ἀρχαίας ἱςορίας, διὰ τὰ παράδοξα τῆς πράξεως, οἱ πλεῖςοι νομίζουσι πλάσματα καὶ μύθους τυγχάνειν· εὑρὼν δ᾽ ἐγὼ καὶ ἐν τοῖς νῦν χρόνοις γεγονότα ὅμοια τὰ ἐν τοῖς ῾Ρωμαϊκοῖς καιροῖς συμβεβηκότα, ἐξελεξάμην [2], καὶ ἑκάςῳ πράγματι ἀρχαίῳ νεωτέραν ὁμοίαν διήγησιν ὑπέταξα, ἀναγράψας καὶ τοὺς ἱςορήσαντας ἄνδρας.

I. ΔΑΤΙΣ, ὁ Περσῶν σατράπης, μετὰ τριάκοντα μυριάδων εἰς Μαραθῶνα παραγενόμενος πεδίον τῆς Ἀττικῆς, καὶ ςρατοπεδευσάμενος, πόλεμον τοῖς ἐγχωρίοις κατήγγειλεν· Ἀθηναῖοι δὲ τοῦ βαρβαρικοῦ πλήθους καταφρονήσαντες, ἐννακισχιλίους ἔπεμψαν, ςρατηγοὺς ποιήσαντες, Κυναίγειρον, Πολύζηλον, Καλλίμαχον, Μιλτιάδην. συμβληθείσης δὲ τῆς παρατάξεως, Πολύζηλος μὲν ὑπὲρ ἄνθρωπον φαντασίαν θεασάμενος, τὴν ὅρασιν ἀπέβαλε, καὶ τυφλὸς ἐγένετο· Καλλίμαχος δὲ, πολλοῖς περιπεπαρμένος [3] δόρασι, καὶ νεκρὸς ἐςάθη· Κυναί-

1 Quae W. de hoc libello judicat, haec sunt: „Hic, ut in aliis nonnullis spuriis libellis, nomen Plutarchi reliqui, utpote in codicibus scriptis propagatum: quanquam est hic foetus falsarii & vanissimi & ineptissimi & unius omnium mendacissimi; quippe & historiolas finxit & Auctorum nomina ementitus est.“

2 Petav. ἐξελασάμην.

3 Petav. simplex πεπαρμένος; & deinde Καυνίγειρος pro Κυναίγ. quod nomen Xyl. aliter ab aliis scribi monet.

Κυναίγειρος δὲ, Περσικὴν ἀναγομένην ναῦν καταχὼν, ἐχειροκοπήθη.

ΑΣΔΡΟΥΒΑΣ βασιλεὺς, Σικελίαν καταλαβόμενος, πόλεμον Ῥωμαίοις κατήγγειλε· Μέτελλος δὲ ὑπὸ τῆς συγκλήτε ϛρατηγὸς χειροτονηθεὶς, ἐγκρατὴς ἐγένετο τῆς νίκης ταύτης, ἐν ᾗ Λεύκιος Γλαύκων, εὐγενὴς ἀνὴρ, τὴν Ἀσδρέβα κατέχων ναῦν, ἀμφοτέρας ἀπέβαλε τὰς χεῖρας, καθάπερ ἱϛορεῖ Ἀριϛείδης Μιλήσιος ἐν πρώτῃ Σικελικῶν, παρ' ἕ τὴν ὑπόθεσιν ἔμαθε Διονύσιος [1] ὁ Σικελιώτης.

II. ΞΕΡΞΗΣ μετὰ πεντακοσίων [2] μυριάδων Ἀρτεμισίῳ προσορμίσας, πόλεμον τοῖς ἐγχωρίοις κατήγγειλεν. Ἀθηναῖοι δὲ συγκεχυμένοι, κατάσκοπον ἔπεμψαν Αγησίλαον, τὸν Θεμιϛοκλέες ἀδελφὸν, καίπερ Νεοκλέες, τε πατρὸς αὐτε, κατ' ὄναρ ἑωρακότος ἀμφοτέρας ἀποβεβληκότα τὰς χεῖρας. παραγενόμενος δὲ εἰς τὲς βαρβάρες ἐν ϛχήματι Περσικῷ, Μαρδόνιον ἕνα τῶν σωματοφυλάκων ἀνεῖλεν, ὑπολαμβάνων Ξέρξην εἶναι. συλληφθεὶς δὲ πρὸς τῶν πέριξ, δέσμιος ἤχθη πρὸς τὸν βασιλέα· βεθυτεῖν δὲ τε προειρημένε μέλλοντος ἐπὶ τῷ τε ἡλίε βωμῷ, τὴν δεξιὰν ἐπέθηκε χεῖρα, καὶ ἀϛενάκτως ὑπομείνας τὴν ἀνάγκην τῶν βασάνων, ἠλευθερώθη τῶν δεσμῶν εἰπών· Πάντες μὲν τοιέτοι Ἀθηναῖοι· εἰ δ' ἀπιϛεῖς, καὶ τὴν ἀριϛερὰν ἐπιθήσω. Φοβηθεὶς δὲ ὁ Ξέρξης, φρερεῖσθαι αὐτὸν προσέταξε, καθάπερ ἱϛορεῖ Ἀγαθαρχίδης Σάμιος ἐν δευτέρᾳ [3] τῶν Περσικῶν.

ΠΟΡΣΙΝΑΣ, Τέσκων βασιλεὺς, πέραν ποταμε Θύμ-

1 Xyl. Diodorus Siculus innui videtur, quem quoque ab Interprete latino exprimi, monet Voff. de Hiftoricis Gr. L. III. p. 359.

2 Kaltw. hunc numerum fufpectum habet, legit vertitque πεντήκοντα. Cf. infra IV.

3 Petav. ἐν δευτέρῳ.

Θύμβρεως στρατεύσας ἐπολέμησε Ῥωμαίοις [1], καὶ τὴν ἀπὸ σιτίων φερομένην εὐθηνίαν Ῥωμαίοις μέσην λαβὼν, λιμῷ τοὺς προειρημένους ἔτρυχε [2]. τῆς δὲ συγκλήτου συγκεχυμένης, Μούκιος τῶν ἐπισήμων ἀνὴρ λαβὼν τετρακοσίους ἀπὸ τῶν ὑπάτων ὁμήλικας, ἐν ἰδιωτικῷ σχήματι τὸν ποταμὸν διῆλθεν. ἰδὼν δὲ τὸν σωματοφύλακα τοῦ τυράννου τὰ ἐπιτήδεια διδόντα [3] τοῖς στρατηγοῖς, ὑπολαβὼν αὐτὸν τὸν Πορσίναν εἶναι, ἀνεῖλεν. ἀχθεὶς δ' ἐπὶ τὸν βασιλέα, τοῖς ἐμπύροις ἐπέθηκε τὴν δεξιὰν χεῖρα, καὶ στέξας τὰς ἀλγηδόνας εὐψύχως [4], ἐμειδίασεν, εἰπών· Βάρβαρε, λέλυμαι, κἂν μὴ θέλῃς. καὶ ἴσθι ἡμᾶς κατὰ σοῦ τετρακοσίους ὄντας ἐν τῷ στρατοπέδῳ, οἵ σε ἀνελεῖν ζητοῦμεν. ὁ δὲ φοβηθεὶς, σπονδὰς πρὸς Ῥωμαίους ἐποιήσατο, καθάπερ ἱστορεῖ Ἀριστείδης ὁ Μιλήσιος ἐν τρίτῃ ἱστοριῶν.

III. ΑΡΓΕΙΩΝ καὶ Λακεδαιμονίων ὑπὲρ Θυρεάτιδος χώρας πολεμούντων, οἱ Ἀμφικτύονες ἔκριναν πολεμῆσαι ἑκατέρους, καὶ τῶν νικησάντων εἶναι τὴν χώραν. Λακεδαιμόνιοι μὲν οὖν Ὀθρυάδην ἐποίησαν στρατηγὸν, Ἀργεῖοι δὲ Θέρσανδρον. πολεμούντων δὲ, δύο ἐκ τῶν Ἀργείων περιελείφθησαν, Ἀγήνωρ καὶ Χρόμιος, οἵτινες εἰς τὴν πόλιν ἤγγειλαν τὴν νίκην. ἠρεμίας δ' ὑπαρχούσης, ὁ Ὀθρυάδης ἐπιζήσας καὶ ἡμικλάστοις δόρασιν ἐπερειδόμενος [5], τὰς τῶν νεκρῶν ἁρπάζων ἀσπίδας περιείλετο· καὶ τρόπαιον στήσας, ἐκ τοῦ ἰδίου αἵματος ἐπέγραψε Διῒ τροπαιούχῳ. καὶ τῶν δύο στάσιν ἐχόντων, οἱ Ἀμφικτύονες αὐτόπται γενόμενοι Λακεδαιμονίους προκρίνουσι· καθάπερ Χρύσερμος ἐν τρίτῳ Πελοποννησιακῶν.

ΡΩ-

1 Petav. ἐπολέμισε Ῥωμαίους.
2 Turn. V. Bong. ἔτυχε.
3 Turn. V. Bong. Petav. διαδιδόντα.
4 Petav. ἀψύχως.
5 Petav. ἐμπερειδόμενος.

ΡΩΜΑΙΟΙ πρὸς Σαμνίτας πόλεμον ἔχοντες, στρατηγὸν ἐχειροτόνησαν Ποσέμιον Ἀλβινὸν [1]. οὗτος κατὰ τὰς καλουμένας Φορκέλας Καυδίνας [2] (ἔστι δὲ τόπος στενώτατος) ἐνεδρευθεὶς, τρεῖς ἀπέβαλε λεγεῶνας, καὶ αὐτὸς καιρίως τρωθεὶς ἔπεσε. βαθείας δὲ νυκτὸς ὀλίγον ἐπιζήσας, περιείλετο τῶν ἀνῃρημένων πολεμίων τὰς ἀσπίδας, καὶ εἰς τὸ αἷμα τὴν χεῖρα βάπτισας, ἔστησε τρόπαιον ἐπιγράψας· Ῥωμαῖοι κατὰ Σαμνιτῶν Διὶ τροπαιούχῳ. Φάβιος [3] δὲ, ὁ ἐπικληθεὶς Λαίμαργος, στρατηγὸς πεμφθεὶς, καὶ παραγενόμενος ἐπὶ τὸν τόπον, ἰδὼν τὸ τρόπαιον, τὸν οἰωνὸν ἀσμένως ἐδέξατο· καὶ συμβαλὼν ἐνίκησε, καὶ αἰχμάλωτον λαβὼν τὸν βασιλέα, εἰς Ῥώμην ἔπεμψεν· ὡς Ἀριστείδης ὁ Μιλήσιος ἐν τρίτῃ Ἰταλικῶν.

IV. ΠΕΡΣΩΝ μετὰ πεντακοσίων μυριάδων ἐπὶ τὴν Ἑλλάδα ἐρχομένων, Λεωνίδας ἅμα τριακοσίοις ἐπεμφθη εἰς Θερμοπύλας ὑπὸ Λακεδαιμονίων. εὐωχουμένων δ' ἐκεῖ ἐπέκειτο τὸ τῶν βαρβάρων πλῆθος· καὶ ὁ Λεωνίδας εἶπεν, ἰδὼν τοὺς βαρβάρους· Οὕτως ἀριστᾶτε, ὡς ἐν ᾅδου δειπνήσοντες. καὶ ὁρμήσας κατὰ τῶν βαρβάρων, καὶ πολλοῖς περιπαρεὶς δόρασιν, ἀνέβη ἐπὶ τὸν Ξέρξην, καὶ τὸ διάδημα ἀφείλετο. οὗ ἀποθανόντος ὁ βάρβαρος τέμνει τὴν καρδίαν, καὶ εὗρε δασεῖαν· ὡς Ἀριστείδης ἐν πρώτῃ Περσικῶν.

ΡΩΜΑΙΟΙ πρὸς Ποινοὺς πόλεμον ἔχοντες, ἔπεμψαν τριακοσίους, καὶ στρατηγὸν Φάβιον Μάξιμον. συμβαλὼν δ' ἀπέβαλε πάντας, αὐτὸς δὲ καιρίως τρωθεὶς μετ'

1 Recepi haec nomina, qualia Xyl. legit, Baf. ferè confentiente, quae dat Ποθύνιον Ἀλβινόν. Vulgo Μιθύνον Ἀμβλιρηνόν. Turn. Bong. Μισήνιον; & V. Μισένιον Ἀμβλορηνόν.

2 Sic legit, W. notante, L. Holften. ad Steph. Byz. p. 166. & dedi pro vulg. Φορκοῦντας Κλαυδίνας. Xyl. legit Φόρκας.

3 Sic Mez. correxit, & legit vertitque Xyl. at fit *Fabius Gurges*, quae vox Λαιμάργῳ refpondet. Guarin. C. Marium pofuit. Petav. Λέμαργοι, & mox ἰωνόν.

μετ' ὀργῆς [1] ἐπὶ τὸν Ἀννίβαν ἠνέχθη, καὶ καθελὼν τὸ διάδημα, συναπέθανεν αὐτῷ, καθάπερ ἱςορεῖ Ἀριςείδης ὁ Μιλήσιος.

V. ΚΑΤΑ Κελαινὸν [2] πόλιν τῆς Φρυγίας χάσμα μεθ' ὕδατος γενόμενον, πολλὰς οἰκίας αὐτάνδρȣς εἰς τὸν βυθὸν εἵλκυσε. Μίδας δὲ, ὁ βασιλεὺς, χρησμὸν ἔλαβεν, ἐὰν τὸ τιμιώτατον ἐμβάλῃ, συνελεύσεσθαι· ὁ δὲ χρυσὸν καὶ ἄργυρον ἐμβαλὼν, ȣδὲν ἐβοήθησεν. Ἄγχȣρος [3] δὲ, υἱὸς τȣ̃ Μίδα, λογισάμενος, μηδὲν εἶναι τιμιώτερον ἐν βίῳ ψυχῆς ἀνθρωπίνης, δȣ̀ς περιπλοκὰς τῷ γεννήσαντι, καὶ τῇ γυναικὶ Τιμοθέᾳ, ἔφιππος εἰς τὸν τόπον τȣ̃ χάσματος ἠνέχθη. συνελθȣ́σης δὲ τῆς γῆς, χρύσεον βωμὸν ἐποίησεν, Ἰδαίȣ Διὸς ἀψάμενος τῇ χειρί. ȣ̃τος ὁ βωμὸς περὶ ἐκεῖνον τὸν καιρὸν, ἐν ᾧ τὸ χάσμα συνέβη γενέσθαι, λίθος γίνεται· τῆς δὲ ὡρισμένης προθεσμίας παρελθȣ́σης, χρύσεος ὁρᾶται· ὡς Καλλισθένης ἐν δευτέρῳ Μεταμορφώσεων.

ΔΙΑ μέσης τῆς ἀγορᾶς ῥέων ὁ Τίβερις διὰ μῆνιν Ταρσίȣ Διὸς, μέγιςον ἀπέῤῥηξε χῶμα [4], καὶ πολλὰς οἰκίας ἐβύθισε· χρησμὸς δ' ἐδόθη λήξεσθαι, ἐὰν τὸ τίμιον ἐμβάλωσι. τῶν δὲ χρυσὸν καὶ ἄργυρον ἐμβαλόντων, Κȣ́ρτιος τῶν ἐπισήμων νέος, τὸν χρησμὸν νοήσας, καὶ λογισάμενος τὴν ψυχὴν τιμιωτέραν, ἔφιππον ἑαυτὸν ἔῤῥιψεν εἰς τὸ χάσμα, καὶ τȣ̀ς οἰκείȣς ἐξέσωσε [5] τῶν κακῶν· ὡς Ἀριςείδης ἐν τεσσαρακοςῷ Ἰταλικῶν.

VI. ΤΩΝ ἅμα Πολυνείκει ευωχȣμένων λοχαγῶν, ἀετὸς καταπτὰς τὸ Ἀμφιάρεω ἐβάςασε δόρυ εἰς ὕψος, καὶ εἴασε· τὸ δὲ παγὲν ἐν γῇ δάφνη ἐγένετο. τῇ δ' ὑςεραίᾳ πολεμȣ́ντων, κατ' ἐκεῖνο κατεπόθη ὁ Ἀμφιάρεως

1 Sic Steph. dedit. Ald. Baf. Petav. μεθ' ὁρμῆς.

2 Κελαινὰς ab aliis vocari omnibus, Xyl. monet.

3 Petav. Ἔγχȣρος; & infra μεταμορφώσεως.

4 Ald. & Baf. χάσμα.

5 Petav. ἐξέωσε.

ρεως τῷ ἅρματι, ἔνθα νῦν πόλις Ἅρμα καλεῖται· ὡς Τρισίμαχος ἐν τρίτῳ κ]ίσεων.

ΡΩΜΑΙΩΝ [1] πρὸς Πύῤῥον Ἠπειρώτην πολεμέντων, Αἰμύλιος Παῦλος χρησμὸν ἔλαβε νικῆσαι, βωμὸν ἐὰν ποιήσῃ, ἔνθα ἂν ἴδῃ χάσματι κρυπ]όμενον ἄνδρα τῶν ἐπισήμων μετὰ ἅρματος· μετὰ τρεῖς ἡμέρας Οὐαλέριος Κονάτος [2] κατ' ὄναρ ἰδὼν ἀναλαβεῖν ἱερέως κοσμον, (καὶ γὰρ ἦν μαντικῆς ἔμπειρος) ϛρατηγήσας καὶ πολλὲς Φονεύσας, ὑπὸ γῆς κατεπόθη. ὁ Αἰμύλιος δὲ βωμὸν ἱδρύσας, ἐνίκησε, καὶ ἑκατὸν ἑξήκοντα πυργοΦόρες ἐλέΦαντας εἰς Ῥώμην κατέπεμψεν. ὁ δὲ βωμὸς μαντεύεται κατ' ἐκεῖνον τὸν καιρὸν, καθ' ὃν ἐνικήθη Πύῤῥος, ὡς ἱϛορεῖ Κριτόλας τρίτῃ Ἠπειρωτικῶν [3].

VII. ΠΥΡΑΙΧΜΗΣ, βασιλεὺς Εὐβοέων, ἐπολέμει Βοιωτοῖς. ὃν Ἡρακλῆς ἔτι νέος ὢν ἐνίκησε· πώλοις δὲ [4] προσδήσας, καὶ εἰς δύο μέρη διελὼν τὸν Πυραίχμην, ἄταΦον ἔῤῥιψεν· ὁ δὲ τόπος προσαγορεύεται Πῶλοι Πυραίχμε· κεῖται δὲ παρὰ ποταμὸν Ἡράκλειον. χρεμετισμὸν δ' ἀναδίδωσι πινόντων ἵππων· ὡς ἐν τρίτῳ Περὶ ποταμῶν.

ΤΟΥΛΛΟΣ Ὀσίλλιος, βασιλεὺς Ῥωμαίων, ἐπολέμησεν Ἀλβανοῖς, βασιλέως ὄντος Μετίε Φεβετίε [5], καὶ τὴν μάχην πολλάκις ὑπερέθετο. οἱ δὲ, ἡτ]ωμένε εἰς εὐωχίαν ἐτράπησαν· οἰνωμένοις δ' ἐπέθετο, καὶ τὸν βασιλέα δύο πώλες συζεύξας διεσπάραξεν· ὡς Ἀλέξαρχος ἐν τετάρτῃ Ἰταλικῶν.

VIII.

1 Petav. Ῥωμαῖοι, & deinde Αἰμίλιος.

2 Guarin. *Torquatum* habet. *Conatum* Valeriae gentis cognomen nullibi inveniri, monet Xyl.

3 Petav. Ἠπειρωτῶν.

4 abest δὲ a Petav.

5 Mez. Φεβετίε. W. monet, in fcriptore tam inepto difficile effe dictu, utrum ipfius fit an librarii error.

VIII. ΦΙΛΙΠΠΟΣ Μεθώνην καὶ Ὄλυνθον βελόμενος πορθῆσαι καὶ βιαζόμενος ἐπὶ τῷ Σανδάνῳ ποταμῷ διαβῆναι πέραν, ὑπό τινος τῶν Ὀλυνθίων, Ἀςέρος ὀνόματι, ἐτοξεύθη τὸν ὀφθαλμὸν, εἰπόντος· Ἀςὴρ Φιλίππῳ θανάσιμον πέμπει βέλος· ὁ δ' ὀπίσω διανηξάμενος πρὸς τὰς οἰκείας σώζεται ἀπολέσας τὸν ὀφθαλμόν· ὡς Καλλισθένης ἐν τρίτῳ Μακεδονικῶν.

ΠΟΡΣΙΝΑΣ, Τύσκων βασιλεὺς, πέραν Θίβριος [1] ποταμῦ ςρατεύσας ἐπολέμησε Ῥωμαίοις, καὶ τὴν ἀπὸ σιτίων φερομένην εὐθηνίαν μέσην λαβὼν, λιμῷ τὰς προειρημένας ἔτρυχεν. Ὁράτιος δὲ Κόκλης, ςρατηγὸς χειροτονηθεὶς, τὴν ξυλίνην κατελάβετο γέφυραν, καὶ τὸ πλῆθος τῶν βαρβάρων διαβῆναι βυλόμενον ἐπεῖχε. πλεονεκτέμενος δὲ ὑπὸ τῶν πολεμίων, προσέταξε τοῖς ὑποτεταγμένοις κόπτειν τὴν γέφυραν, καὶ τὸ πλῆθος τῶν βαρβάρων διαβῆναι βυλόμενον ἐκώλυσε. βέλει δὲ τὸν ὀφθαλμὸν πληγεὶς, ῥίψας ἑαυτὸν εἰς τὸν ποταμὸν, διενήξατο εἰς τὰς οἰκείας· ὡς Θεότιμος δευτέρῳ Ἰταλικῶν.

IX. Ὁ περὶ τῦ Ἰκαρίυ [2] μῦθος, ᾧ Διόνυσος ἐπεξενώθη· Ἐρατοσθένης ἐν τῇ Ἠριγόνῃ.

ΚΡΟΝΟΣ ἐπιξενωθεὶς γεωργῷ, ᾧ ἦν θυγάτηρ καλὴ Ἐντωρία, ἣν ἐβιάζετο [3] καὶ ἐτέκνωσεν υἱὺς, Ἰανὸν, Ὕμνον, Φαῦςον, Φήλικα. δὺς ἦν τρόπον τῆς τῦ οἴνυ πόσεως καὶ τῆς ἀμπέλυ, ἠξίωσε καὶ τοῖς γείτοσι μεταδῦναι. ποιήσαντες δ' αὐτὸ καὶ πιόντες παρὰ τὸ σύνηθες, εἰς ὕπνον κατηνέχθησαν βαρύτερον τῦ δέον-

1 Petav. Θύμβριος; & in seq. Κάτλος pro Κόκλης.

2 Xyl. notat, Guarinum hic particulam de Meleagro habere, & alia quaedam tria capitula ante Pausaniae historiam. Suspicatur duas narrationes de Saturno & Jano, Erigona & Entoria in unum esse confusas.

3 Petav. ἐβιάσατο, uti paulo ante ἐπιξενώθη pro ἐπεξεν.

δέοντος. οἱ δὲ πεφαρμακῶσθαι δόξαντες, λίθοις βάλλοντες τὸν Ἰκάριον [1] ἀπέκτειναν· αἱ δὲ θυγατρίδαι ἀθυμήσαντες, βρόχῳ τὸν βίον κατέστρεψαν.

Λοιμοῦ δὲ κατασχόντος Ῥωμαίους, ἔχρησεν ὁ Πύθιος λωφήσειν, ἐὰν ἐξιλάσωνται τοῦ Κρόνου τὴν μῆνιν, καὶ τοὺς δαίμονας τῶν ἀνόμως ἀπολομένων [2]. Λουτάτιος δὲ Κάτλος, ἀνὴρ τῶν ἐπισήμων, κατεσκεύασε τῷ θεῷ τέμενος τὸ κείμενον σύνεγγυς τοῦ Ταρπηΐου ὄρους, καὶ τὸν ἄνω βωμὸν ἱδρύσατο τετραπρόσωπον, ἢ διὰ τοὺς θυγατρίδας, ἢ ὅτι [3] τετραμερὴς ὁ ἐνιαυτός ἐστι, καὶ μῆνα κατέδειξεν Ἰανουάριον. ὁ δὲ Κρόνος πάντας κατηστέρισεν. καὶ οἱ μὲν καλοῦνται προτρυγητῆρες· ὁ δ' Ἰανὸς προανατέλλων, δείκνυται [4] ἀστὴρ πρὸ τῶν ποδῶν τῆς παρθένου· ὡς Κριτόλαος ἐν τετάρτῃ [5] Φαινομένων.

X. ΠΕΡΣΩΝ τὴν Ἑλλάδα λεηλατούντων, Παυσανίας, ὁ τῶν Λακεδαιμονίων στρατηγὸς, πεντακόσια χρυσοῦ τάλαντα παρὰ Ξέρξου λαβὼν ἔμελλε προδιδόναι τὴν Σπάρτην. Φωραθέντος δὲ τούτου, Ἀγησίλαος ὁ πατὴρ μέχρι τοῦ ναοῦ τῆς Χαλκιοίκου συνεδίωξεν Ἀθηνᾶς, καὶ τὰς θύρας τοῦ τεμένους πλίνθῳ φράξας, λιμῷ ἀπέκτεινεν· ἡ δὲ μήτηρ καὶ ἄταφον ἔῤῥιψεν· ὡς Χρύσερμος ἐν δευτέρῳ Ἱστορικῶν.

ῬΩΜΑΙΟΙ πρὸς Λατίνους πολεμοῦντες ἐχειροτόνησαν στρατηγὸν [6] Πόπλιον Δέκιον· νεανίσκος δέ τις τῶν ἐπισήμων πένης, τοὔνομα Κάσσιος Βροῦτος, ἐπὶ ῥητῷ μισθῷ νυκτὸς τὰς πύλας ἀνοῖξαι ἐβουλήθη. Φωραθεὶς δὲ, εἰς ναὸν ἔφυγεν Ἀθηνᾶς Αὐξιληρίας· Κάσσιος δὲ Σιγνί-

1 Petav. Ἰανὸν; & mox ἐξηλάσωνται.
2 Dedi sic e Petav. Ald. Baf. Vulgo ἀπολεμένων.
3 Petav. θυγατρίδας, ὅτι, omisso ἢ.
4 Post δείκν. codex innominatus inserit δέ.
5 Turn. & Bong. ἐν τέταρσι.
6 abest στρατηγὸν ab Ald. Baf. Petav.

Σιγυίφερ, ὁ πατὴρ αὐτῦ, κατέκλεισε, καὶ λιμῷ διέφθειρε, καὶ ἄταφον ἔῤῥιψεν· ὡς Κλειτώνυμος ἐν Ἰταλικῶν [1].

XI. ΔΑΡΕΙΟΣ ὁ Πέρσης, ἐπὶ Γρανικῷ πολεμήσας Ἀλεξάνδρῳ, καὶ ἑπ]ὰ σατράπας ἀποβαλὼν, καὶ ἅρματα δρεπανηφόρα δύο καὶ πεντακόσια, συμβαλεῖν ἔμελλε τῇ ἑξῆς. Ἀριοβαρζάνης δὲ ὁ υἱὸς, συμπαθῶς διακείμενος πρὸς Ἀλέξανδρον, ὑπισχνεῖτο τὸν πατέρα προδώσειν. ἀγανακ]ήσας δὲ ὁ πατὴρ ἐτραχηλοκόπησεν· ὡς Ἀρητάδης Κνίδιος ἐν τρίτῳ Μακεδονικῶν.

ΒΡΟΥΤΟΣ ὑπὸ πάντων ὕπατος χειροτονηθεὶς, ἐφυγάδευσε τὸν ὑπερήφανον Ταρκύνιον τυραννικῶς ἀναςρεφόμενον. ὁ δ' ἐλθὼν εἰς Τύσκυς, ἐπολέμει Ῥωμαίοις· οἱ δὲ υἱοὶ [2] τὸν πατέρα προδῦναι ἠβυλήθησαν. ἐμπεσόντων δὲ, τραχηλοκοπῆσαι· ὡς Ἀριςείδης Μιλήσιος ἐν τοῖς Ἰταλικοῖς.

XII. ΕΠΑΜΙΝΩΝΔΑΣ, ὁ τῶν Θηβαίων ςρατηγὸς, ἔχων πρὸς Λακεδαιμονίυς πόλεμον, καὶ ἀρχαιρεσιῶν ἀγομένων, ἧκεν ἐς πατρίδα, παραγγείλας τῷ παιδὶ Στησιβρότῳ μὴ συμβάλλειν. Λακεδαιμόνιοι μαθόντες τὴν ἀπυσίαν, ἐβλασφήμυν τὸν νεανίαν ὡς ἄνανδρον· ὁ δ' ἀγανακ]ήσας καὶ ἐπιλαθόμενος τῦ πατρὸς, συνέβαλε καὶ ἐνίκησεν· ὁ δὲ πατὴρ βαρέως ἐνέγκας, ςεφανώσας ἐτραχηλοκόπησεν, ὡς Κ]ησιφῶν ἱςορεῖ ἐν τρίτῳ Βοιωτιακῶν.

ῬΩΜΑΙΟΙ πρὸς Σαμνίτας πόλεμον ἔχοντες, ἐχειροτόνησαν Μάλιον τὸν Ἐπιτάκ]ην ἐπικληθέντα. ἔτος δια χειροτονίαν ὑπατικὴν εἰς Ῥώμην πορευόμενος, τῷ

 υἱῷ

1 Xyl. monet, Guarinum legisse ἐνάτῃ, aut ἐννάτῳ, libro nono, idque probat.

2 Dedi υἱοὶ e Turn. Vulgo οἱ δὲ Τῦσκοι. Xyl. voluit οἱ δὲ Βρύτυ υἱοί. W. locum mutilum censet, vitio librarii, nonnulla omittentis. Hoc maxime ex seqq. patet — ἐμπεσ. δὲ, τραχ.

υἱῷ προσέταξε μὴ συμβαλεῖν· οἱ δὲ Σαμνῖται μαθόντες, βλασφημίαις ἐξουδένιζον [1] τὸν νεανίαν. ὁ δὲ ταραχθεὶς ἐνίκησεν· Μάλιος δ' ἐτραχηλοκόπησεν, καθάπερ ἱστορεῖ Ἀριστείδης Μιλήσιος.

XIII. ἩΡΑΚΛΗΣ τοῦ Ἰόλης γάμου ἀποτυχὼν, τὴν Οἰχαλίαν ἐπόρθησεν. ἡ δ' Ἰόλη ἀπὸ τοῦ τείχους ἔῤῥιψεν ἑαυτήν· συνέβη δὲ, κολπωθείσης ὑπὸ ἀνέμου τῆς ἐσθῆτος, μηδὲν παθεῖν, καθάπερ ἱστορεῖ Νικίας Μαλεώτης.

ῬΩΜΑΙΟΙ πολεμοῦντες πρὸς Τοῦσκον, ἐχειροτόνησαν Βαλέριον Τορκουάτον· οὗτος θεασάμενος τοῦ βασιλέως τὴν θυγατέρα, τοὔνομα Κλουσίαν, ᾐτεῖτο παρὰ τοῦ Τούσκου τὴν θυγατέρα· μὴ τυχὼν δὲ, πορθεῖ τὴν πόλιν. ἡ δὲ Κλουσία ἀπὸ τῶν πύργων ἔῤῥιψεν ἑαυτήν· προνοίᾳ δ' Ἀφροδίτης κολπωθείσης τῆς ἐσθῆτος, διεσώθη ἐπὶ τὴν γῆν· ἣν ὁ στρατηγὸς ἔφθειρε. καὶ [2] τούτων πάντων ἕνεκα ἐξωρίσθη κοινῷ δόγματι ὑπὸ Ῥωμαίων εἰς Κέρσικαν [3] νῆσον πρὸ τῆς Ἰταλίας· ὡς Θεόφιλος ἐν τρίτῳ Ἰταλικῶν.

XIV. ΠΟΙΝΩΝ καὶ Σικελιωτῶν τὴν κατὰ Ῥωμαίων συμμαχίαν ἑτοιμαζόντων, Μέτελλος στρατηγὸς μόνῃ τῇ Ἑστίᾳ οὐκ ἔθυσεν· ἡ δὲ πνεῦμα ἀντέπνευσε ταῖς ναυσί. Γάϊος δὲ Ἰούλιος μάντις εἶπε λωφῆσαι, ἐὰν προθύσῃ τὴν θυγατέρα. ὁ δ' ἀναγκασθεὶς Μεταλλίαν, τὴν θυγατέρα, προσῆγεν· ἡ δὲ Ἑστία ἐλεήσασα, δάμαλιν ὑπέβαλε, καὶ αὐτὴν ἐκόμισεν εἰς Λαμούσιον [4], καὶ ἱέρειαν τοῦ σεβομένου παρ' αὐτοῖς δράκοντος ἀπέδειξεν· ὡς Πυθοκλῆς ἐν τρίτῃ Ἰταλικῶν.

EN

1 Petav. ἐξυθένιζον.

2 Post καὶ vulgo legitur διὰ, quod delendum censui.

3 Turn. Κέρκιναν. Suspectum est porro Xylandro, quod Italica Theotimi octavo parallelo, Theophili autem hoc citentur, ejusdem fortasse auctoris.

4 Xyl. *Lanuvium* legendum censet. Turn. & V. Λαουΐνιον. Pro ἱέρειαν Petav. γέρειαν.

ΕΝ ΑΥΛΙΔΙ τῆς Βοιωτίας τὰ περὶ Ἰφιγένειαν ὁμοίως ἱςορεῖ Μέρυλλος [1] ἐν πρώτῳ Βοιωτιακῶν.

XV. ΒΡΕΝΝΟΣ, Γαλατῶν βασιλεὺς, λεηλατῶν τὴν Ἀσίαν, ἐπὶ Ἔφεσον ἦλθε, καὶ ἠράθη παρθένε δημοτικῆς· ἡ δὲ συνελθεῖν ὑπέχετο, ἐὰν τὰ ψέλλια καὶ τὸν κόσμον τῶν γυναικῶν δῷ αὐτῇ, καὶ τὴν Ἔφεσον προδῦναι· ὁ δ᾽ ἠξίωσε τὰς ςρατιώτας ἐμβαλεῖν εἰς τὸν κόλπον ὃν εἶχον χρυσὸν τῆς Φιλαργύρε. ποιησάντων δὲ, ὑπὸ τῆς δαψιλείας τε χρυσε ζῶσα κατεχώσθη, καθάπερ ἱςορεῖ Κλειτοφῶν ἐν πρώτῳ Γαλατικῶν.

ΤΑΡΠΗΙΑ [2] τῶν εὐσχημόνων παρθένων τε Καπιτωλίε φύλαξ, Ῥωμαίων πρὸς Σαβίνες [3] πολεμέντων, ὑπέχετο τῷ Τατίῳ δώσειν εἴσοδον εἰς τὸ Ταρπήϊον ὄρος, ἐὰν μισθὸν λάβῃ τὰς ὅρμες, ὓς ἐφόρεν κόσμε χάριν· Σαβῖνοι δὲ νοήσαντες, ζῶσαν κατέχωσαν· ὡς Ἀριςείδης Μιλήσιος ἐν Ἰταλικοῖς.

XVI. ΤΕΓΕΑΤΑΙΣ καὶ Φενεάταις χρονίε πολέμε γενομένε, ἔδοξε τριδύμες ἀδελφὲς πέμψαι τὰς μαχησομένες περὶ τῆς νίκης. καὶ Τεγεάται μὲν ὖν τὰς Ῥηξιμάχε παῖδας, Φενεάται δὲ τὰς Δημοςράτε πρεβάλλοντο. συμβληθείσης δὲ τῆς μάχης, ἐφονεύθησαν τῶν Ῥηξιμάχε δύο [4]. ὁ δὲ τρίτος, τὔνομα Κριτόλαος, ςρατηγήματι περιεγένετο τῶν δύο. προσποιητὴν γὰρ φυγὴν σκηψάμενος, κατὰ ἕνα τῶν διωκόντων ἀνεῖλε. καὶ ἐλθόντος, οἱ μὲν ἄλλοι συνεχάρησαν, μόνη δ᾽ ὐκ ἐχάρη ἡ ἀδελφὴ Δημοδίκη· πεφονεύκει γὰρ αὐτῆς τὸν κατηγγυημένον ἄνδρα, Δημοτικόν. ἀναξιοπαθήσας δὲ ὁ Κρι-



1 De Meryllo & Menyllo parall. 26. eadem fuspicio valere videtur, quae fupra de Theotimo & Theophilo fuit allata.

2 Dedi fic e Turn. & V. accedente Xyl. verfione. Baf. quoque habet Ταρπηΐα. Vulgo Ταρτησία.

3 Dedi fic e Turn. & Xyl. verfione. Vulgo πρὸς Ἀλβανὰς. Mox pro Σαβῖνοι Petav. Σαμνῖτοι.

4 Quae fequuntur, ὁ δὲ — τῶν δύο, abfunt a Petav. Mox idem οἱ μὲν ἄλλη.

Κριτόλαος ανεῖλεν αὐτήν. Φόνȣ δ' ἀγόμενος ὑπὸ τῆς μητρὸς ἀπελύθη τῶν ἐγκλημάτων· ὡς Δημάρατος ἐν δευτέρῳ Ἀρκαδικῶν.

ΡΩΜΑΙΟΙ καὶ Ἀλβανοὶ πολεμȣ̃ντες, τριδύμȣς προμάχȣς εἵλοντο, καὶ Ἀλβανοὶ μὲν Κȣριατίȣς, Ῥωμαῖοι δὲ Ὡρατίȣς. συμβληθείσης δὲ τῆς μάχης, οἱ Κȣριάτιοι [1] δύο τῶν ἐναντίων ἀνεῖλον· ὁ δὲ περίλοιπος Φυγῇ προσποιητῇ συμμάχῳ χρώμενος, ἐφόνευσε καθ' ἕνα τῶν ἐπιδιωκόντων. χαρέντων δὲ πάντων, μόνη ἡ ἀδελφὴ ȣ̓ συνεχάρη Ὡρατία τὸν κατηγγυημένον ἄνδρα Κȣριάτιον ἀνῃρηκότι· ὁ δ' ἐφόνευσε τὴν ἀδελφὴν, ὥς φησιν Ἀριςείδης ὁ Μιλήσιος ἐν Ἰταλικοῖς.

XVII. ἘΝ ΙΛΙΩ τȣ̃ ναȣ̃ τῆς Ἀθηνᾶς ἐμπρηθέντος, προσδραμὼν Ἶλος [2] τὸ διοπετὲς ἥρπασε παλλάδιον, καὶ ἐτυφλώθη· (ȣ̓ γὰρ ἐξὸν [3] ὑπ' ἀνδρὸς βλέπεσθαι) ὕςερον δ' ἐξιλασάμενος ἀνέβλεψεν· ὡς Δέρκυλλος ἐν πρώτῳ κτίσεων.

ΜΕΤΕΛΛΟΣ [4] ἀνὴρ τῶν ἐπισήμων, πορευόμενος εἰς τὸ προάςειον, ὑπὸ κοράκων ἐπεχέθη [5] παιόντων ταῖς πτέρυξι. Φοβηθεὶς δὲ τὸν οἰωνὸν, εἰς Ῥώμην ὑπέςρεψεν. ἰδὼν δὲ τὸ τέμενος τῆς Ἑςίας καιόμενον, καὶ τὸ παλλάδιον ἁρπάσας, ἐτυφλώθη· ὕςερον δ' ἀνέβλεψεν ἐξιλασάμενος· ὡς Ἀριςείδης Μιλήσιος ἐν Ἰταλικοῖς.

XVIII. ΘΡΑΙΚΕΣ [6] Ἀθηναίοις πολεμȣ̃ντες, χρησμὸν ἔλαβον, ὡς, ἐὰν Κόδρȣ Φείσωνται, νικῆσαι·

q

1 Petav. Καυράτιοι; deinde περίλιπος, & Κυράτιον.

2 Codex innominatus Ἶλιος; & mox ἐξηλασάμενος.

3 W. legi vult ȣ̓ γὰρ ἐξῆν, vel ȣ̓κ ἐξὸν. Cauſam hujus correctionis equidem haud video.

4 Recepi hoc nomen e Baſ. pro vulg. Ἀντύλος, quod nomen Romanum vix videtur. Petav. Ἀντύλλος. Deinde idem omittit πορευόμενος.

5 W. ſum ſecutus, ſic e Voſſ. dantem. Vulgo ἐπεσχέθη.

6 Ab aliis dici Dores, ſatis conſtat.

ὁ δὲ δρέπανον λαβὼν ἧκεν εἰς τὰς ἐναντίας ἐν εὐτελεῖ σχήματι, καὶ ἕνα Φονεύσας, ὑπὸ θατέρου ἀνῃρέθη, οὕτω τ' ἐνίκησαν οἱ Ἀθηναῖοι· ὡς Σωκράτης ἐν δευτέρῳ Θρᾳκικῶν.

ΠΟΥΠΛΙΟΣ Δέκιος Ῥωμαῖος, πρὸς Ἀλβανοὺς πολεμῶν ὄναρ εἶδεν, ἐὰν αποθάνῃ, Ῥώμην προσποιήσειν [1] Ῥωμαίοις. ἐλθὼν εἰς μέσον καὶ πολλοὺς Φονεύσας, ἀνῃρέθη. ὁμοίως δὲ καὶ ὁ υἱὸς αὐτοῦ Δέκιος ἐν τῷ πρὸς Γάλλους πολέμῳ τοὺς Ῥωμαίους διέσωσεν· ὡς Ἀριστείδης Μιλήσιος.

XIX. ΚΥΑΝΙΠΠΟΣ γένει Συρακούσιος, μόνῳ Διονύσῳ οὐκ ἔθυεν· ὁ δὲ θεὸς ὀργισθεὶς [2] μέθην ἐνέσκηψε, καὶ ἐν τόπῳ σκοτεινῷ τὴν θυγατέρα ἐβιάσατο, Κυάνην· ἡ δὲ τὸν δακτύλιον περιελομένη ἔδωκε τῇ τροφῷ, ἐσόμενον ἀναγνώρισμα. λοιμωξάντων δὲ, καὶ τοῦ Πυθίου εἰπόντος μὲν, δεῖν τὸν ἀσεβῆ τροπαίοις θεοῖς σφαγιάσαι, τῶν δ' ἄλλων ἀγνοούντων τὸν χρησμὸν, γνοῦσα ἡ Κυάνη, καὶ ἐπιλαβομένη τῶν τριχῶν, εἷλκε, καὶ αὐτὴ κατασφάξασα τὸν πατέρα, ἑαυτὴν ἐπέσφαξε· καθάπερ Δοσίθεος ἐν τῷ τρίτῳ Σικελικῶν.

ΤΩΝ Διονυσίων ἐν τῇ Ῥώμῃ ἀγομένων, Ἀρούντιος ἐκ γενετῆς ὑδροπότης ἐξουθένιζε τὴν τοῦ θεοῦ δύναμιν. ὁ δὲ μέθην [3] ἐνέβαλε, καὶ ἐβιάσατο τὴν θυγατέρα, Μεδουλλίναν· ἡ δ' ἐκ δακτυλίου γνοῦσα τὸ γένος, καὶ πρεσβύτερα τῆς ἡλικίας Φρονήσασα, μεθύσασα τὸν πατέρα καὶ στεφανώσασα, ἤγαγεν ἐπὶ τὸν βωμὸν τῆς Ἀστραπῆς, καὶ δακρύσασα ἀνεῖλε τὸν ἐπίβουλον τῆς παρθενίας· ὡς Ἀριστείδης ἐν τρίτῃ Ἰταλικῶν.

XX. ΕΡΕΧΘΕΥΣ πρὸς Εὔμολπον πολεμῶν, ἔμαθε νικῆσαι, ἐὰν τὴν θυγατέρα προθύσῃ, καὶ συγκοινωνήσας



1 W. susp. περιποιήσειν. Pro seq. εἰς μέσον Petav. εἰς μέσους.
2 Ald. Bas. ὀργισθείς. Proxime seq. καὶ abest a Petav.
3 Petav. μεθώνην.

νήσας τῇ γυναικὶ Πραξιθέᾳ, προέθυσε τὴν παῖδα. Μέμνηται Εὐριπίδης ἐν Ἐρεχθεῖ.

ΜΑΡΙΟΣ [1] πρὸς Κίμβρους πόλεμον ἔχων, καὶ ἡττώμενος, ὄναρ εἶδεν, ὅτι νικήσει, ἐὰν τὴν θυγατέρα προθύσῃ· (ἦν δ' αὐτῷ Καλπουρνία [2]) προκρίνας δὲ τῆς φύσεως τοὺς πολίτας, ἔδρασε καὶ ἐνίκησε. καὶ ἔτι καὶ νῦν βωμοί εἰσι δύο ἐν Γερμανίᾳ, οἳ κατ' ἐκεῖνον τὸν καιρὸν ἦχον σαλπίγγων ἀποπέμπουσιν· ὡς Δωρόθεος ἐν τετάρτῳ Ἰταλικῶν.

XXI. ΚΥΑΝΙΠΠΟΣ, τῷ γένει Θετταλὸς, ἐπὶ θήραν συνεχῶς ἐξῄει· ἡ δὲ νεόνυμφος αὐτοῦ ὑπολαβοῦσα, διὰ τὸ πολλάκις ἐν ὕλαις μένειν, συνήθειαν ἔχειν μεθ' ἑτέρας, κατ' ἴχνος ἠκολούθησε τῷ Κυανίππῳ· καὶ ἔν τινι κατακρυβεῖσα συνδένδρῳ [3], τὸ μέλλον ἀπεκαραδόκει. τῶν δὲ κλάδων σεισθέντων, οἱ κύνες θηρίον εἶναι δόξαντες ὥρμησαν, καὶ τὴν φίλανδρον ἀλόγου δίκην ζώου διεσπάραξαν. ὁ δὲ Κυάνιππος ἀνελπίστου πράξεως αὐτόπτης γενόμενος ἑαυτὸν ἀπέσφαξεν· ὡς Παρθένιος ὁ ποιητής [4].

ἘΝ Συβάρει, πόλει τῆς Ἰταλίας, νέος περίβλεπτος τὸ κάλλος Αἰμίλιος φιλοκύνηγος ἦν· ἡ δὲ νεόνυμφος δόξασα ἑτέρᾳ συνεῖναι εἰσῄει εἰς τὴν νάπην. τῶν δὲ δένδρων σεισθέντων, οἱ κύνες ἐπιδραμόντες, διέσπασαν· ὁ δὲ ἐπέσφαξεν ἑαυτόν· ὡς Κλειτώνυμος ἐν δευτέρῳ Συβαριτικῶν.

XXII. ΣΜΥΡΝΑ, Κινύρου θυγάτηρ, διὰ μῆνιν Ἀφροδίτης ἠράσθη τοῦ γεννήσαντος, καὶ τῇ τροφῷ τὴν ἀνά-

1 Dedi Μάριος, quod Xyl. legendum monet, ex Clementis Alex. προτρεπτικῷ, eundem auctorem & librum citantis. Probat idem W. Vulgo Μάνιος.

2 Petav. Καλλιπουρνία.

3 Petav. simplex δένδρῳ.

4 Xyl. pro ὁ ποιητής mavult ἐρωτικοῖς. In Parthenii Eroticis nimirum, cap. X. legitur haec historia.

ἀνάγκην τῆ ἔρωτος ἐδήλωσεν· ἡ δὲ δόλῳ ὑπῆγε τὸν δεσπότην. ἔφη γὰρ γείτονα παρθένον ἐρᾷν αὐτῆ, καὶ αἰσχύνεσθαι ἐν φανερῷ προσιέναι. ὁ δὲ συνήει. ποτὲ δὲ θελήσας τὴν ἐρῶσαν μαθεῖν, φῶς ᾔτησεν· ἰδὼν δὲ, ξιφήρης τὴν ἀσελγεστάτην ἐδίωκεν. ἡ δὲ κατὰ πρόνοιαν Ἀφροδίτης εἰς ὁμώνυμον δένδρον μετεμορφώθη· καθὰ [1] Θεόδωρος ἐν ταῖς Μεταμορφώσεσιν.

ΟΥΑΛΕΡΙΑ Τεσκλαναρία κατὰ μῆνιν Ἀφροδίτης ἐρασθεῖσα Οὐαλερίε τῆ πατρὸς, τῇ τροφῷ ἀνεκοίνωσεν· ἡ δὲ τὸν δεσπότην δόλῳ ὑπῆλθεν, εἰπῆσα, ὡς αἰδεῖται κατ' ὄψιν μίσγεσθαι, τῶν τε γειτόνων εἶναι παρθένον. καὶ οἰωθεὶς [2] ὁ πατὴρ ᾔτει φῶς, ἡ δὲ τροφὸς φθάσασα διήγειρεν, ἥτις ἐπὶ ταῖς ἀγροικίαις ἦν, ἐγκύμων τυγχάνεσα. ποτὲ δὲ κατὰ κρημνῶν ἐνεχθείσης τὸ βρέφος ἔζη· κατιῦσα δ' ἐγκύμων, κατέςη, καὶ εἰς τὸν ὡρισμένον χρόνον ἐγέννησεν Αἰγίπανα [3], κατὰ τὴν Ῥωμαίων φωνὴν Σιλεανόν. ὁ δὲ Οὐαλέριος ἀθυμήσας κατὰ τῶν αὐτῶν ἔῤῥιψε κρημνῶν· ὡς Ἀριςείδης Μιλήσιος ἐν τρίτῳ Ἰταλικῶν.

XXIII. ΜΕΤΑ τὴν Ἰλίε πόρθησιν ἐξεβράσθη Διομήδης εἰς Λιβύην. ἔνθα Λύκος ἦν βασιλεὺς, ἔθος ἔχων τὰς ξένες Ἄρει τῷ πατρὶ θύειν. Καλλιρόη δὲ, ἡ θυγάτηρ, ἐρασθεῖσα Διομήδες, τὸν πατέρα πρέδωκε, καὶ τὸν Διομήδην ἔσωσε λύσασα τῶν δεσμῶν· ὁ δὲ, ἀμελήσας τῆς εὐεργέτιδος, ἀπέπλευσεν· ἡ δὲ βρόχῳ ἐτελεύτησεν· ὡς Ἰόβας ἐν τρίτῃ Λιβυκῶν.

ΚΑΛΠΟΥΡΝΙΟΣ Κράσσος, ἀνὴρ τῶν ἐπισήμων, Ῥηγέλῳ συςρατευόμενος, ἐπέμφθη εἰς Μασσύλες [4], πορθήσων



1 Petav. καθάπερ.

2 Petav. μιχθεὶς (non μισθεὶς, uti est in W. nota) Voss. οἱ μιχθεὶς. Proxima corrupta esse, W. monet.

3 Petav. γίπανα; & mox φονὴν Σιλοτάνον.

4 Recepi sic, mutata simul distinctione, quod Xyl. e Guarino notat, & ipse vertendo exprimit. Vulgo ἐπέμφθη Μασσόλες παρ-

θήσων Φρέριόν τι δυσάλωτον, τοὔνομα Γαραίτιον. αἰχμάλωτος δὲ ληφθεὶς, ἔμελλε θύεσθαι τῷ Κρόνῳ. Βυσαλτία δὲ τοῦ βασιλέως θυγάτηρ ἐρασθεῖσα προέδωκε τὸν πατέρα, καὶ νικηφόρον ἐκεῖνον ἐποίησεν. ἀναστρέψαντος δ' αὐτοῦ, ἡ κόρη κατέσφαξεν ἑαυτήν· ὡς Ἡσιάναξ ἐν τρίτῳ Λιβυκῶν.

XXIV. ΠΡΙΑΜΟΣ Πολύδωρον ἐξέθετο εἰς Θρᾴκην μετὰ χρυσίου πρὸς Πολυμήστορα [1] τὸν γαμβρόν· ὡς δ' ἐγγὺς ἦν τοῦ πορθεῖσθαι ἡ πόλις, μετὰ [2] τὴν ἅλωσιν ἀπέκτεινε τὸν παῖδα, ὡς ἂν κερδήσῃ τὸν χρυσόν. Ἑκάβη δ' ἐπὶ τοὺς τόπους παραγενομένη, καὶ σοφισαμένη ὡς χρυσὸν δώσουσα, ἅμα ταῖς αἰχμαλώτισι ταῖς χερσὶν [3] ἐξετύφλωσεν· ὡς Εὐριπίδης ὁ τραγῳδοποιός.

ΑΝΝΙΒΑ Καμπανοὺς λεηλατοῦντος, Λούκιος Θύμβρις [4] τὸν υἱὸν Ῥούστιον μετὰ χρημάτων ἔθετο πρὸς Οὐαλέριον Γέστιον ὄντα γαμβρόν. ὁ δὲ νενίκηκεν. ἀκούσας δὲ ὁ Καμπανὸς, φιλαργυρίᾳ παρέβη τὰ δίκαια τῆς φύσεως, τὸν παῖδα φονεύσας. ὁ δὲ Θύμβρις διὰ τῆς ἀγροικίας πορευόμενος, καὶ τῷ σώματι τοῦ παιδὸς ἐντυχὼν, ἔπεμψεν ἐπὶ τὸν γαμβρὸν, ὡς δείξων θησαυρούς. ἐλθόντα δ' ἐτύφλωσε καὶ ἐσταύρωσεν· ὡς Ἀριστείδης ἐν τρίτῳ Ἰταλικῶν.

XXV. ΦΩΚΟΥ ὄντος ἐκ Ψαμάθης Αἰακῷ, καὶ στεργομένου, Τελαμὼν ἦγεν ἐπὶ θήραν· καὶ συὸς ἐπιφανέν-

πορθήσας, Φρέριόν τι. — Probat idem, W. notante, Holften. ad Steph. Byz. p. 22. Petav. συστρατευσάμενος (vitiofe enotatur συστρασευσάμενος) ἐπέμφθη Μεσόλας. Idem deinde Βισαλτία, & πρόδωκε pro Βυσ. & προέδ.

1 Petav. Πολυμνήστορα.

2 Voci μετὰ Petav. praemittit ὁ Πολυμνήστωρ, quod in R. nota fic affertur, quafi ὁ Πολυμν. exhiberi pro ἡ πόλις.

3 W. notat, Musgravium ad Eurip. Hecub. 1153. corrigere κερκίσιν.

4 Sic in R. extat hic loci & infra, nec mutandum cenfui, cum codice Petav. firmetur, & a Xyl. ita exprimatur hoc nomen. Vulgo Θρύμβρις.

γέντος κατὰ τῦ μισυμένυ ἐπαφῆκε τὸ δόρυ, καὶ ἐφόνευσεν. ὁ δὲ πατὴρ ἐφυγάδευσεν· ὡς Δωρόθεος ἐν πρώτῳ Μεταμορφώσεων.

ΓΑΙΟΣ Μάξιμος ἔχων υἱὺς Σιμίλιον [1] καὶ Ῥῆσον· τῦτον ἐγέννησεν ἐξ Ἀμερίας Κόνων ὁ Ῥῆσος· ὗτος ἐν κυνηγεσίῳ ἀπέκτεινε τὸν ἀδελφὸν, καὶ ὑποστρέψας, τὸ σύμπτωμα τύχης εἶπεν, ὐ κρίσεως, γεγονέναι. ὁ δὲ γνὺς τἀληθὲς, ἐφυγάδευσεν· ὡς Ἀριστοκλῆς ἐν τρίτῳ Ἰταλικῶν.

XXVI. ΑΡΗΣ Ἀλθαίᾳ συνῆλθε καὶ Μελέαγρον [2] ποιήσας, ὡς Εὐριπίδης ἐν Μελεάγρῳ.

ΣΕΠΤΙΜΙΟΣ [3] Μάρκελλος γήμας Σιλυίαν, τα πολλὰ κυνηγίᾳ προσέκειτο· τὴν δὲ νεόνυμφον ἐν σχήματι ποιμένος Ἄρης βιασάμενος, ἐγκύμονα ἐποίησε, καὶ ὡμολόγησεν, ὅστις ἦν, καὶ δόρυ ἔδωκε, τὴν γένεσιν τῦ μέλλοντος τίκτεσθαι φάσκων ἐν αὐτῷ [4] ἀποκεῖσθαι. απέκτεινε γῦν Σεπτίμιος Τυσκῖνον. Μάμερκος δὲ ὑπὲρ εὐκαρπίας θύων θεοῖς, μόνης ἠμέλησε Δήμητρος. ἡ δὲ κάπρον ἔπεμψε. συναθροίσας δὲ πολλὺς [5] ἐκεῖνος κυνηγέτας ἀνεῖλε, καὶ τὴν κεφαλὴν καὶ τὸ δέρος τῇ κατηγγυημένῃ γυναικὶ κατεχώρησε. Σκιμβράτης [6] δὲ καὶ Μυ-

1 Petav. Σιμήλιον. Proxime sequentia corrupta esse, facile patet, maxime e vocibus Κόνων ὁ Ῥῆσοι. Ea emendare, W. teste & judice, nec licet nec juvat. Xyl. vertit: *hunc quidem*, nimirum Resum, ex Ameria, Cononem cognomento. Ald. Bas. per comma distinguunt post Ἀμερίας, & sequentia jungunt cum ὗτος.

2 Meleagri fabula extat in Apollodori bibl. L. I. c. 8. Ovid. Metamorph. l. 8.

3 Petav. Σεπτίμιος, & deinde κυνηγίῳ.

4 Dedi sic, quod Xyl. voluit, e Voss. Vulgo ἐν ἑαυτῷ. Narrationem ob depravationes involutam esse, Xyl. monet. Proxime quidem adesse videtur lacuna.

5 Turn. V. Bong. ὅλυς.

6 Petav. Σκυμβράτης.

Μαθίας οἱ μητράδελφοι περιείλοντο τῆς κόρης. ἀγανακτήσας δ' ἀνεῖλε τὰς συγγενεῖς· ἡ δὲ μήτηρ τὸ δόρυ κατέκαυσεν· ὡς Μένυλος [1] ἐν τρίτῳ Ἰταλικῶν.

XXVII. ΤΕΛΑΜΩΝ ὁ Αἰακᾶ καὶ Ἐνδηίδος, ἐλθὼν εἰς Εὔβοιαν καὶ νυκτὸς ἔφυγεν [2]. ὁ δὲ πατὴρ αἰθόμενος καὶ τῶν πολιτῶν τινὰ ὑποπτεύσας, ἔδωκε τὴν κόρην καταποντωθῆναι τινὶ τῶν δορυφόρων. ὁ δ' ἐλεήσας ἀπημπόλησε· προσχέσης δὲ τῆς νεὼς Σαλαμῖνι, Τελαμὼν ὠνήσατο· ἡ δ' ἔτεκεν Αἴαντα· ὡς Ἀρητάδης Κνίδιος ἐν δευτέρῳ Νησιωτικῶν.

ΛΟΥΚΙΟΣ Τρώσκιος θυγατέρα εἶχε Φλωρεντίαν ἀπὸ τῆς Πατρίδος· ταύτην ἔφθειρε Καλπέρνιος Ῥωμαῖος. ὁ δὲ παρέδωκε τὴν κόρην καταποντίσαι· ἐλεηθεῖσα δὲ ὑπὸ τῶ δορυφόρω, πιπράσκεται· κατὰ τύχην τῆς νεως προσχέσης εἰς Ἰταλίαν, Καλπέρνιος ὠνήσατο, καὶ ἐποιήσατο ἐξ αὐτῆς Κόντρωσκον.

XXVIII. ΑΙΟΛΟΣ, τῶν κατὰ Τυῤῥηνίαν [3] βασιλεὺς, ἔσχεν ἐξ Ἀμφιθέας θυγατέρας ἕξ, καὶ ἴσως ἄῤῥενας· Μακαρεὺς δὲ ὁ νεώτατος ἔρωτι ἔφθειρε μίαν, ἡ δὲ παιδίον ἐκύησεν. ἐμπεσῶσα [4] δὲ καὶ ξίφως πεμφθέντος [5] ὑπὸ τῶ πατρὸς, ἄνομον κρίνασα ἑαυτὴν διεχρή-

1 Cf. quae supra de hoc nomine notantur Parall. 14.

2 Collect. Var. lect. Frft. omitti vult καὶ, aut legi vult ἦλθεν pro ἐλθών. Verius susp. Xyl. ante καὶ νυκτ. ἔφ. excidisse aliquid, & hoc dici: Telamonem, cum in Euboeam venisset, cum Periboea (quam Ajacis matrem Apollod. l. 3. bibl. aliique perhibeant) clanculum rem habuisse, quam pater ab aliquo civium vitiatam putarit. Mezir. ad Ep. Ovid. l. I. p. 246 sic locum explet: ἐλθὼν εἰς Μέγαρα διέφθειρε τὴν Ἀλκαθόα Ἐρίβοιαν, καὶ νυκτὸς ἔφυγεν.

3 Petav. Τυῤῥηνίων.

4 Quid ἐμπεσεῖν hic loci valeat, latet. Bene W. conjicit τεκῶσα.

5 scil. ad prolem necandam; id quod Xyl. vertendo addit. Pro ἑαυτὴν Petav. αὐτήν; & deinde Τυρανικῶν pro Τυῤῥην.

χρήσατο. ὁμοίως δὲ καὶ ὁ Μακαρεύς· ὡς Σώστρατος ἐν δευτέρᾳ Τυῤῥηνικῶν.

ΠΑΠΙΡΙΟΣ Βόλεκερ [1], γήμας Ἰουλίαν Πούλχραν, ἔσχεν ἓξ θυγατέρας, καὶ τοὺς ἴσους ἄῤῥενας. τούτων ὁ πρεσβύτατος Παπίριος Ῥωμανὸς, τῆς ἀδελφῆς ἐρασθεὶς Κανουλίας, ἔγκυον ἐποίησε. μαθὼν δὲ ὁ πατὴρ, τῇ θυγατρὶ ξίφος ἔπεμψεν· ἡ δὲ ἑαυτὴν ἀνεῖλε· τὸ αὐτὸ δὲ καὶ ὁ Ῥωμανὸς ἔπραξεν· ὡς Χρύσιππος ἐν τῷ πρώτῳ Ἰταλικῶν.

XXIX. ΑΡΙΣΤΩΝ Ἀριστώνυμος [2] Ἐφέσιος, υἱὸς Δημοστράτου, ἐμίσει γυναῖκας, ὄνῳ δ' ἐμίσγετο· ἡ δὲ κατὰ χρόνον ἔτεκε κόρην εὐειδεστάτην, Ὀνόσκελιν τοὔνομα· ὡς Ἀριστοτέλης ἐν δευτέρᾳ [3] παραδόξων.

ΦΟΥΛΟΥΙΟΣ Στέλλος μισῶν γυναῖκας, ἵππῳ συνεμίσγετο· ἡ δὲ κατὰ χρόνον ἔτεκε κόρην εὔμορφον, καὶ ὠνόμασεν Ἱππώναν. ἔστι δὲ θεὸς πρόνοιαν ποιουμένη ἵππων [4]· ὡς Ἀγησίλαος ἐν τρίτῳ Ἰταλικῶν.

XXX. ΣΑΡΔΙΑΝΟΙ πρὸς Σμυρναίους πόλεμον ἔχοντες περὶ τὰ τείχη ἐστρατοπεδεύσαντο, καὶ διὰ πρέσβεων ἔπεμψαν, μὴ πρότερον ἀναχωρῆσαι, ἐὰν μὴ τὰς γυναῖκας συνελθεῖν αὐτοῖς συγχωρήσωσι. τῶν δὲ Σμυρναίων διὰ τὴν ἀνάγκην μελλόντων πάσχειν κακῶς, θεραπαινὶς ἦν μία τῶν εὐσχημόνων, ἡ προσδραμοῦσα, ἔφη τῷ δεσπότῃ Φιλάρχῳ· Δεῖ τὰς θεραπαίνας κοσμήσαντας, ἀντ' ἐλευθέρων πέμπειν. ὃ δὴ καὶ ἔδρασαν. οἱ δὲ κοπωθέντες ὑπὸ τῶν θεραπαινῶν, ἑάλωσαν. ὅθεν καὶ νῦν παρὰ

1 Petav. Ald. Baſ. Τόλουερ; V. Πούλχερ. Petav. deinde Ἀπόλχραν pro Πούλχραν.

2 Priorem vocem Ἀρίστων omittendam cenſuit Xyl.

3 Petav. δευτέρῳ.

4 Petav. Ἔπωναν. ἔστι δε θεοῖς πρόνοιαν ποιουμένην ἵππων. Baſ. quoque & Ald. Ἔπωναν exhibent. Reliqua, quae e cod. Petav. notantur, conſentiunt cum Ald. excepta voce πρόνοιαν, cum in iſta ſit πρόνιαν.

παρὰ Σμυρναίοις ἑορτὴ λέγεται Ἐλευθερία, ἐν ᾗ αἱ δοῦλαι τὸν κόσμον τῶν ἐλευθέρων φοροῦσιν· ὡς Δοσίθεος ἐν τρίτῳ Λυδιακῶν.

ΑΤΕΠΟΜΑΡΟΣ, Γάλλων βασιλεὺς, Ῥωμαίοις πολεμῶν, ἔφη, μὴ πρότερον ἀναχωρῆσαι, ἐὰν μὴ τὰς γυναῖκας εἰς συνουσίαν ἐκδῶσι. τῶν δὲ, διὰ συμβουλὴν θεραπαινίδων, πεμψάντων τὰς δούλας, καὶ κοπωθέντες οἱ βάρβαροι τῇ ἀλήκτῳ συνουσίᾳ ὑπνώθησαν. ἡ δὲ Ῥητάνα (αὕτη γὰρ ἦν τοῦτο [1] συμβουλεύσασα) ἀγρίας ἐπιλαβομένη συκῆς, ἀναβαίνει εἰς τὸ τεῖχος, καὶ μηνύει τοῖς ὑπάτοις· οἱ δ' ἐπελθόντες [2] ἐνίκησαν. ἀφ' οὗ καὶ ἑορτὴ θεραπαινῶν καλεῖται· ὡς Ἀριστείδης Μιλήσιος ἐν πρώτῃ Ἰταλικῶν.

XXXI. ΑΘΗΝΑΙΩΝ πόλεμον ἐχόντων πρὸς Εὔμολπον, καὶ τῆς εὐθηνίας μὴ ἐπαρκούσης, Πύρανδρος ταμίας τῶν δημοσίων ὑπεσπάσατο τὸ μέτρον, φειδωλῶς χρώμενος· οἱ δ' ἐγχώριοι, ὡς προδότην ὑποπτεύσαντες, λιθόλευστον ἐποίησαν· ὡς Καλλισθένης ἐν τρίτῳ Θρᾳκικῶν.

ΡΩΜΑΙΩΝ πρὸς Γάλλους πολεμούντων, καὶ τῆς εὐθηνίας μὴ ἀρκούσης, Κίννας τοῦ δήμου τὸ σιτόμετρον ὑπέσπασε· Ῥωμαῖοι δὲ, ὡς ἀντιποιούμενον αὐτὸν τῆς βασιλείας, λιθόλευστον ἐποίησαν· ὡς Ἀριστείδης ἐν τρίτῳ Ἰταλικῶν.

XXXII. ἘΝ τῷ Πελοποννησιακῷ πολέμῳ Πεισίστρατος Ὀρχομένιος τοὺς μὲν εὐγενεῖς ἐμίσει, τοὺς δ' εὐτελεῖς ἐφίλει. ἐβουλεύσαντο δὲ οἱ ἐν τῇ βουλῇ φονεῦσαι, καὶ διακόψαντες αὐτὸν εἰς τοὺς κόλπους ἔλαβον [3], καὶ τὴν γῆν ἔξυσαν. ὁ δὲ δημότης ὄχλος, ὑπόνοιαν λα-

1 Petav. ἦν εἰ τοῦτο, forte pro ἡ τοῦτο, uti fufp. is, qui lectionem notavit.

2 Petav. αἱ δὲ (fic) ἐπεξελθόντες.

3 Petav. ἔβαλον.

λαβὼν ἔδραμεν εἰς τὴν βυλήν. ὁ δὲ νεώτερος υἱὸς τῦ βασιλέως, Τλησίμαχος, εἰδὼς τὴν συνωμοσίαν ἀπὸ τῆς ἐκκλησίας ἀπέσπασε τὸν ὄχλον, εἰπὼν, ἑωρακέναι τὸν πατέρα μεθ' ὁρμῆς εἰς τὸ Πισαῖον ὄρος Φέρεσθαι, μείζονα μορφὴν ἀνθρώπυ κεκ]ημένον. καὶ ὕτως ἠπατήθη ὁ ὄχλος· ὡς Θεόφιλος ἐν δευτέρῳ Πελοποννησιακῶν.

ΔΙΑ τὰς ἀςυγείτονας πολέμυς ἡ σύγκλητος τῶν Ῥωμαίων τῦ δήμυ τὸ σιτόμετρον ἧρε· Ῥωμύλος δὲ, ὁ βασιλεὺς, βαρέως ἐνεγκὼν, τῷ δήμῳ ἀπέδωκε. πολλὺς δὲ τῶν μειζόνων ἐκόλαζεν. οἱ δὲ Φονεύσαντες αὐτὸν ἐν τῇ συγκλήτῳ βυλῇ, καὶ κόψαντες, εἰς τὺς κόλπυς ἔλαβον [1]. Ῥωμαῖοι δὲ μετὰ πυρὸς εἰς τὴν σύγκλητον ἔδραμον. Αἴτιος δὲ Πρόκλος [2], τῶν ἐπισήμων ἀνὴρ, εἶπε, τὸν Ῥωμύλον ἐν ὄρει ἑωρακέναι μείζονα παντὸς ανθρώπυ θεὸν γεγενῆσθαι. Ῥωμαῖοι δὲ πιςεύσαντες, ανεχώρησαν· ὡς Ἀριςόβυλος ἐν τρίτῳ [3] Ἰταλικῶν.

XXXIII. ΠΕΛΟΨ, Ταντάλυ καὶ Εὐρυανάσσης, γημας Ἱπποδάμειαν, ἔσχεν Ἀτρέα καὶ Θυέςην. ἐκ δὲ Δαναΐδος νύμφης Χρύσιππον, ὃν πλέον τῶν γνησίων ἔςερξε. Λάϊος δὲ, ὁ Θηβαῖος, ἐπιθυμήσας ἥρπασεν αὐτόν. καὶ συλληφθεὶς ὑπὸ Θυέςυ καὶ Ἀτρέως, ἐλέυς ἔτυχε παρὰ Πέλοπος διὰ τὸν ἔρωτα. Ἱπποδάμεια δ' ανέπειθεν Ατρέα καὶ Θυέςην ἀναιρεῖν αὐτὸν, εἰδυῖα ἔσεσθαι ἔφεδρον βασιλείας. τῶν δ' ἀρνησαμένων, αὐτὴ τῷ μύσει τὰς χεῖρας ἔχρισε. νυκ]ὸς γὰρ βαθείας κοιμωμέ-

1 Turn. V. Bong. Petav. ἔβαλον.

2 Historia de Julio Proculo satis constat ex Plut. Romulo, Vol. I. pag. 80. Voluerunt hoc quoque loco dari Ἰέλιος pro Αἴτιος Mez. ex Cic. Leg. I. 1. & Bryan. ad locum cit. Plut. Guarinus habet *Aetium*. Xyl. pro αἴτιος susp. forte scriptum fuisse ἄντιος, *occurrens*, *obvius*. Turn. Bong. Petav. Αἴτιος δὲ Πρᾶος.

3 Petav. ἐν τῷ τρίτῳ.

μωμένου Λαΐου, τὸ ξίφος ἑλκύσασα καὶ τρώσασα τὸν Χρύσιππον, ἐγκαταπήγνυσι τὸ ξίφος. ὑπονοηθεὶς δὲ ὁ Λάϊος διὰ τὸ ξίφος, ῥύεται ὑπὸ ἡμιθνῆτος τοῦ Χρυσίππου τὴν ἀλήθειαν ὁμολογήσαντος· ὁ δὲ θάψας, τὴν Ἱπποδάμειαν ἐξώρισεν· ὡς Δοσίθεος ἐν Πελοπίδαις.

ΗΒΙΟΣ Τολίειξ γήμας Νουκερίαν, ἔσχε δύο παῖδας ἐκ ταύτης. ἔσχε δὲ καὶ ἐξ ἀπελευθέρας [1] κάλλει περίβλεπτον Φίρμον, ὃν τῶν γνησίων μᾶλλον ἔστεργε. ἡ δὲ Νουκερία [2] πρὸς τὸν πρόγονον μισοπονήρως διακειμένη, τοὺς παῖδας ἀνέπειθεν αὐτὸν ἀναιρεῖν [3]. τῶν δ' εὐσεβῶς ἀνανευσάντων, αὐτὴ τὸν φόνον ἐνήργησε, καὶ [4] νυκτὸς τοῦ σωματοφύλακος τὸ ξίφος ἑλκύσασα καιρίως ἔτρωσε τὸν κοιμώμενον, ἐγκαταλιποῦσα τὸ ξίφος. τοῦ δὲ σωματοφύλακος ὑποπτευθέντος, ὁ παῖς τὴν ἀλήθειαν λέγει. ὁ δὲ τοῦτον θάψας, τὴν γυναῖκα ἐφυγάδευσεν· ὡς Δοσίθεος ἐν τρίτῳ Ἰταλικῶν.

XXXIV. ΘΗΣΕΥΣ ταῖς ἀληθείαις παῖς Ποσειδῶνος, ἔχων δ' ἐξ Ἱππολύτης Ἀμαζόνος Ἱππόλυτον, ἐπέγημε μητρυιὰν Φαῖδραν, τὴν Μίνωος [5], ἥτις τοῦ προγόνου εἰς ἐπιθυμίαν ἐμπεσοῦσα, τὴν τροφὸν ἔπεμψεν· ὁ δὲ καταλείψας Ἀθήνας, καὶ εἰς Τροίζηνα παραγενόμενος, κυνηγεσίαις προσανέκειτο. τῆς δὲ προαιρέσεως ἡ ἀσελγὴς ἀποτυχοῦσα, ψευδεῖς κατὰ τοῦ σώφρονος ἐπιστολὰς ἐχάραξε, καὶ βρόχῳ τὸ ζῆν ἀνήρτησε. Θησεὺς δὲ πιστεύσας, ᾐτήσατο παρὰ Ποσειδῶνος ἀπολέσθαι τὸν Ἱππόλυτον, ἐκ τῶν τριῶν εὐχῶν, ἃς εἶχε παρ' αὐτοῦ. ὁ δὲ παρ' αἰγιαλὸν ἐπὶ ἅρματος τυχόντι ταῦρον ἔπεμψε,

1 Petav. ἀπ' ἐξελευθέρας.

2 Petav. Νουκερία δὲ, omisso artic. ἡ.

3 αὐτὸν ἀναιρεῖν absunt a Petav.

4 Addidi hoc καὶ, quod vulgo deest, & legi voluit Coll. var. lect. Frst.

5 Petav. Μίνωνος; & infra ἐποίησε pro ἔπλεησε.

ψε, καὶ ἐπ]οησε τὰς ἵππες, οἳ συνέτριψαν τὸν Ἱππόλυτον.

ΚΟΜΜΙΝΙΟΣ Σϋπερ Λαυρεντῖνος, ἔχων υἱὸν ἐξ Αἰγερίας [1] νύμφης Κομμίνιον, ἐπήγαγε μητρυιὰν Γιδίκαν· ἥτις ἐρασθεῖσα τȣ̃ προγόνȣ καὶ ἀποτυχȣ̃σα, βρόχῳ κατέςρεψε τὸν βίον, ἐπιςολὰς καταλείψασα ψευδεῖς. ὁ δὲ Κομμίνιος ἀναγνὰς τὰ ἐγκλήματα, καὶ τῷ ζήλῳ πιςεύσας, ἐπεκαλέσατο τὸν Ποσειδῶνα. ὁ δὲ τῷ παιδὶ ἐπὶ ἅρματος ὀχȣμένῳ ταῦρον ἔδειξε, καὶ οἱ ἵπποι τὸν νέον σύραντες ἀπώλεσαν· ὡς Δοσίθεος ἐν τρίτῳ Ἰταλικῶν.

XXXV. ΛΟΙΜΟΥ καταχόντος Λακεδαίμονα, ἔχρησεν ὁ θεὸς παύσασθαι, ἐὰν παρθένον εὐγενῆ κατὰ ἔτος [2] θύσωσιν. Ἑλένης δέ ποτε κληρωθείσης, καὶ προαχθείσης [3] κεκοσμημένης, ἀετὸς καταπ]ὰς ἥρπασε τὸ ξίφος, καὶ ἐς τὰ βȣκόλια κομίσας ἐπὶ δάμαλιν κατέθηκεν· ὅθεν ἀπέχοντο τῆς παρθενοκ]ονίας· ὡς Ἀριςόδημος ἐν τρίτῃ μυθικῇ συναγωγῇ.

Λοιμȣ̃ καταχόντος Φαλερίȣς [4], καὶ φθορᾶς γενομένης, χρησμὸς ἐδόθη λωφῆσαι τὸ δεινόν, ἐὰν παρθένον τῇ Ἥρᾳ θύωσιν κατ' ἐνιαυτόν. ἀεὶ δὲ τῆς δεισιδαιμονίας μενȣ́σης [5], κατὰ κλῆρον καλȣμένη Οὐαλερία Λȣπέρκα, σπασαμένη [6] τὸ ξίφος, ἀετὸς καταπ]ὰς ἥρπασε, καὶ ἐπὶ τῶν ἐμπύρων ἔθηκε ῥάβδον μικρὰν [7] ἔχȣσαν σφῦραν, τὸ δὲ ξίφος ἐπέβαλε δαμάλει τινὶ παρὰ τὸν

1 Petav. Ἐγερίας.

2 Ita omnes habere libros, W. adnotat, exceptis Baf. & Xyl.

3 abfunt a Petav. καὶ προαχθείσης.

4 Petav. Χαλερίȣς, & mox φῆσαι pro λωφῆσαι.

5 Petav. μετιȣ́σης, & τȣ̃ Πίρκα pro Λȣπίρκα.

6 Xyl. fufp. σπασαμένων.

7 Petav. μακρὰν; & mox βωμὸν pro ναὸν; item ἐν ἑκάςῳ pro ἑνὶ ἑκάςῳ.

τὸν ναὸν βοσκομένη. νοήσασα δὲ ἡ παρθένος[1], καὶ τὴν βῦν θύσασα, καὶ τὴν σφῦραν ἄρασα, κατ' οἰκίαν περιῆλθε, καὶ τὰς ἀθενῦντας ἠρέμα πλήττουσα διήγειρεν, ἐῤῥῶσθαι ἑνὶ ἑκάστῳ λέγουσα. ὅθεν καὶ νῦν τὸ μυστήριον τελεῖται· ὡς Ἀριστείδης ἐννεακαιδεκάτῳ Ἰταλικῶν.

XXXVI. ΦΥΛΟΝΟΜΗ, Νυκτίμου καὶ Ἀρκαδίας θυγάτηρ, ἐκυνήγει σὺν τῇ Ἀρτέμιδι· Ἄρης δ' ἐν σχήματι ποιμένος ἔγκυον ἐποίησεν· ἡ δὲ τεκοῦσα διδύμους παῖδας, καὶ φοβουμένη τὸν πατέρα, ἔῤῥιψεν εἰς τὸν Ἐρύμανθον. οἱ δὲ κατὰ πρόνοιαν ἀκινδύνως περιφερόμενοι [1], προσηνέχθησαν ἐν κοίλῃ δρυΐ· Λύκαινα δ' ἐμφωλεύουσα τοὺς μὲν ἰδίους σκύμνους εἰς τὸν ῥοῦν ἔῤῥιψε, τοῖς δὲ βρέφεσι θηλὴν παρέσχε. Τύλιφος δὲ [2] ποιμὴν αὐτόπτης γενόμενος καὶ ἀναλαβὼν τοὺς παῖδας, ὡς ἰδίους ἔθρεψε, τὸν μὲν καλέσας Λύκαστον, τὸν δὲ Παῤῥάσιον [3], τοὺς διαδεξαμένους τὴν βασιλείαν τῶν Ἀρκάδων· ὡς Ζώπυρος Βυζάντιος ἐν τρίτῳ Ἱστορικῶν.

ΑΜΟΥΛΙΟΣ πρὸς Νομίτωρα τὸν ἀδελφὸν τυραννικῶς διακείμενος [4], τὸν μὲν υἱὸν Αἴνιτον ἐπὶ κυνηγίᾳ [5] ἀνεῖλε, τὴν δὲ θυγατέρα Σιλουίαν ἐν Ἰουλίᾳ [6] τῆς Ἥρας ἱέρειαν ἐποιήσατο. ταύτην Ἄρης ἐγκύμονα ποιεῖ· ἡ δ' ἔτεκε διδύμους, ὡμολόγησέ τε τῷ τυράννῳ τὴν ἀλήθειαν. ὁ δὲ φοβηθεὶς, αμφοτέρους κατεπόντισε, βαλὼν παρὰ τὰς ὄχθας τοῦ Θύμβρεως. οἱ δὲ προσηνέχθησαν ἐν τόπῳ, ἔνθα λύκαινα ἦν φωλεύουσα νεοτόκος· καὶ τοὺς μὲν σκύμνους ἔῤῥιψε, τὰ δὲ βρέφη ἔτρεφε. Φαῦστος δὲ ποιμὴν αὐτόπτης γενόμενος τοὺς παῖ-

1 Petav. διαφερόμενοι.

2 abest δὲ a Petav.

3 Petav. Παράσιον, & deinde διαδεξομένους.

4 Sic restituendum fuit e Bas. & Petav. pro vulg. διακείμενον. Dedit idem W. adsentientibus Voss. & Xyl.

5 Petav. κυνηγεσίαν.

6 Xyl. vertit *Sylviam Juliam*. Turn. V. Ἰλίαν. Bryan. ad Plut. Vit. T. I. p. 72. corrigit ἢ Ἰλίαν.

παῖδας ἀνέθρεψε, καὶ τὸν μὲν Ῥῶμον, τὸν δὲ Ῥωμύλον προσηγόρευσε, τὰς κτίσας Ῥώμης· ὡς Ἀριστείδης Μιλήσιος ἐν τοῖς Ἰταλικοῖς.

XXXVII. ΜΕΤΑ τὴν Ἰλίου ἅλωσιν Ἀγαμέμνων μετὰ Κασάνδρας ἀνῃρέθη. Ὀρέστης δὲ παρὰ Στροφίῳ ἀνατραφεὶς τὰς φονεῖς τοῦ πατρὸς ἐτιμωρήσατο· ὡς Πύρανδρος [1] ἐν τετάρτῳ Πελοποννησιακῶν.

ΦΑΒΙΟΣ ΦΑΒΡΙΚΙΑΝΟΣ, τοῦ μεγάλου συγγενὴς Φαβίου, πορθήσας Τέξιον [2] μητρόπολιν Σαυνιτῶν, τὴν παρ' αὐτοῖς τιμωμένην νικηφόρον Ἀφροδίτην ἔπεμψεν εἰς Ῥώμην· τούτου γυνὴ Φαβία μοιχευθεῖσα ὑπό τινος εὐπρεποῦς νεανίου, τοὔνομα Πετρωνίου Οὐαλεντίνου, τὸν ἄνδρα ἐδολοφόνησε· Φαβία δὲ τὸν ἀδελφὸν ἔτι νήπιον Φαβρικιανὸν τῶν κινδύνων ἐῤῥύσατο, καὶ ἔπεμψε κρύφα τραφησόμενον. ἀκμάσας δὲ ὁ νεανίας τήν τε μητέρα καὶ τὸν μοιχὸν ἀπέκτεινε, καὶ ἀπελύθη ὑπὸ τῆς συγκλήτου· ὡς ἱστορεῖ Δοσίθεος ἐν τρίτῳ Ἰταλικῶν.

XXXVIII. ΒΟΥΣΙΡΙΣ, παῖς Ποσειδῶνος καὶ Ἀνίππης τῆς Νείλου, τοὺς παριόντας ὑπούλῳ φιλοξενίᾳ κατέθυε· μετῆλθε δ' αὐτὸν ἡ τῶν τετελευτηκότων νέμεσις· Ἡρακλῆς γὰρ ἐπιτεθεὶς τῷ ῥοπάλῳ διεχρήσατο· ὡς Ἀγάθων Σάμιος.

ἩΡΑΚΛΗΣ τὰς Γηρυόνου βοῦς ἐλαύνων δι' Ἰταλίας ἐπεξενώθη Φαύνῳ βασιλεῖ, ὃς ἦν Ἑρμοῦ παῖς, καὶ τοὺς γε ξένους [3] τῷ γεννήσαντι ἔθυεν· ἐπιχειρήσας δὲ τῷ Ἡρακλεῖ ἀνῃρέθη· ὡς Δέρκυλλος ἐν τρίτῳ Ἰταλικῶν.



1 Petav. Πύρος; deinde idem Γαλεντίνου pro Οὐαλεντ.

2 Nomen haud dubie corruptum, cum talis urbs nullibi legatur Kaltw.

3 Petav. τὰς γένους, absque γε.

XXXIX. ΦΑΛΑΡΙΣ, Ἀκραγαντίνων τύραννος ἀπότομος [1], τοὺς παριόντας ξένους ἐστρέβλου καὶ ἐκόλαζε. Πέριλλος δὲ τῇ τέχνῃ χαλκουργὸς, δάμαλιν κατασκευάσας χαλκῆν, ἔδωκε τῷ βασιλεῖ, ὡς ἂν τοὺς ξένους καταναίῃ ζῶντας ἐν αὐτῇ· ὁ δὲ μόνον τότε γενόμενος δίκαιος, αὐτὸν ἐνέβαλεν. ἐδόκει δὲ μυκηθμὸν ἀναδιδόναι ἡ δάμαλις· ὡς ἐν δευτέρῳ Αἰτιῶν [2].

ἘΝ ΑΙΓΕΣΤΗΙ [3], τῇ πόλει τῆς Σικελίας, ἐγένετό τις ὠμὸς τύραννος, Αἰμύλιος Κενσωρῖνος. οὗτος τοὺς καινότερα βασανιστήρια κατασκευάσαντας ἐδωροδόκει. εἷς δέ τις Ἀρούντιος, Πατέρκουλλος, δημιουργήσας ἵππον χαλκοῦν τῷ προειρημένῳ δῶρον ἔδωκεν, ἵνα βάλλῃ [4] αὐτούς. ὁ δὲ τότε πρῶτον νομίμως ἀναστραφεὶς, τὸν χαρισάμενον πρότερον ἔβαλεν· ὡς ἂν, ἣν ἐπενόησε βάσανον ἄλλοις, αὐτὸς πάθῃ πρῶτος. τοῦτον συλλαβὼν [5] ἀπὸ τοῦ Ταρπίου ὄρους ἔῤῥιψε. καὶ δοκοῦσιν οἱ ἀποτόμως βασιλεύσαντες ἀπ' ἐκείνου Αἰμύλιοι προσαγορεύεσθαι· ὡς Ἀριστείδης ἐν τετάρτῳ Ἰταλικῶν.

XL. ΕΥΗΝΟΣ Ἄρεος καὶ Στερόπης [6], τὴν Οἰνομάου γήμας Ἀλκίππην, ἐγέννησε θυγατέρα Μάρπισσαν, ἣν παρθένον ἐφρούρει. Ἴδας ὁ Ἀφάρητος [7] καὶ ἁρπά-

1 Petav. ἀποτόμως, & deinde τοὺς παρόντας.

2 Respici Αἰτίας βαρβαρικὰς, opusculum a Plutarcho confectum, & a Lampria in catalogo scriptorum parentis memoratum, quod nunc periit, censet Wernsdorf in Comment. I. ad Plut. Quaest. Gr. pag. 2.

3 Petav. ἐν Αἰγέστῃ; mox idem Αἰμίλιος.

4 Petav. βάλῃ.

5 Excidisse Nominativum alicujus nominis proprii, W. monet. Eundem defectum Xyl. in versione asterisco notasse videtur.

6 Petav. Ἀστερόπης; & deinde Μάρπησσαν.

7 W. judice, legendum est Ἴδας δ' ὁ Ἀφάρεως. Ultimum, sua ipse correctione, dedit Xyl.

ἁρπάσας ἐκ χορῦ ἔφυγεν. ὁ δὲ πατὴρ διώξας, καὶ μὴ συλλαβὼν, εἰς τὸν Λυκόρμαν ἔῤῥιψεν ἑαυτὸν ποταμὸν, καὶ ἀθάνατος ἐγένετο· ὡς Δοσίθεος ἐν πρώτῳ Ἰταλικῶν [1].

ΑΝΝΙΟΣ δὲ, Τέσκων [2] βασιλεὺς, ἔχων θυγατέρα εὔμορφον, τὔνομα Σαλίαν παρθένον ἐτήρει. Κάθητος δ' ἐκ τῶν ἐπισήμων ἰδὼν τὴν παρθένον παίζεσαν, ἠράσθη, καὶ μὴ στέγων τὸν ἔρωτα, ἥρπασε καὶ ἦγεν εἰς Ῥώμην. ὁ δὲ πατὴρ ἐπιδιώξας, καὶ μὴ συλλαβὼν ἥλατο εἰς τὸν Παρεέσιον ποταμὸν, ὃς Ἀννίων [3] μετωνομάσθη, τῇ δὲ Σαλίᾳ συγγενόμενος Κάθητος, ἐποιήσατο Λατῖνον καὶ Σάλιον, ἀφ' ὧν οἱ εὐγενέστατοι κατῆγον τὸ γένος· ὡς Ἀριστείδης Μιλήσιος καὶ Ἀλέξανδρος ὁ Πολυΐστωρ ἐν τρίτῳ Ἰταλικῶν.

XLI. ἩΓΗΣΙΣΤΡΑΤΟΣ [4], ἀνὴρ Ἐφέσιος, ἐμφύλιον φόνον δράσας ἔφυγεν εἰς Δελφὲς, καὶ ἠρώτα τὸν θεὸν, πῦ οἰκήσειεν. ὁ δ' Ἀπόλλων ἀνεῖπεν, ἔνθα ἂν ἴδῃ χορεύοντας αγροίκες θαλλοῖς ἐλαίας ἐστεφανωμένες. γενόμενος δὲ κατὰ τὸν τόπον τῆς Ἀσίας, καὶ θεασάμενος φύλλοις ἐλαίας ἐστεφανωμένες γεωργὲς καὶ χορεύοντας, ἔκτισεν αὐτῦ πόλιν, καὶ ἐκάλεσεν Ἐλαιῦντα· ὡς Πυθοκλῆς Σάμιος [5] ἐν τρίτῳ γεωργικῶν.

ΤΗΛΕΓΟΝΟΣ Ὀδυσσέως καὶ Κίρκης, ἐπ' ἀναζήτησιν τῦ πατρὸς πεμφθεὶς, ἔμαθε πόλιν κτίσαι, ἔνθα ἂν ἴδῃ γεωργὲς ἐστεφανωμένες καὶ χορεύοντας. γενόμενος δὲ κατά τινα τόπον τῆς Ἰταλίας, καὶ θεασάμενος



1 Petav. Αἰτωλικῶν.

2 Petav. Τρέσκων, & pro Σαλίαν dat Στιλίαν, simulque cum V. Σταλίαν.

3 Turn. & V. Ἀνίων.

4 Petav. Ἡγίσαςρος.

5 Ald. & Baf. Σάμνιος; rell. Σάμιος.

μενος ἀγροίκους πρινίνοις κλάδοις ἐστεφανωμένους καὶ ὀρχήσει προσευκαιροῦντας, ἔκτισε πόλιν, ἀπὸ τοῦ συγκυρήματος Πρίνιστον ὀνομάσας, ἣν Ῥωμαῖοι παραγώγως Πραίνεστον [1] καλοῦσιν, ὡς ἱστορεῖ Ἀριστοκλῆς ἐν τρίτῳ Ἰταλικῶν.

1 Petav. Πραίνεστον.

92599